CLASSICORUM AUCTORUM

E VATICANIS CODICIBUS EDITORUM

TOMUS VI.

CLASSICORUM AUCTORUM

E VATICANIS CODICIBUS EDITORUM

TOMUS VI.

PROCOPII GAZAEI COMMENTARIUS IN GENESIM USQUE AD CAP. XVIII. EIUSDEM FRAGMENTUM IN CANTICUM SALOMONIS. ANONYMI SCHOLIA IN MATTHAEUM ET MARCUM. GLOSSARIUM VETUS LATINITATIS.

CURANTE

A. M.

ROMAE
TYPIS COLLEGII URBANI
M·DCCC·XXXIV·

EDITORIS PRAEFATIO.

In exordio operis, quod a nobis hoc volumine editur, narrat Procopius duplicem a se commentarium ad Octoteuchum fuisse adornatum; primum quidem amplissimum, ex antiquis patribus aliisque scriptoribus decerptum, et catenae, ut loquimur, ritu ordinatum: retentis ipsorum auctorum adamussim verbis; sive opiniones inter se congruerent, sive secus. Postea tamen quia huius generis lucubratio in immensum excrescere videbatur, consilium cepit hanc ad aptius compendium conferendi: atque ita plerumque omissis auctorum nominibus, et ore proprio loquens, rem semel dicere maluit, ubi certe auctores inter se conspirabant; ubi autem invicem dissidebant, rem nihilominus concinna brevitate edisseruit; quò videlicet opus concretius fieret, et uno veluti auctore progenitum. Maior illa Procopii lucubratio in mss. bibliothecis extare videtur (1); sed graece lucem certe non vidit: minor autem aeque inedita in duobus pontificiae bibliothecae codicibus mihi se obtulit, et in uno etiam bibliothecae Albaniorum ab eius perdocto praeside observata fuerat, qui et codicis usum, ut cum vaticanis conferrem, mihi concessit. Una tamen trium codicum origo fuit: nam et iisdem prorsus lacunis hiant, et eodem fine clauduntur; et duo saltem in minimis etiam vitiis conspirant, vaticanus scilicet primus et albanen-

(1) I. A. Fabricius Bib. gr. ed. nov. T. VII. p. 563.

sis ; nam vaticanum alterum ab imperita manu confectum vix commemorem. Et illum quidem principem saeculo XV. scriptum iudico, albanensem autem et alterum vaticanum sequente saeculo; verumtamen primus vaticanus e pervetusto aliquo exemplari exscriptus fuit, detrito iam et quandoque lacero, quod cum ipso Procopii autographo collatum fuerat, ut inscriptio insignis testatur in calce codicis Procopii nomini adiecta : ἐξισώθη κατὰ τὸ ἑαυτοῦ πρωτότυπον.

Nunc illud dubitare licet, utrum Procopius hanc quam habemus in manibus lucubrationem absolverit, an taedio aut labore victus abruperit : nam in romanis quidem codicibus haud ultra Geneseos capitulum XVIII. procedit. Quare superest ut aliarum bibliothecarum praefecti codices suos inspiciant, et hanc nobis dubitationem eripiant. Interim vero christiani rhetoris atque hermeneutae, sexto Christi saeculo clari, cuius iam in quarto volumine plus centum epistolas divulgavi, classicum oppido, luculentum, uberrimum, et iamdiu exoptatum ad Genesim commentarium libenter admodum commoditati publicae exhibeo: cuius quidem laudes praedicare quid interest, cum eae legentibus cordatis pateant, ignaris autem et illepidis non suffragentur? Certe operis argumentum atque tractatio permagni interest; de mundi natura videlicet, de ortu hominis atque eius libero arbitrio, de culpa principe, de homicidio primo, de diluvio et arca, de humani generis incremento ac diffusione. Accedunt antiquorum interpretum atque editionum lectiones variae ex Origenis hexaplis a Procopio olim desumptae, quae nunc ad eadem hexapla (quae pro viribus Montfauconius restituit) postliminio redibunt. Quum autem tota lucubratio ex

antiquorum patrum scriptis congesta sit, profecto habemus hermeneutices genus solidum, doctrinamque authenticam, quam ego quidem prae hodiernis multis grammaticorum argutiis et philologorum commentis sequi malim.

Longe alia ratio est commentarii imperfecti in Canticum Salomonis, quem sub eiusdem Procopii vix dubio nomine ex alio codice eruimus: is enim ob declarandam tantummodo scribentis pietatem scriptus, neque ullam historicam prae se fert eruditionem, neque ad operis superioris praestantiam prorsus adsurgit.

Sequuntur prisci ad Matthaei Marcique evangelia commentarioli sive quaestiones, ex codice palatino saeculi X, cuius scripturae specimen in primo vat. Collectionis maioris volumine excusum edidi. Has sane et sequentes in codice alias ad Lucam et Iohannem commentationes, eleganti brevitate et acumine praeditas, cum vaticanis Bibliis edere constitueram; sed mutato postea consilio, purum illum celeberrimae famae textum, a me paulo serius edendum, nullis phaleris scholiastarum adornare decrevi.

In praecedente classicorum auctorum tomo vaticana lexica mss. me aliquando editurum praedicere memini: quod vix propositum, aut ne vix quidem, ob immutatam occupationum mearum rationem, exsequi licet. Ne tamen omnino promissi immemor videar, latinum breve glossarium huic volumini adtexo, quod ex vaticanis codicibus olim mihi paraveram; nempe ex codice uno mirabili litteris grandibus saeculi fermo VI, ex altero saeculi IX, ex tertio denique saeculi XI, quos omnes ab initio ad calcem expilavi. Alios vero codices, nempe unum saeculi X, tres saec. XI, unum

saec. XII, nonnisi in litteris A et B. excerpsi; progredi enim ob aliorum negotiorum instantiam non potui. Erat tamen scriptura codicum saepe corrupta, nec vocabula interdum, sed quasi monstra vocabulorum: quae si audacius emendare voluissem, institutum ipse meum pessum dedissem. Rem itaque ut debui, de statu suo, praeterquam in mendis aliquot manifestissimis atque intolerandis, non commovi; et me aliorum glossariorum exemplo solor, quae sive apud Arevalum in tomis isidorianis, sive apud alios editores, horrida et prope βαρβαρόφωνα esse videmus. Nihilominus exploratum mihi est, novum hoc latinitatis additamentum studiosis linguae cultoribus non iniucundum fore.

ΠΡΟΚΟΠΙΟΥ

ΧΡΙΣΤΙΑΝΟΥ ΣΟΦΙΣΤΟΥ

ΕΙΣ ΤΗΝ ΓΕΝΕΣΙΝ ΤΩΝ ΕΚΛΟΓΩΝ ΕΠΙΤΟΜΗ.

ΠΡΟΟΙΜΙΟΝ.

Ἤδη μὲν καὶ πρότερον θεοῦ τὸ δύνασθαι χορηγήσαντος, τὰς καταβεβλημένας ἐκ τῶν πατέρων καὶ τῶν ἄλλων εἰς τὴν ὀκτάτευχον ἐξηγήσεις συνελεξάμεθα, ἐξ ὑπομνημάτων καὶ διαφόρων λόγων ταύτας ἐρανισάμενοι· ἀλλ' ἐπεὶ τὰς ῥήσεις αὐτὰς τῶν ἐκθεμένων αὐτολεξεὶ * ἐξεθέμεθα, εἴ τε σύμφωνοι πρὸς ἀλλήλας ἐτύγχανον, εἴ τε καὶ μὴ, καὶ πρὸς πλῆθος ἄπειρον ἡμῖν ἐντεῦθεν τὸ σύγγραμμα παρετείνετο, συνεῖδον νῦν πρὸς μέτρον εὔσταλὲς συνελεῖν τὴν γραφήν· ἐπειγόμενος εἰ μέν τι σύμφωνον ἅπασιν εἴρηται, τοῦτο προσάπαξ εἰπεῖν· εἰ δέ τι διάφορον, καὶ τοῦτο συντόμως ἐκθέσθαι πρὸς τὸ διὰ πάντων ἓν γενέσθαι σῶμα τῆς γραφῆς, ὡς ἑνὸς

* Cod. ἐπιλέξεται.

καὶ μόνου τὰς ἁπάντων ἡμῖν ἐκθεμένου φωνάς· προσθήσομεν δέ τι καὶ ἔξωθεν εἰς τρανωτέραν ἔσθ' ὅτε παράστασιν· οὐκοῦν συνεργὸν ἡμῖν τὸν θεὸν γενέσθαι καλέσαντες, ἐντεῦθεν ἀρξώμεθα. Δεῖ τὸν προσιόντα τῇ θείᾳ γραφῇ, μὴ ὡς ἀνθρώπων εἰπόντων, ἀλλ' ὡς θεοῦ δι' αὐτῶν φθεγξαμένου τῶν εἰρημένων ἀκούειν· ὥσπερ γὰρ ὑπηρέτης βασιλικὸς βασιλέως φωνὴν ὑποκρίνεται, ἐκέλευσα λέγων, ἐδωρησάμην, οὕτως οἱ προφῆται καθάπερ κάλαμον τὴν γλῶτταν ὀξυγράφῳ παρέχοντες γραμματεῖ, κατὰ τὸν μέγαν Δαβὶδ, καί φασι τυχὸν, ἐὰν ἐθέλητε καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε· οὐκοῦν θεοῦ τὰ λόγια παρ' ᾧ ψεῦδος οὐδὲν ἢ ἄλογον· καὶ δεῖ ὅσα μὲν εὐσεβῶς δυνήσῃ νοῆσαι, κρατεῖν· εἰ δέ τι σου παρατρέχει τὴν δύναμιν, ἢ πατέρων μαθεῖν, ἢ τῷ θεῷ παραπέμπειν τῶν γνώσεων, ὃς διδάσκει ἄνθρωπον γνῶσιν.

Ἡ τοίνυν γένεσις, Μωϋσέως ἐστὶ γραφὴ ἀνδρὸς ἑωρακότος θεὸν, ὡς δυνατὸν ὑπῆρχεν ἰδεῖν, ᾧ στόμα πρὸς στόμα λελάληκεν ὁ θεὸς ἐν εἴδει καὶ οὐ δι' αἰνιγμάτων· πλείονα δὲ γνῶσιν ἐπισπᾶσθαι βουλόμενος, καὶ γνωστῶς ἰδεῖν τὸν θεὸν, οὐ διήμαρτε τῆς αἰτήσεως ὑπὸ τὴν ὀπὴν τῆς πέτρας κρυβείς· ὀπὴ δὲ πέτρας ἡ διὰ τοῦ σαρκωθέντος δι' ἡμᾶς υἱοῦ γνῶσίς ἐστι τοῦ πα-

τρός· καὶ τὰ μετὰ θεὸν εἶδεν, ἅπέρ ἐστιν ὀπίσθια, ἐξ ὧν ἀναλόγως ὁ δημιουργὸς αὐτῶν θεωρεῖται, ἅπερ ὡς εἰκὸς πλέον τῶν ἄλλων κατείληφεν· οὕτως οὖν τὸν ἐμπιστευθέντα λαὸν αὐτῷ πρὸς θεογνωσίαν ἄγειν πειρώμενος, καὶ νόμους ἐκθέσθαι πρὸς τὴν σωτηρίαν ἐνάγοντας, δύο μετελήλυθεν εἴδη γραφῆς, τὸ μὲν ἱστορικὸν, τὸ δὲ νομοθετιπὸν· τοῦ δὲ νομοθετικοῦ τὸ μὲν παραινετικὸν, τὸ δὲ ἀπαγορευτικὸν· καὶ τοῦ ἱστορικοῦ τὸ μὲν περὶ κόσμου γενέσεως, τὸ δὲ γενεαλογικὸν· τοῦ δὲ νομοθετικοῦ τὸ μὲν περὶ τῆς κολάσεως ἀσεβῶν, τὸ δὲ περὶ τῆς τῶν δικαίων τιμῆς· τὸ δὲ ἱστορικὸν προὔταξε τοῦ νομοθετικοῦ διὰ τοιαύτην τὴν αἰτίαν, οὐ πρᾶγμα ποιῶν παλαιῶν πραγμάτων ἡμῖν διηγήσασθαι τὴν ἱστορίαν κατεπαγγέλλεται· ἄνωθεν δὲ καὶ πρὸ τῆς τοῦ παντὸς γενέσεως τὴν ἀρχὴν ποιησάμενος, δείκνυσι τὸν πατέρα τοῦ κόσμου καὶ ποιητὴν τοῦτον σὺν ἀληθείᾳ νομοθέτην ὑπάρχοντα· ἐχρῆν γὰρ ἐγνῶσθαι πρὸ τῶν νόμων τὸν νομοθέτην· τοιγαροῦν καὶ Ἰωάννης πρῶτον εἶπεν ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ τότε τὰς αὐτοῦ νομοθεσίας ἐξέθετο.

Δείκνυσι δὲ Μωϋσῆς καὶ ὅτι δεῖ τὸν νόμοις χρησόμενον, σύμφωνον τὸν βίον τῇ τοῦ παντὸς ἁρμονίᾳ καὶ τῇ τάξει παρέχεσθαι, καὶ δεικνῦ-

ναι συνᾴδοντα λόγοις ἔργα, καὶ τοῖς ἔργοις τὰ ῥήματα· τοιγαροῦν τῶν ἄλλων νομοθετῶν, τῶν μὲν εὐθὺς ὁριζόντων τὰ πρακτέα, καὶ μὴν καὶ τιμωρίας ἐπιτιθέντων τοῖς παραβαίνουσι, τῶν δὲ πόλιν κτισάντων ἐν πρώτοις, εἶτα διὰ τῶν νόμων ἣν ἐνόμισαν πολιτείαν ἁρμοσάντων τῇ πόλει, ὁ Μωϋσῆς τὸ μὲν πρῶτον νομίσας εἶναι τυραννικὸν καὶ μηδεμίαν ἔχον πειθῶ καὶ παραμυθίαν, τὸ δὲ ἕτερον ἐμμελὲς μὲν, οὐ μὴν διὰ πάντων κατωρθωμένον, αὐτὸς ἑκατέρων διήνεγκεν· τῷ τε γὰρ νομοθετικῷ τὸ παραινετικὸν ἐγκατέμιξεν, προτρέπειν μᾶλλον ἢ βιάζεσθαι λόγον ποιούμενος· καὶ τὸ πόλιν χειροποίητον ἀρχὴν ποιήσασθαι τῆς συγγραφῆς κτιζομένην τῷ λόγῳ, ταπεινότερον ἢ κατὰ τὴν διάνοιαν ἀπιδὼν, τῆς ἐπὶ γῆς ὑπεριδὼν κτίσεως, ἐπὶ τὴν μεγίστην πόλιν τὸν κόσμον ἀνέδραμεν, καὶ τὴν αὐτῆς ὑφηγήσατο γένεσιν, ἐμφερεστάτην εἰκόνα τοὺς νόμους τῆς τοῦ κόσμου πολιτείας ἡγούμενος· τῶν γοῦν νόμων ἡ δύναμις, εἴτις ἀκριβῶς ἐξετάσειε, τῇ τοῦ παντὸς ἁρμονίᾳ συνᾴδει. Τοιγαροῦν εἴ τινες παντελῶς ἐξεπήδησαν τῆς ἀρετῆς, τῆς τοῦ θεοῦ δωρεᾶς ἀτιμάσαντες, ὡς οὐκ ἀνθρώπων ἐχθροὺς, ἀλλ' οὖν οὔτε καὶ κόσμου παντὸς, οὐ τὰς ἐν ἔθει τιμωρίας ὑπομεῖναι φησὶν, ἀλλὰ καινὰς καὶ τὰς παρηλλαγμένας, τῶν

τοῦ παντὸς δραστικωτάτων στοιχείων ἐπιτιθεμένων αὐτοῖς ὕδατος καὶ πυρός.

Τοιαύτης δὲ πόλεως τὴν κτίσιν ἡμῖν ἐνστησάμενος, τὰ μὲν σιωπῇ παραδίδωσι, περὶ δὲ τῆς τῶν ὄντων φύσεως σιωπᾷν οὐκ ἀνέχεται· σκοπὸν γὰρ ἕνα πεποίητο τῆς πολυθέου πλάνης μετενεγκεῖν τὸν λαὸν, πρὸς ἣν Αἴγυπτον οἰκοῦντες ἐξώκειλον, καὶ τὸν ἕνα τοῦ παντὸς ὑποθέσθαι δημιουργόν· ὁρᾷ γὰρ ἡ γραφὴ οὐ πρὸς ἀκριβῆ γνῶσιν μᾶλλον ἢ θεοσέβειαν *· ὡς καλῶς ἔχειν τὴν τοῦ Σιρὰχ παραίνεσιν, ἐν τοῖς περισσοῖς τῶν ἔργων σου μὴ περιεργάζου· καὶ τὰ ἑξῆς· καὶ ἡ τοῦ ἐκκλησιαστοῦ, μὴ σοφίζου περιττὰ, μή ποτε ἐκπλαγῇς· ἀλλ' οὐδὲ δεκτικοί τινες κατ' ἐκεῖνον τὸν χρόνον θεωρημάτων λεπτοτέρων ἐτύγχανον οὔτε παρὰ τοῖς ἑβραίοις οὔτε παρὰ τοῖς ἕλλησιν· ἄλλως τε καὶ τὴν μὴ πρὸς εὐζωΐαν καὶ τὴν θεοσέβειαν δυναμένην γνῶσιν ἄγειν περίεργον ἐλογίζοντο καὶ λίαν ἀνόητον· εὕροι γὰρ ἄν τις σκοπὸν τὴν νέαν τῇ παλαιᾷ γεγονυῖαν γραφῇ, καὶ χειραγωγίαν τινὰ παιδευτικὴν τὴν παλαιὰν πρὸς τὴν νέαν ὑπάρχουσαν· ὅθεν καὶ Μωϋσῆς ὁ μέγας ὡς μειρακίων διδάσκαλος, οὐδὲν μὲν τῶν ἀπορρήτων φησὶ· θεοῦ δὲ τὰ πρῶτα δημιουργίαν καὶ νόμους ἀγράφους ὑπέθετο τῶν πρὶν ἀνθρώπων τῶν ἐμπολιτευομένων αὐ-

* Cod. θέωσι cum lacuna.

τοῖς· τοὺς νόμους τούτους γὰρ διὰ τῶν θείων ὀπτασιῶν τῶν κατὰ δύναμιν γενομένων αὐτοῖς παρειλήφεσαν· λαὸν γάρ τινα θεὸς ἐκ τῆς τοῦ Ἀβραὰμ γονῆς ἐξελέξατο, τοῖς ἄλλοις ἄμικτον διαφόροις τηρήσας προστάγμασιν, ἐξαιρέτως τῆς αὐτοῦ προνοίας ἠξιωμένον, ἅπερ ἐχρῆν δι' αὐτῶν εἰς τὴν τῶν ἑξῆς διδασκαλίαν φυλάττεσθαι· δι' αὐτῶν γὰρ ἔδει τὰς τοῦ θεοῦ διαφόρους οἰκονομίας καὶ τοῖς ἀνθρώποις βραβεύεσθαι· Χριστὸς γὰρ ἐκ τῶν ὑπὸ νόμον τῷ παντὶ βίῳ πρὸς τὴν σωτηρίαν ἀνέτειλε, παρ' οἷς καὶ προφῆται τὴν αὐτοῦ παρουσίαν ἐκήρυττον· ὅθεν ἰδίας ἠξιοῦντο προνοίας, ἵνα μὴ τοῖς ἄλλοις ἀναμιχθέντες διαφθορὰν ὑπομείνωσιν, ἀλλ' εἰς καιρὸν παραδῶσι τοῖς ἄλλοις τῆς τοῦ Χριστοῦ παρουσίας τὰ προμηνύματα, καὶ ὅσην ἄνωθεν ὁ θεὸς ἐπιμέλειαν τῶν ἀνθρώπων πεποίηται· ὅπως τὲ διὰ τῆς νομικῆς διατάξεως ἀπὸ τῶν πρὸς Ἀβραὰμ ἐπαγγελιῶν ἀρξάμενος, εἰς τὴν τοῦ Χριστοῦ παρουσίαν ἐπαιδαγώγησεν ἅπαντας.

Τῆς δὲ κατὰ τὴν παλαιὰν γραφὴν ἀσαφείας αἰτία μὲν ἡ τῶν παλαιῶν ἀνθρώπων ἀσθένεια δεομένη πρὸς τὴν αὐτῶν ἀξίαν παραπετάσματος· Μωϋσῆς γὰρ οὐκ ἠγνόει· πρὸς αὐτοὺς γὰρ εἶχε τὸ κάλυμμα, ἀλλ' οὐ πρὸς ἑαυτὸν, οὐδὲ μεταστραφεὶς πρὸς τὸν κύριον· τοιγαροῦν τῶν

ἀγνοούντων οὐκ ἦν ἔγκλημα κατ' αὐτῶν· εἰ μὴ ἦλθον γάρ, φησιν ὁ Χριστὸς, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· ἡ δὲ τῆς προφητείας ἀσάφεια διὰ τῆς ἐκβάσεως ἑρμηνεύεται. Δευτέρα δὲ αἰτία τὸ ἀπὸ τῆς ἑβραίων εἰς τὴν ἄλλην μεταληφθῆναι φωνὴν, τοῦ θεοῦ τοῦτο διὰ Πτολεμαίου γενέσθαι πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας οἰκονομήσαντος, ὅτε κοινῇ πᾶσιν ἤμελλεν ἐγνῶσθαι τοῖς ἔθνεσιν. Ὅτι δὲ κατὰ θεῖαν ἐπίπνοιαν ὁ μέγας Μωϋσῆς καὶ τὰ λίαν ἀρχαῖα καὶ τὰ μετὰ τὸ πλεῖστον ἐγίνωσκεν, οὐδεὶς ἀντερεῖ· θεοῦ γὰρ ἐπιπνοίᾳ τὸ λανθάνον εἴτε παρὸν εἴτε φθάσαν εἴτε μέλλον ἐγνώρισεν.

Ἐπειδὴ δὲ κόσμου γένεσις ἡμῖν τὸ προκείμενον, ἰστέον ὅτι τῶν ἑλλήνων παῖδες συναΐδιον τῷ θεῷ τὴν κτίσιν εἶναι φασὶν· ὕλην γάρ τινα τῷ θεῷ συναΐδιον ὑποτίθενται· μὴ δυνηθέντες γοῦν εὑρεῖν, πῶς ἐκ μηδαμῆ μηδαμῶς ὄντος ὄν τι γενήσεται, μετρεῖσθαι τοῦ θεοῦ τὴν δύναμιν ταῖς οἰκείαις ὑπολαμβάνοντες ἐννοίαις, ἀΐδιον ὕλην ἡμῖν ἀνεπλάσαντο· καὶ τὸν θεὸν ἀεὶ δημιουργὸν εἶναι λέγοντες, ἀεὶ φασὶ τὰ δημιουργήματα· καί τοι εἴπερ ἀΐδιος ἡ ὕλη, καὶ ἄτρεπτος· εἰ γὰρ τραπήσεται, κατὰ τὸ ἀΐδιον μόνην δέξεται τὴν τροπὴν, οὐκ ἀΐδιος γινομένη, ὅπερ ἀδύνατον· ἄποιος γὰρ οὖσα καὶ ἀπο-

σος καὶ ἀνείδεος, κατ' οὐδὲν τούτων τὴν τροπὴν ἐπιδέξεται· ἔσται δὲ καὶ ἴση Θεῷ· ἀΐδιον γὰρ ἀϊδίου τίνι διοίσειε; καὶ πῶς ἔσται τὸ μὲν ποιοῦν, τὸ δὲ γινόμενον; εὐτύχημα δὲ τοῦ θεοῦ καὶ τὸ τὴν ὕλην εὑρεθῆναι· ἢ γὰρ ἂν οὐκ ἐγεγόνει δημιουργὸς, ἀπορῶν ὅ τι ποιήσειε, καὶ μὴ δυνάμενος ἐκ μὴ ὄντων ὑποστῆναι τὰ ὄντα· πῶς δὲ ξένη οὖσα θεοῦ καὶ μὴ παρ' αὐτοῦ γενομένη, τῶν εἰδῶν τῶν ἐξ αὐτοῦ γέγονε δεκτική; ποία γὰρ οἰκειότης, ἢ τίς ἡ πρὸς τὰ εἴδη συγγένεια, τῶν μὲν ἐκ Θεοῦ, τῆς δὲ (μή;) πῶς δὲ τὰ εἴδη ἐκ μὴ ὄντων ποιῶν, ἃ δὴ καὶ κρείττονα, τὴν ὕλην οὖσαν χείρω, ποιεῖν οὐκ ἠδύνατο; ἀλλὰ τί τὰ εἴδη φημί; τὰς νοερὰς γὰρ οὐσίας καὶ παντελῶς ἀσωμάτους καὶ τὴν ψυχὴν τὴν ἡμετέραν πῶς ἐκ μὴ ὄντων παρήγαγε; τούτων γὰρ ἐκ τῶν σωμάτων ἀφῃρημένων, οὐδέν ἐστι τὸ λειπόμενον· καί τοι τὸν ὄγκον τοῖς εἴδεσιν ἐκ τῶν ὑποκειμένων ἴσμεν ἀεὶ χορηγούμενον, ἐν οἷς τὴν ὕλην συμβαίνει συννοεῖσθαι τοῖς εἴδεσι.

Πῶς δὲ καὶ ὁ κόσμος τῷ Θεῷ συναΐδιος; ἔσται γὰρ ἀνάγκῃ φύσεως, οὐ βουλήσει, τὸ εἶναι λαχών· ποίαν δὲ χάριν ὁμολογήσει Θεῷ τὰ τούτου δημιουργήματα, παρὰ μὴ βουλομένου γενόμενα δι' ἀνάγκην τῆς φύσεως; εἴπερ

ἐπειδήπέρ ἐστι δημιουργὸς, πάντως ὑπῆρχε τὸ δημιούργημα, μὴ δυναμένου τοῦ θεοῦ τὰς ποιητικὰς ἐπέχειν ὁρμάς· εἰ δὲ τοῦτο, πῶς ποιῶν ἐπαύσατο, καὶ μὴ καθεκάστην κόσμους δημιουργεῖ; πῶς δὲ οὐκ ἔσται συμπληρωτικὰ τὰ ποιήματα τῆς θείας οὐσίας, εἴ γε τούτων οὐκ ὄντων, οὐκ ἔσται φύσει δημιουργός; πῶς δὲ οὐ τοῦ δημιουργοῦ πρεσβυτέραν ἀνάγκη τὴν ὕλην νοεῖν, ἐπίνοιαν προταττομένην τοῦ κόσμου ἐξ ἧς ὁ κόσμος ἐγένετο τῷ θεῷ συναΐδιος; πῶς δὲ εἰ τὰ ἁπλᾶ τῶν συνθέτων πρεσβύτερα, ἅμα δὲ θεὸς, ἅμα κόσμος σύνθετος ὢν, οὐ καὶ τοῦ θεοῦ ταῦτα πάντως ἐπινοίᾳ πρεσβύτερα τοῦ τοῖς συνθέτοις συναϊδίου τυγχάνοντος; πῶς δὲ τοῦ κόσμου τὰ εἴδη συνεμετρήθη τῇ ὕλῃ; ἢ γὰρ κατὰ τύχην τοσαύτην εὗρε θεὸς ὕλην ὅσην ἠδύνατο κοσμοποιεῖν, καὶ συνεπερατοῦτο ταύτῃ τοῦ δημιουργοῦντος ἡ δύναμις, ὅπερ ἀϊδίων ἀλλότριον· ἢ πλείονα ταύτην τῆς ἰδίας εὗρε δυνάμεως, καὶ τὴν τοῦ θεοῦ δύναμιν τῆς ὕλης τὸ πλῆθος νενίκηκεν, εἴ γε πλῆθος προσῆκεν εἰπεῖν ἐπὶ τῆς νόθῳ ληπτῆς λογισμῷ, καθὰ φασὶν οἱ σοφοί· καὶ λοιπὸν ἐξ ἀνάγκης τὸ μὲν ἐδημιούργησεν αὐτῆς ὁ θεὸς πρὸς τὴν δύναμιν εἶχεν ἀρκέσασαν· τὸ δὲ ἀφῆκεν ἀδημιούργητον ἀπορίᾳ δυνάμεως· ἢ ταύτην εὑρὼν ἐλάττω, τὸ

πλεοναζον τῆς ἑαυτοῦ * δυνάμεως ἄκων ἐπέσχε, πρὸς τὴν λοιπὴν δημιουργίαν μηδὲν εὑρὼν ὑποκείμενον· εἰ δὲ μέρος ἐπέσχε τῆς δυνάμεως, καὶ τὸ πᾶν ἐπέχειν ἠδύνατο καὶ μὴ συναΐδιον ὑποστῆσαι τὸν κόσμον.

* Cod. ὑπὸ τήν.

Τὸν αὐτὸν δὲ λόγον ἐπὶ τοῦ κόσμου πάλιν ἀποπήσωμεν· ἢ γὰρ σύμμετρον, εὗρε τὴν ὕλην τῷ τοῦ κόσμου μεγέθει, ὅτε τοῦτον κατασκευάζειν ἠβούλετο, ἢ πλείω τῆς χρείας, ἢ πάλιν ἐλάττονα· καὶ εἰ μὲν ἐλάττω, πόθεν λοιπὸν ἐγένετο; εἰ δὲ πλείω, ἔμεινε τὸ πλεονάσαν ἀκόσμητον ὥσπερ ἕτερον ἀναμένον δημιουργόν· εἰ δὲ σύμμετρον, τύχησις πρὸ θεοῦ τὸ μέτρον αὐτῷ καὶ πρὸς χρείαν τοῦ κόσμου καὶ πρὸς τὴν ἰδίαν παρεσκεύασε δύναμιν· πῶς δὲ οὐ πέρας ἐδέξατο συμμετρηθεῖσα τῷ κόσμῳ; ὅπερ αὐτῆς ἀλλότριον, εἴπερ ἐστιν ἀΐδιος καὶ ἀσώματος· πῶς δὲ γέγονεν ὁ κόσμος εἴπέρ ἐστι συναΐδιος; τὸ γὰρ ἄχρονον ἄκτιστον, τὸ δὲ ἄκτιστον ἄναρχον· Θεὸς δὲ μόνος τὸ ἄναρχον, καθ' ὅ τι δ' ἂν λάβῃς σημαινόμενον τὴν ἀρχὴν, εἴτε κατ' αἰτίαν, εἴτε κατὰ χρόνον· ἃ δὴ μόνῳ τῷ ἀϊδίῳ συμβέβηκεν· πῶς δὲ οὐ πατὴρ μᾶλλον, ἢ τοῦ κόσμου δημιουργὸς ὁ Θεός; γεννῶν αὐτὸν ὡς ἥλιος τὴν αὐγὴν, ἀλλ' οὐχ ὡς πόλιν οἰκιστὴς ἐργαζόμενος· εἰ γὰρ καὶ τῷ Θεῷ δυνατὸν ἀεὶ

ποιεῖν, ἀλλ' οὐκ ἠδύνατό τι γεννητὸν ἀεὶ εἶναι καὶ συμπαρεκτείνεσθαι τῇ τοῦ ποιοῦντος ἀϊδιότητι· ἄλλως τε καὶ ὁ εἰπὼν δημιουργὸν, οὐχ ἅμα συνεισάξει δημιουργίαν· οὐ γὰρ τῷ οἰκοδόμῳ συνυπάρχει τὸ οἰκοδόμημα, οὐδὲ τῷ ναυπηγῷ τὸ σκάφος· ἡ μὲν γὰρ δημιουργία ἐν τῷ δημιουργῷ· τὸ δὲ δημιούργημα μετὰ τὸν δημιουργὸν· εἰ ἅμα κόσμος καὶ οὐδὲν καινὸν, ἅμα τῷ κόσμῳ κακία· εἰ δὲ τοῦτο, ἅμα Θεῷ ἡ κακία· καὶ ἢ ἄναρχος αὕτη παντελῶς, ἢ ἐξ αὐτοῦ· ἄμφω δὲ ἄτοπα· εἰ ἅμα θεὸς ἅμα κόσμος, ἅμα Θεὸς καὶ δαίμονες πονηροί· καὶ εἰ μὲν οὐσιώδης αὐτῶν ἡ κακία, πόθεν; οὐ γὰρ ἀρχαία· εἰ δὲ ἐπίκτητος, δεῖ προϋπάρχειν τῆς κακίας τοὺς ἐκείνης μετέχοντας· καί τοι ἅμα κόσμος ἅμα κακία προείρητο κατ' αὐτούς· εἰ ἅμα Θεὸς ἅμα κόσμος, ἅμα ἁπλᾶ ἅμα σύνθετα· καὶ πῶς ἐξ ἐκείνων ταῦτα, ἅμα τὰ δυνάμει ἅμα τὰ ἐνεργείᾳ, ἅμα ἀτελῆ ἅμα τέλεια τὰ ἐξ ἀτελῶν πεφυκότα τελειοῦσθαι; οἷον ἄνδρες ἐκ παίδων, καρποὶ ἀπὸ σπερμάτων, αὐξήσεις ἀπὸ μειώσεων· ἅμα ἥλιος ὁ τελειῶν τὰ ἐκ γῆς, ὥς φασιν, ἅμα πάντα τὰ κατὰ μέρος γεννώμενα κατὰ διαδοχὴν, ἵνα μηδὲν ἔχῃ Θεὸς δυνάμει· λόγους μὲν αὐτῶν ἔχων, οὐχ ἅμα δὲ δημιουργῶν τὰ καθ' ἕκαστον· ἔσται δὲ καὶ ἅμα Θεὸς ἅμα κρί-

σις, εἴ γε κρίσεως τὸ δεσμεῖσθαι τοῖς σώμασι· καὶ ἔσται πρὸ τοῦ κόσμου ἡ κρίσις· εἰ ἅμα θεὸς ἅμα κόσμος, οὐδὲν καινὸν ἐν τῷ κόσμῳ, τῆς εἱμαρμένης καθ' ἑαυτὴν προνοίᾳ συμπεπλεγμένης, καὶ τῶν ἀποκαταστάσεων ἀεὶ γινομένων, καὶ μηδὲν εἰκὸς * ἐκ περιόδων ἀπαραλλάκτως καὶ γέγονε καὶ γενήσεται· τοῦτον νεώτερον εἶναι φασὶν, εἰ ἅμα θεὸς, ἅμα τὰ πάντα ὁμοῦ.

* Cod. μηδικός.

Οὐκοῦν εἰκότως ὁ Μωϋσῆς τοὺς ἐκείνων ὕθλους καὶ τὰς ἀσεβεῖς καὶ θεομάχους ἐννοίας καταλιπὼν, ἐν ἀρχῇ φησὶν ὁ θεὸς ἐποίησεν τὸν οὐρανὸν καὶ τὴν γῆν· ἀλλὰ γὰρ ἔτι πρίν τι κατὰ τὸ μέρος εἰπεῖν, τοσοῦτον ἐπισημήνασθαι χρὴ, ὡς οὐ πάσης δημιουργίας μνήμην ὁ συγγραφεὺς ἡμῖν ἐποίησατο, οὔτε γὰρ ἀγγέλους οὔτε νοερὰς δυνάμεις ὠνόμασεν· οἱ μὲν φασὶν τῷ πρεσβυτέρας ἐκτίσθαι τοῦδε τοῦ κόσμου, οἱ δὲ τῷ συνεκτίσθαι τῷ κόσμῳ πᾶν νοητόν τε καὶ αἰσθητόν· ἅμα γὰρ τοὺς ἀγγέλους οὐρανῷ περιέχοντι, καὶ τοὺς ὑπ' αὐτοῦ περιεχομένους συνεισῆχθαι φασίν· ὥσπερ γὰρ οὐκ ὀνομάσας ἀέρα καὶ πῦρ τοῖς ἄκροις τὰ ἴσως μεταξὺ συνείληφεν, οὕτως οὐκ ὀνομάσας ἀγγέλους συννοεῖσθαι παρέσχε τῷ περιέχοντι· τί δὴ τούτου γέγονεν αἴτιον· εἰ γὰρ ἀπὸ καλλονῆς κτισμάτων ὁ δημιουργὸς θεωρεῖται, κρείττους δὲ τῶν ὁρωμέ-

νων κτισμάτων οἱ ἄγγελοι, πῶς οὐ τὴν τούτων μᾶλλον ἐχρῆν παραστῆσαι δημιουργίαν; ἄρ' οὖν ὡς ἀγενήτων τὴν μνήμην παρέδραμεν; ἄπαγε, ἔσται γὰρ οὕτως ἀγένητα καὶ τὰ σεσιγημένα στοιχεῖα· ἀλλὰ γὰρ τοῖς ἰουδαίοις συνεψελλίζετο, ἐκεῖνα λέγων ὧν τέως ἀκούειν ἠδύναντο· καθάπερ γὰρ παίδων διδάσκαλος, τὰ πρῶτα τούτοις στοιχεῖα παρέδωκε, εἰδὼς ὡς ταῦτα μαθόντας, ἕτεροι διδάσκαλοι διαδέξονται παραδιδόντες τὰ τελειότερα· ἤμελλον γὰρ τοῖς αἰσθητοῖς ὥσπερ ὑποβάχθροις χρησάμενοι, δύνασθαί τι καὶ περὶ τῶν ὑψηλοτέρων ἀκούειν· ὅθεν Δαβὶδ ὡς ἄν τις διδάσκαλος παρὰ τοῦ διδασκάλου παραλαβὼν τὸν λαὸν, αἰνεῖτε φησὶ τὸν κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις, αἰνεῖτε αὐτὸν πάντες οἱ ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτὸν πᾶσαι αἱ δυνάμεις αὐτοῦ· ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν· ἔτι δὲ καὶ ὁ μέγας Παῦλος φησὶν ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα εἴτε ὁρατὰ εἴτε ἀόρατα· τὸ γὰρ εἰρημένον τῷ Ἰὼβ, ὅτε ἐγενήθησαν ἄστρα ἤνεσάν με μεγάλῃ φωνῇ πάντες ἄγγελοί μου, οὐ παρίστησι σαφῶς πρὸ οὐρανοῦ καὶ γῆς γεγονέναι· τὰ γὰρ ἄστρα κατὰ τὴν τρίτην ἡμέραν ἐγένετο Τούτων ἡμῖν ἀναγκαίως προλελεγμένων, χωρη-

τέον ἐπὶ τὴν κατὰ τὸ μέρος ἐξήγησιν, Θεοῦ τὸ δύνασθαι πρυτανεύοντος.

ΚΕΦ. Α.

Cap. I. v. 1. « Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ „ τὴν γῆν „. Ἢ ἀρχὴν λέγει χρόνου· ἐκ τούτου γὰρ ἤρξατο τῶν γεγονότων ὁ χρόνος, καὶ τὴν πρώτην ἔλαβε ποίησιν· οἷόν ἐστι καὶ τὸ ἀρχὴ ὁδοῦ ἀγαθῆς ποιεῖν δίκαια· ἀπὸ δικαίων γὰρ πράξεων ἐπὶ τὸν μακάριον βίον κινούμεθα· κἂν γὰρ ἀναποδίσῃς ἀπὸ τῶν μετὰ ταῦτα χρόνων, τοῦτον πέρας εὑρήσεις ἐξ οὗ καὶ τὴν ἀρχὴν ἐποιήσατο· ἢ ὅτι ἀρξάμενος ὁ Θεὸς δημιουργεῖν, ταῦτα πρῶτα πεποίηκεν· ὥσπερ οἰκοδομεῖν ἀρχόμενος πρῶτον ποιεῖ τὸν θεμέλιον. Ἢ ἀρχὴν τοῦ κόσμου φησὶ τὴν τοῦ ποιήσαντος τέχνην· ἀρχὴ γὰρ τεχνικῶν ἔργων ἡ τέχνη· ὡς ἡ σοφία τοῦ Βεσελεὴλ τοῦ περὶ τὴν σκηνὴν κόσμου. Ἢ ἐν ἀρχῇ φησὶ τὸ πρὸς τέλος ἀγαθὸν γεγονέναι σημαίνων· εἴ γε παιδευτήριόν ἐστι τῶν ψυχῶν, ὡς ἐλεημοσύνης ἀρχὴν τοῦ θεοῦ λέγομεν τὴν ἀποδοχὴν καὶ τὴν ἐκεῖθεν μακαριότητα· ἴσως δὲ ἀρχὴν τὸ ἄχρονον, καὶ τὸ ἀκαριαῖον ἐκάλεσε τῆς δημιουργίας· ὡς γὰρ ἀρχὴ ὁδοῦ οὐχ ὁδὸς, ἀμερὴς γὰρ ἡ ἀρχὴ, οὐδὲ τοῦ χρό-

νου ἡ ἀρχὴ χρόνος, εἰ Γὰρ χρόνος, εἰς τὰ τοῦ χρόνου διαιρεθήσεἶαι μέρη, καὶ ἕξει πάλιν ἀρχὴν, καὶ τοῦτο ἐπ' ἄπειρον· ἀρχὴν δὲ ἀρχῆς ἐπινοεῖν, ἄγαν ἀλόγιστον· δηλοῖ οὖν ὡς ἅμα τε Θεὸς ἠβουλήθη, καὶ γέγονε τὰ γενόμενα. Σημαίνει δέ ποτε τὸ τῆς ἀρχῆς ὄνομα τὴν βασιλείαν· ἵνα ᾖ καὶ ἐνἶαῦθα ὅτι βασιλεὺς ὢν καὶ ἐξουσιαστὴς, πεποίηκε τόδε τὸ πᾶν· οὐκ ἀλλαχόθεν τὴν ὕλην λαβὼν, ἀλλὰ ἅμα τοῖς εἴδεσι καὶ τὴν ὑποκειμένην ὕλην εἰς τὸ εἶναι παρήγαγεν· ἐν δὲ τῷ ἑβραϊκῷ ἡ ἀρχὴ κεφαλὴν σημαίνει· καὶ δύναἶαι οὐρανὸν καὶ τὴν γῆν πρῶτα ὄντα τῶν ὁρωμένων δημιουργήματα, κεφαλὴν καλεῖν, ὥσπερ κεφαλὴ σώματος οὐ τῇ θέσει μόνον ἀλλὰ καὶ τῇ αἰσθήσει καὶ τῇ ζωῇ ἡγεμονικωτέρα. Cap. 1.

Τῆς μὲν οὖν κτίσεως ὁ Μωϋσῆς λέγει τὰ πρῶτα γεγονότα· τὸν δὲ ποιήσαντα πρὸ πάντων ἠκολούθει νοεῖσθαι τῶν γεγονότων, οὐ μετρητῷ τινὶ διαστήματι προϋπάρχοντα· οὐ δυνατὸν γὰρ ἀϊδίῳ μετρηθῆναι τὴν ὕπαρξιν· ἐδιδάχθη δὲ τοῦ θεοῦ τὸ ἀΐδιον ἐν Χωρὴβ εἰπόντος αὐτῷ, ἐγώ εἰμι ὁ ὢν, μεθ' ὃ τὴν παροῦσαν συγγραφὴν συνεστήσαἶο· μὴ μαθὼν γὰρ τὸν θεὸν, πῶς ἂν ἔφη τοῦ παντὸς εἶναι δημιουργὸν; ἢ πῶς τοὺς ἀγνοοῦντας ἐδίδασκεν ὅτι ἐποίησεν ὁ

Cap. 1. Θεός; νῦν δὲ ὡς εἰδόσι, φησὶν ὡς ὁ Θεὸς, ὃν ἔγνωτε δι' ἐμοῦ ὡς ἀΐδιός ἐστιν, ὡς ὢν, ὡς μόνος, οὕτως δόξαν αὐτῷ, τὸν οὐρανὸν ἐποίησε καὶ τὴν γῆν· καὶ τὸν χρόνον δὲ ἡμῖν μετὰ πάσης ἀριθμεῖ τῆς ἀκριβείας· ὡς ἂν γνοίημεν τοῦ τε Θεοῦ τὸ ἀπεριόριστον καὶ τῆς κτίσεως τὸ περιωρισμένον, τὸν χρόνον ἔχοντες ἀφ' οὗ τοῦ εἶναι εἴληφε τὴν ἀρχήν· ὅθεν ἐποίησε φησὶ καὶ οὐκ ἦν· ὅπερ ἐπὶ τοῦ Θεοῦ λόγου φησὶν ὁ Ἰωάννης· ἀϊδίοις μὲν γὰρ ἁρμόττει τὸ ἦν· κτίσμασι δὲ τὸ ἐγένετο· ὅθεν περὶ τοῦ Βαπτιστοῦ προϊὼν φησὶν, ἐγένετο ἄνθρωπος ἀπεσταλμένος ὑπὸ θεοῦ· εἰ δὲ προϊών φησιν ὁ Μωϋσῆς, ἡ δὲ γῆ ἦν ἀόρατος, θαυμαστὸν οὐδέν· ἦν γὰρ γενομένη· μετὰ γὰρ τὸ ἐποίησε, φησὶ τὸ ἦν ἀόρατος· τὸ δὲ ἑβραϊκὸν τὸ ἐποίησε σημαίνει καὶ τὸ ἔκτισε καὶ τὸ ἀνέδειξεν· ὅπερ ἔοικε μᾶλλον δηλοῦν ἡ γραφὴ ὡς ἐξ οὐκ ὄντων ἀνέδειξε· τὸ γὰρ ἐποίησε ἐπειδὴ λέγεται καὶ ἐπὶ τῶν ἔκ τινος γινομένων, οἷον ὅτι ἐκ σιδήρου δρέπανον, ἤ τι τοιοῦτον ὁ τεχνίτης ἐποίησε, δέδωκέ τισι λαβὴν τοῦ λέγειν ὡς Μωϋσῆς ἐξ αἰγυπτίων μαθὼν ἐξ ὕλης προϋποκειμένης γεγονέναι τὸ πᾶν, εἰκότως εἶπεν ἐποίησεν· ὧν αἰνοοῦντες τὴν συκοφαντίαν οἱ ἑρμηνεύσαντες, ἐποίησεν εἶπαν, δέον εἰπεῖν τὸ ἀνέδειξεν· ὅπερ εἰκὸς εἰπεῖν Μωϋ-

σέα πρὸς τοὺς τὴν ὕλην εἰσάγοντας ἀνθιστάμε- Cap. 1.
νον· ὡς γὰρ μὴ προϋπάρχειν εἰδὼς, ἀντὶ ὕλης οὐρανὸν καὶ γῆν καὶ τὴν ἄβυσσον προγεγονότα λαβὼν, τὴν ἐξ αὐτῶν εἰσηγήσατο διακόσμησιν· τοιγαροῦν ἡ πρώτη ἡμέρα πολὺ διαφέρει τῶν ἄλλων τῶν μετ' αὐτήν· ἐν ταύτῃ μὲν γὰρ τὰ γενόμενα ἐκ μὴ ὄντων ἐποίησεν ὁ Θεός· ἐπὶ δὲ τῶν ἄλλων οὐδὲν ἐξ οὐκ ὄντων ἐποίησεν, ἀλλ' ἐξ ὧν κατὰ τὴν πρώτην εἰργάσατο.

Θαυμαστὸν δὲ πῶς πρῶτον ἐποίησε τὸν οὐρανὸν, εἶτα τὴν γῆν· πρῶτον τὸν ὄροφον, εἶτα τὸ ἔδαφος· ἀλλ' οὐ παράδοξον· οὐ γὰρ ἀνάγκῃ φύσεως ὑπόκειται, οὐδὲ ἀκολουθίᾳ τέχνης δουλεύει· τὸν δὲ τοσοῦτον οὐρανὸν τὸν μέγαν καὶ φαιδρὸν καὶ διαρκῆ καὶ ἐπὶ τοσοῦτον ἑστηκότα χρόνον ὁ Θεὸς ὡς ἂν εἰ παίζων τις καλύβην ποιήσειεν, οὕτω μετ' εὐκολίας ἐποίησε· καὶ τοῦτο ἐμφαίνων Ἡσαΐας ἔλεγεν· ὁ στήσας τὸν οὐρανὸν ὡσεὶ καμάραν, καὶ διατείνας αὐτὸν ὡς σκηνὴν ἐπὶ τῆς γῆς. Ἐκ τούτου δὲ τοῦ ῥητοῦ τινὲς, μᾶλλον δὲ οἱ πλείους, ἡμισφαίριον εἶναι τὸν οὐρανὸν ἀπεφήναντο, ἄλλων αὐτὸν σφαῖραν ὑποθεμένων· περὶ δὲ τοῦ σχήματος αὐτοῦ καὶ τῆς στάσεως φησὶν ὁ ἀπόστολος· καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς ἣν ἔπηξεν ὁ κύριος καὶ οὐκ ἄνθρωπος· ποῦ τοίνυν οἱ λέγοντες δονεῖσθαι

Cap. I. τὸν οὐρανὸν, καὶ σφαιροειδῆ τοσοῦτον ἀποφαινόμενοι; τούτων γὰρ ἑκάτερον ἐν τοῖς εἰρημένοις ἀνῄρηται· ὅτι δὲ ἀρχὴν ἔχει καὶ τέλος, οἱ προφῆται σημαίνουσι, λεγούσης τῆς γραφῆς· ὁ ἥλιος ἐξῆλθεν ἐπὶ τὴν γῆν, ἀλλ' οὐκ ἀνῆλθε· καὶ πάλιν· ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ, οὐχ ἡ ἄνοδος· ἡ σφαῖρα δὲ ἄκρον οὐκ ἔχει· καὶ ὁ σωτήρ· ὅταν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ, ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος καὶ φωνῆς μεγάλης, καὶ συνάξουσι τοὺς ἐκλεκτούς μου ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἕως ἄκρου αὐτοῦ· καὶ Μωϋσῆς δὲ φησίν· ἀπὸ τῆς ἡμέρας ἧς ἔκτισεν ὁ θεὸς ἄνθρωπον ἐπὶ τῆς γῆς καὶ ἕως ἄκρου τοῦ οὐρανοῦ· καὶ Ἡσαΐας· κύριος σαβαὼθ ἐντέταλται ἔθνει ὁπλομάχῳ ἔρχεσθαι ἐκ γῆς πόῤῥω, ἀπ' ἄκρου θεμελίου οὐρανοῦ. Ἀλλὰ μὲν οὐδὲ ἔμψυχος, κἂν ἡ γραφὴ προσωποποιεῖ τὸν ἅπαντα κόσμον ὑπὲρ τοῦ γενέσθαι τὸν λόγον ἐμφατικώτερον, ποταμοὺς χερσὶ κροτοῦντας εἰσάγουσα καὶ βουνοὺς ἀλλομένους καὶ ὄρη σκιρτῶντα, πρὸς τὸ μαθεῖν τῶν ἀγαθῶν τὴν ὑπερβολὴν καὶ τῶν ἀναισθήτων ὡς εἰπεῖν καθικνουμένην· καὶ ἐπὶ τῶν δὲ λυπηρῶν πολλάκις τοῦτο ποιεῖ, ἄμπελον θρηνοῦσαν εἰσάγουσα καὶ οἶνον καὶ ὄρη καὶ τὰ φατνώματα ὀλολύζοντα τοῦ

ναοῦ δι' ὑπερβολὴν τῶν κακῶν· ὅθεν καὶ ὁ θεῖος Cap. 1.
ἀπόστολος τὴν κτίσιν φησὶ στενάζειν καὶ ὠδίνειν· ἵνα τῶν μελλόντων ἀγαθῶν ἐνδείξηται τὴν ὑπερβολὴν καὶ τὴν ἐπιθυμίαν τῆς ἀπαλλαγῆς τῶν κατεχόντων κακῶν· ἀλλὰ μὴν ὅτι οὐκ ἀΐδιος ὁ οὐρανός· τὸ γὰρ ἀΐδιον ἀσώματόν τε καὶ ἀσχημάτιστον καὶ ἀσύνθετον καὶ ἀπερίγραφον.

Ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος· v. 2.
ἀόρατον φησὶν οὐχ ὡς μὴ πεφυκυῖαν ὁρᾶσθαι, ἀλλ' ὡς ὁρατὴν μὲν φύσει, κρυπτομένην δὲ τοῖς ὕδασιν· ἦν γοῦν ἀόρατος, τουτέστιν ἀκόσμητος, καὶ οὔπω θέας ἀξία· ὁ γὰρ Ἀκύλας ἀντὶ τοῦ ἀόρατος εἶπε κενὴ, τουτέστι κόσμου παντὸς ἐστερημένη, ὅσος ἐν φυτοῖς ὁρᾶται καὶ ποταμοῖς καὶ πηγαῖς· τοιγαροῦν φησὶν ἡ γραφὴ περί τινος εὐπρεποῦς καὶ ἀνδρείου· οὐχ οὗτος φησὶν ἐπάταξε τὸν ἄνδρα τὸν αἰγύπτιον, ἄνδρα ὁρατὸν; τουτέστι θαυμαστὸν καὶ ἄξιον θέας· ἄλλως γὰρ πάντες ἐσμὲν ὁρατοί· ἵν' ᾖ ταυτὸν τὸ ἀόρατος καὶ ἀκατασκεύαστος· οὐδὲ γὰρ ὕλην τινὰ φησὶν ἐστερημένην εἰδῶν καὶ τῆς ἐκ τούτων κατασκευῆς· ἢ γὰρ ἂν καὶ τὸν οὐρανὸν εἶπεν ἀκατασκεύαστον, εἴπερ ἐξ ὕλης πάντα πεποίηκε· καὶ οὐδ' ἂν εἶπε τὸν μὲν οὐρανὸν, τὴν δὲ γῆν, πλὴν εἰ μὴ λέγοιεν ὡς ὕλας εἰδοποιηθῆναι ὥσπερ τὴν γῆν· ὁ δὲ θεομάχος

Cap. 1. Μάνης τὸ ἦν φησὶ δηλοῦν τὸ τῆς ὕλης ἀγένητον, καί τοι πρόκειται τοῦ ἦν τὸ ἐποίησεν· ἄλλως τε οὐδὲ τὸ ἦν ἀεὶ δηλοῖ τὸ ἀΐδιον, ὡς τὸ ἦν ὁ ἄνθρωπος ἐκεῖνος εὐγενὴς τῶν ἀφ' ἡλίου ἀνατολῶν· ἴσως δὲ καὶ ἀόρατον φησὶν, ἐπεὶ οὔπω ἦν ταύτης θεατὴς ἄνθρωπος· εἰ δὲ ἦν, οὔπω τὸ φῶς ἐγεγένητο· ὅτι δὲ τὸ ἀκατασκεύαστον τὸ ἀκόσμητον δηλοῖ, δῆλον ἐξ ὧν ἑτέρωθι φησὶ· ποιῶν βέλτιον κατασκευάσα σε ὡς πηλὸν κεράμεως· ὡς γὰρ ὁ κεραμεὺς πηλὸν ἀδιακόσμητον εἰς ὅ τι βούλεται μεταρυθμίζει σκεῦος, οὕτω καὶ ἐγώ σε πηλὸν ἐκ γῆς λαβὼν ἐπὶ τὸ βέλτιον μετεσκεύασα· ὡς ἀνθρώποις ἀδύνατον λέγειν οἷος ἐξ οἵου γεγένησαι. Τίνος δὲ εἵνεκα τὸν μὲν οὐρανὸν ἀπαρτισθέντα παρήγαγε, τὴν δὲ γῆν κατὰ μικρὸν αὐτὸν τεχνιτεύειν φησὶν ἡ γραφή; ἵνα ἐν τῷ κρείττονι στοιχείῳ μαθὼν αὐτοῦ τὴν δύναμιν πληροφορηθῇς ὅτι καὶ ταύτην ἠδύνατο καθάπερ ἐκείνην ἀπηρτισμένην παραγαγεῖν· διὰ σὲ δὲ καὶ τὴν σωτηρίαν τὴν σὴν ἀκατάσκευος γέγονε· κοινὴ γὰρ τράπεζα καὶ πατρὶς καὶ τροφὸς καὶ μήτηρ ἁπάντων ἔστι καὶ πόλις καὶ τάφος κοινός· ἵνα οὖν μὴ τὸ τῆς χρείας ἀναγκαῖον θαυμάζων θεοποιήσῃς αὐτὴν, δείκνυσί σοι ταύτην ἀδιατύπωτόν τε καὶ ἀκαλλῆ· καὶ γὰρ οὕτω τὴν ἀσθένειαν ὁρῶντες, τὸν

καὶ παραγαγόντα καὶ κοσμήσαντα ταύτην θαυμάζομεν. Cap. I.

“ Καὶ σκότος ἦν ἐπάνω τῆς ἀβύσσου „. Μακρὰ ληροῦσιν οἱ τοῦ κακοῦ φύσιν ἀγέννητον ἐκ τούτων εἰσάγοντες, διά τε τοῦ ἦν καὶ τοῦ μὴ γένεσιν σκότους εἰπεῖν τὴν γραφήν· ἀλλὰ περὶ μὲν τοῦ ἦν, εἴρηται τὰ προσήκοντα· γένεσιν δὲ πράγματος ἀνυποστάτου πῶς εἶχεν εἰπεῖν ἡ γραφή; στέρησις γάρ ἐστι τοῦ φωτὸς, οὗ μήπω γενομένου, τῶν σωμάτων ἡ φύσις τὸ αὐγὲς οἴκοθεν οὐκ ἔχουσα, πάντως ἀφώτιστος ἦν· ὅθεν καὶ ἀὴρ καὶ ὕδωρ ἦν σκοτεινόν· καὶ πῶς γὰρ δυνατὸν φύσιν ἐναντίαν εἶναι Θεῷ; ἢ γὰρ ἴση τὴν δύναμιν, ἢ χείρων, ἢ κρείττων· ἀλλ᾽ εἰ μὲν ἴση, ἀδιάκριτος ἡ μάχη, καὶ οὐδὲν δράσει θάτερον ἐμποδὼν ἔχον τὸ ἕτερον· εἰ δὲ χείρων, πῶς οὐ κεκώλυκεν; οὐ γάρ ἐστι λέγειν ὡς ἀνὰ μέρος κρατεῖ καὶ κρατεῖται· τοῦτο γὰρ δείκνυσι, ποτὲ μὲν ἀσθενεῖν, ποτὲ δὲ ῥώννυσθαι τούτων ἑκάτερον· ὅπερ ἀϊδίων ἀλλότριον· πῶς δὲ ἀλλήλαις σύνεισιν ἐναντίαι τυγχάνουσαι; ἢ ἐστί τι τὸ διορίζον; καὶ πότερον ἴσον, ἢ χεῖρον, ἢ κρεῖττον; ταῦτα γὰρ τοῖς πρόσθεν συμβήσεται· ἢ πῶς συνῆλθεν ἀλλήλοις τὰ τούτων δημιουργήματα; τὰ γὰρ ἐξ ἐναντίων καὶ πολεμίων, ἐναντία τε καὶ πολέμια· συνυπάρξαι δὲ ἐναντία,

Cap. 1. λίαν ἀδύνατον· πῶς δὲ πείσεται παρὰ τῶν ἀλλήλων ἀεί; διὰ ταῦτα γὰρ ἀπαθῆ τε καὶ ἄτρεπτα· πῶς δὲ ἐναντία οὐχ' ὑπὸ ἓν γένος, ὅπερ κρεῖττόν ἐστι τῶν εἰδῶν, καὶ κατὰ τὸ γένος πάντως καθέστηκε συγγενὲς; οὐκ ἄρα παντελῶς ἐναντία· πῶς δὲ ἐναντία, μὴ ποιότητες; οὐσίαι γὰρ οὐδὲν ἐναντίον· πολλὰ λέγειν εἶχον εἰ τοῦτο ἦν τὸ προκείμενον.

Αἰτία δὲ τοῦ ἀοράτου τῆς γῆς, τὸ ἐπικεῖσθαι τὴν ἄβυσσον· ἄβυσσος δὲ πλῆθος ὑδάτων, δυσέφικτον ἔχον τὸ πέρας ἐπὶ τὰ κάτω· διὰ τὸ πλεῖστον οὖν βάθος καὶ τὸ μήπω γεγονέναι τὸ φῶς, ἀπόρατος ὑπῆρχεν ἡ γῆ· οὐκ ἄρα θαυμαστὸν εἰ πρὸ τὸ φῶς σκότος· οὐδὲ γὰρ ὑπόστασιν κέκτηται, δυνάμει δὲ φωτιστόν ἐστι φωτὸς παρουσίας δεόμενον· ἀὴρ γάρ ἐστι δεκτικὸς τοῦ φωτὸς· οὐ καθὸ ἀὴρ σκότος ὑπάρχων, ἐπισυμβαῖνον δὲ τοῦτο λαχών· δυνάμει τὶ ὂν, τοῦ κατ' ἐνέργειαν ἀρχὴ καὶ φίλον ἐστὶ καὶ συγγενὲς, δι' αὐτοῦ τελειούμενον. Τὸ δὲ λέγειν κατὰ τὴν ἀντίφραξιν νοητοῦ φωτὸς γεγονέναι τὸ σκότος, εἰ λόγον εὐπαράδεκτον ἔχει σκοπήσωμεν· τί γὰρ, εἰπέ μοι, τῶν σωμάτων νοητὸν φῶς ἀντιφράξαι δυνήσεται; θεὸς γὰρ τοῦτο καὶ ἡ ἐκεῖθεν τοῖς νοητοῖς χορηγουμένη ζωή τε καὶ ἔλλαμψις· ἐτόλμησαν δέ τινες εἰπεῖν ὅτι σκότος ὁ

διάβολος ἐστὶν· ἄβυσσος οἱ δαίμονες· ὅτε δὲ εἶπεν ὁ θεὸς γενηθήτω φῶς, γέγονεν ὁ υἱὸς τοῦ Θεοῦ· καὶ οὐκ αἰσχύνονται τοῦ υἱοῦ πρεσβύτερον τὸν διάβολον λέγοντες, καὶ τὸν οὐρανόν τε καὶ τὴν γῆν, δι' οὗ καὶ ταῦτα ἐγένετο· πλὴν ὅτι γεγονὼς ἀγαθὸς ὁ διάβολος ἐξ ἑαυτοῦ προῆλθεν διάβολος· τῆς δὲ ἀβύσσου εἰπὼν, συμπεριεχομένης τοῖς γενομένοις ἐμνήσθη, ὡς δηλοῖ τὸ ἄρθρον τὸ τῆς· ὥσπερ καὶ τὸ ἐπάνω τοῦ ὕδατος· διὰ γὰρ τῆς τῶν περιεχόντων δημιουργίας συνεδηλώθη καὶ τὰ περιεχόμενα. Cap. I.

Καὶ πνεῦμα θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος· οἱ μὲν, φασὶ τὸ πνεῦμα τὸ ἅγιον· ὅθεν προσκεῖσθαι καὶ τὸ Θεοῦ, ὅπερ ἐπὶ μόνου τοῦ ἁγίου πνεύματος λέγεσθαι· τοιοῦτόν τι γὰρ ὑποσημαίνειν τὴν τῶν ἑβραίων φωνὴν τὸ οἱονεὶ θάλπειν ὄρνιθος δίκην καὶ κινεῖν πρὸς ζωογονίαν τὸ ὕδωρ· ὡς ἂν δειχθῇ τῶν στοιχείων ἡ φύσις μηδὲν οἴκοθεν ἔχουσα πρὸς τὸ ἀμέμπτως τὰς ἰδίας ἐνεργείας ἀποτελεῖν οἷ ζωογονεῖν ἢ θάλπειν· ὅπερ οὐκ ἔσχεν ἡ τῶν ἑλλήνων διὰ μιᾶς τῆς λέξεως παραστῆσαι φωνή· ὅθεν εἶπε τὸ ἐπεφέρετο, ῥῆμα θείου πνεύματος ἄγαν ἀλλότριον· εἰ μή τις ὡς τὸ κατέβη ὁ Θεὸς καὶ ἀνέβη καὶ περιεπάτει καὶ τὰ τοιαῦτα, καὶ τοῦτο νοήσειεν· οἱ δὲ, τοῦτο μὲν ἀπεδοκίμασαν,

Cap. 1. μὴ γὰρ δεῖν τῇ κτίσει συναριθμεῖσθαι τὸ ἄκτιστον· πνεῦμα δὲ θεοῦ τὸν ἀέρα σημαίνειν ὑπέλαβον. Καὶ διὰ τί θεοῦ; τί γὰρ τῶν λοιπῶν οὐ θεοῦ; ἐπειδὴ τῶν εἰρημένων λεπτότερον, καὶ ἀσωμάτων ἐγγὺς, ἔτι δὲ καὶ κινητικώτερον, πνεῦμα δὲ διὰ τοῦτο προσαγορεύεται, ὃ καὶ τὴν θείαν οὐσίαν ὀνομάζειν οἶδεν ἡ θεία γραφή· ὡς οὖν μὴ ἄλλό τι παρὰ τὴν κτίσιν αὐτὸν διὰ ταῦτα νομίσωμεν εἶναι, προστέθεικε τὸ θεοῦ· ἐξ οὗπερ ὁμοίως τοῖς ἄλλοις ἐγένετο· ὅτι δὲ σύνηθες τῇ γραφῇ καλούσῃ πνεῦμα τὸν ἀέρα προστιθέναι τὴν θεοῦ φωνὴν, ἐδίδαξε καὶ Δαβὶδ περὶ τοῦ ἀέρος λέγων καὶ τῶν ἐν αὐτῷ κατὰ ἀλλοίωσιν ὅρῳ θείῳ φιλούντων συμβαίνειν· τοῦ διδόντος χιόνα αὐτοῦ ὡσεὶ ἔριον, ὁμίχλην ὡσεὶ σποδὸν πάσσοντος, βάλλοντος κρύσταλλον αὐτοῦ ὡσεὶ ψωμούς· καὶ πάλιν, πνεύσεται τὸ πνεῦμα αὐτοῦ καὶ ῥυήσεται τὰ ὕδατα· οὐκοῦν τὸ πνεῦμα ἐν τοῖς τοιούτοις ποτὲ μὲν τὸν ἀέρα, ποτὲ δὲ σημαίνει τὸν ἄνεμον, ἔργον ὄντα τοῦ θεοῦ καὶ κατὰ τὴν γνώμην αὐτοῦ κινούμενόν τε καὶ τοιαῦτα δρᾶν εἰωθότα. Ἔδοξε δέ τισι, καὶ θεοῦ πνεῦμα τὴν ἐνέργειαν εἰπεῖν, θάλπουσάν τε καὶ διοικοῦσαν τῶν ὑδάτων τὴν φύσιν· τινὲς δὲ φασὶ καὶ αἰνίττεσθαι εὐθὺς ἀπὸ καταβολῆς κόσμου τὴν χάριν τοῦ ἁγίου βαπτί-

ϑματος· διὸ καὶ τὸ καθάρσιον ἡμῶν ἐν ὕδατι Cap. I.
μᾶλλον ἢ ἑτέρῳ στοιχείῳ· ἀρχὴ γὰρ λέγουσι
τοῦ κόσμου τὸ ὕδωρ· καὶ ἀρχὴ τῶν εὐαγγελίων
ὁ Ἰορδάνης· τινὲς δὲ τὸ ἅγιον πνεῦμα νοήσαν-
τες ἐνταῦθα λέγεσθαι, ἁγίας δυνάμεις τὰ ὕδα-
τα παρεδέξαντο, ὥσπερ καὶ τὴν ἄβυσσον πονη-
ρὰς δυνάμεις ἐφ᾽ ὧν τὸ σκότος ἦν ὁ διάβολος.

Καὶ εἶπεν ὁ Θεός· γενηθήτω φῶς, καὶ ἐγέ- v. 3.
νετο φῶς· θεοῦ φωνὴν μὴ διὰ φωνητικῶν ὀργά-
νων γενομένην νοήσωμεν· θεοῦ τοίνυν νοητέον φω-
νὴν τὴν ἐν τῷ θελήματι ῥοπήν, καὶ τὸ τοῖς δι-
δασκομένοις κατὰ θείαν ἐνέργειαν εὐτυπούμε-
νον, καὶ τὴν ἐκ τοῦ θείου θελήματος διάδοσιν
εἰς τὸ δυνάμενον ταύτης αἰσθάνεσθαι, ἀναλό-
γως τῆς ἑκάστου καταστάσεως τῆς ἐνεργείας ἐγ-
γινομένης τρανότερόν τε καὶ ἀμυδρότερον· ὡς
εἶναι Θεοῦ διαλέκτους ὑψηλοτέρας καὶ μέσας
καὶ τελευταίας· θεὸς γὰρ οὐ δεῖται φωνῆς, ἀρ-
κούσης αὐτῷ τῆς βουλήσεως, κατὰ γὰρ τὸν
θεῖον Δαβὶδ πάντα ὅσα ἠθέλησεν ἐποίησε· καὶ
οὕτω νοητεόν ἀεὶ τὸ εἶπεν καὶ ἐλάλησε κύριος·
οὕτω τάχα καὶ δαίμονες· πρώτη δὲ Θεοῦ φωνὴ
φωτὸς τὰ πάντα πεπλήρωκε· καὶ τοιαύτην τοῦ
φωτὸς τὴν φύσιν ὑπέστησεν ὡς παντὸς νοήματος
ὀξύτερον διὰ πάντων χωρεῖν καὶ διέρχεσθαι,
καὶ μάλιστα τῶν λεπτοτέρων τε καὶ διαφανῶν,

Cap. I. ὁποία τοῦ ἀέρος ἡ φύσις, ἀρχὴν ὁμοῦ καὶ πέρας ὑπὸ μίαν φωτιζομένου ῥοπήν· ποιήσας δὲ τὸν οὐρανὸν καὶ τὴν γῆν, οὐδεμίαν ἀφῆκε φωνήν· οὐδὲ γὰρ ἦσαν οἱ διὰ ταύτης ὀφείλοντες ἐκπαιδεύεσθαι· μετὰ τοῦ οὐρανοῦ δὲ καὶ τῆς γῆς, καὶ τοὺς ἀγγέλους παραγαγὼν, εἶτα παιδεῦσαι τούτους βουλόμενος ὡς καὶ αὐτῶν ἐστι δημιουργὸς, μή ποτε αὐτομάτως ὑφεστάναι νομίσωσι, τὴν μετὰ ταῦτα πᾶσαν κτίσιν φωνῇ ποιῶν ἐπιδείκνυται· τῶν παραχθέντων τὴν διακόσμησιν ἐν ὄψεσιν ἐκείνων ποιούμενος, ὥστε ὁρῶντας τῶν μετὰ ταῦτα γιγνομένων τὴν παραγωγὴν, σαφῶς μαθεῖν, ὡς ὁ τούτων ποιητὴς καὶ αὐτῶν ἐστι δημιουργὸς, βουληθεὶς μόνον καὶ παραγαγὼν, ὡς ἐνταῦθα τῇ φωνῇ τὸ ἔργον παρηκολούθησεν· τοῦτο καὶ αὐτὸς ὁ Θεὸς δεδήλωκε πρὸς τὸν μακάριον λέγων Ἰώβ· ὅτε ἐποίουν ἄστρα ᾔνεσάν με πάντες ἄγγελοί μου· εὔδηλον γὰρ ὡς ὅπερ ἐπὶ τῶν ἄστρων, ἐπὶ τῶν πάντων ἐπλήρουν τῶν γεγονότων, ἐκπληττόμενοι μὲν τὰ γινόμενα, θαυμάζοντες δὲ ὡς ἅμα τῇ φωνῇ παρήεσαν οὐσίαι μὴ πρότερον οὖσαι. Τινὲς δὲ τὸ εἶπε πρὸς τὸν υἱὸν καὶ λόγον φασὶ, καθ' οὓς ἄπορον, πῶς εἰ καὶ οὐρανὸς καὶ γῆ καὶ πάντα γέγονε δι' αὐτοῦ, μὴ καὶ ἐπ' αὐτῶν κεῖται τὸ εἶπε· πλὴν οὐδὲν κωλύει πρότερον μὲν σιωπῇ δι'

υἱοῦ ταῦτα πεποιηκέναι, νῦν δὲ πρὸς τὴν διδασκαλίαν τῶν ἀκουόντων τὴν φωνὴν γεγονέναι· οὐ γὰρ ὡς ἀγνοοῦντι ὁ πατὴρ διαλέγεται· εἰ καὶ τὰ μάλιστά τινες ἐκεῖνα μὲν τὸν πατέρα πεποιηκέναι φασὶ, ταῦτα δὲ τὸν υἱὸν ὡς ἐκείνων ὑποδεέστερα, μανίας φθεγγόμενοι ῥήματα. Cap. 1.

Καὶ εἶδεν ὁ Θεὸς τὸ φῶς ὅτι καλόν· τὸ κα- v. 4.
λὸν ἐπὶ τῆς κτίσεως οὐκ αἰσθητῇ θέᾳ ληπτέον, Θεὸς γὰρ οὐχ᾽ οὕτως ὁρᾷ, γνώσει δὲ οἰκείᾳ καθ᾽ ἣν ἕκαστον ἑώρα, οὐ πρὸς θέαν πάντως καλὸν πρὸς δὲ τὴν χρείαν τὴν ἑαυτοῦ, καὶ τὴν πρὸς τὰ λοιπὰ συμφωνίαν ἀνάλογον, δι᾽ ἣν καὶ Ἀκύλας τὸ σὺν φιλεῖ προστιθέναι· τοιγαροῦν ἐφ᾽ ἑκάστου λέγων ὅτι καλὸν, ὅτι πάντα συνεπληρώθη, καὶ εἶδε φησὶν ὁ θεὸς πάντα ὅσα ἐποίησεν, καὶ ἰδοὺ καλὰ λίαν· ὥσπερ γὰρ λίθοι καλῶς λαξευθέντες καὶ ἀνὰ μέρος κείμενοι, καὶ ἀνδριάντος μέρη, λέγοιντο μὲν καὶ καθ᾽ ἑαυτὰ καλὰ, εἰ καὶ μὴ πᾶσιν, ἀλλ᾽ οὖν τῷ τεχνικῶς θεωροῦντι· καὶ χάλικες γὰρ εἰ καὶ μὴ καθ᾽ ἑαυτοὺς καλοὶ, ἀλλ᾽ οὖν μετὰ τοῦ παντὸς, συναρμοσθέντες δὲ πρὸς κάλλος οἰκοδομήματος καὶ τοῦ ἑνὸς ἀνδριάντος μείζω τὸν ἔπαινον δέχονται, οὕτω καὶ τὰ μέρη τῆς κτίσεως· τὴν ἀκριβῆ δὲ χρείαν καὶ τὴν πρὸς τὰ λοιπὰ τούτων ἀναλογίαν, αἰσθήσει καταλαμ-

Cap. 1. βάνειν ἀδύνατον οὐδὲν ὡς τῷ τυχόντι· τοιγαροῦν ἑτερόδοξοι πόῤῥω τῆς τοιαύτης ὄντες νοήσεως, προσκόπτουσι τῇ τῶν θηρίων ὠμότητι καὶ τῷ τῶν ἑρπετῶν ἰῷ, καὶ τῷ ἐμφαινομένῳ ἀχρήστῳ τῆς τινῶν ὑποστάσεως, καὶ φασὶν ἢ μὴ θεὸν εἶναι τὸν ταῦτα ποιήσαντα, ἢ μὴ ἀγαθὸν θεόν. Ὅτι δὲ τὸ ἰδεῖν ἐπὶ τῆς νοήσεως εἴρηται, δῆλον ἐξ ὧν ἐν ἐξόδῳ φησίν· ἑώρα ὁ λαὸς τὴν φωνὴν τοῦ κυρίου· καί τοι οὐδὲ ἡ αἰσθητὴ φωνὴ ὁρατή· πῶς δὲ οὐ καλὸν τὸ φῶς ὃ θεὸς ἐπαινεῖ, καὶ τὸ πᾶν διεκόσμησε; καὶ ὅπερ ἐν αἰσθητοῖς τὸν νοητὸν ἐνεικονίζεται φῶς ἀνάλογος ἔχειν ἐκεῖνος σημαῖνον ἐν νοητοῖς· σημειωτέον δὲ ὅτι σὺν τῇ τοῦ θεοῦ φωνῇ καὶ ὁ τῶν γιγνομένων συνεισέδραμεν ἔπαινος· ὥσπερ γὰρ παιδεύων τὰς νοερὰς δυνάμεις ἐφθέγξατο, οὕτω πάλιν αὐταῖς δεῖξαι βουλόμενος ὡς οὐκ ἄλλος μὲν ὁ ποιῶν, ἄλλος δὲ ὁ κρίνων, ἀλλ᾽ ἑνὸς θεοῦ τούτων ἑκάτερον, τῇ ποιήσει συνῆψε τὴν κρίσιν καὶ τὴν περὶ τῶν γεγονότων δοκιμασίαν· ὁμοῦ καὶ προανατέλλων τὴν τῶν ψέγειν τολμώντων τὴν αἰσθητὴν δημιουργίαν δαιμόνων ὑπόστασιν, καὶ τὴν ἄθεον αἵρεσιν, οἳ καὶ κακὴν ἀρχὴν ἀναπλάσαντες ἀντεγείρουσι τῷ θεῷ.

Καὶ διεχώρισεν ὁ θεὸς ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους· ἄμικτα γὰρ

ἀλλήλοις εἴ γε τὸ μὲν ἕξις, τὸ δὲ καθέστηκε Cap. 1.
σΊέρησις· ἅπερ ἀλλήλοις ἀσύμβαΊα, τοῦ ἑτέρου
ἀνυποσΊάτου τυγχάνονΊος. Καὶ ἐκάλεσεν ὁ Θεὸς v. 5.
τὸ φῶς ἡμέραν, καὶ τὸ σκότος ἐκάλεσε νύκτα· νῦν μὲν μετὰ τὴν ἡλίου γένεσιν, ἡμέρα ἐστὶν ὁ ὑπὸ ἡλίου πεφωΊισμένος ἀὴρ ἐν τῷ ὑπὲρ γῆν ἡμισφαιρίῳ λάμποντος, καὶ νὺξ σκίασμα τῆς γῆς ἀποκρυπΊομένου ἡλίου γιγνόμενον· τότε δὲ οὐ κατὰ τὴν κίνησιν ἡλιακὴν, ἀλλ' ἀναχεομένου κατὰ τὸ ὁρισθὲν μέτρον παρὰ τοῦ θεοῦ, ἡμέρα ἐγένεΊο καὶ νὺξ ἀνΊεπήει· ἡμέραν δὲ φασὶν ἐκάλεσεν, ἐπειδὴ πᾶν τὸ φαιδρὸν καὶ ἱλαρὸν ἥμερον λέγεται· διὸ καὶ τὴν φιλανθρωπίαν ἡμερότητα καλοῦμεν· καὶ τὰ χειροήθη θηρία ἥμερα· νὺξ δὲ καλεῖται, ἐπειδὴ νύττει τὸν ἄνθρωπον καὶ καθεύδοντα μονονουχὶ λέγουσα· μάθε ἄνθρωπε ὡς θνηΊὸς εἶ καὶ ὕπνῳ δουλεύεις, καί τι φαντάζῃ τὰ ὑπέρ σε; ἡ γὰρ νὺξ κατανυγή ἐστιν· ὅθεν καὶ ὁ Δαβὶδ ἃ λέγετε φησὶν ἐν ταῖς καρδίαις ὑμῶν ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε· ὡς δὲ βασιλεὺς ἐν τῇ πόλει προσΊάξειέ τι γενέσθαι, εἶτα καλῶς γεΊονὸς ἐπαινέσειε, καὶ μετὰ ταῦτα πρὸς τὴν προσήκουσαν καΊαΊάξειε χρείαν, οὕτως ὁ θεὸς εἶπε γενέσθαι φῶς, ἐπήνεσε γεΊονὸς, ὥρισεν ὡς ἤμελλεν ἐπιτήδειον φανεῖσθαι τῷ κόσμῳ· τοῦτο γὰρ δηλοῖ

Cap. 1. τὸ διεχώρισεν ἀνὰ μέσον· οὐκ ἠβουλήθη γὰρ παντελῶς μὴ εἶναι τὸ σκότος· ἐπιτηδεία γὰρ ἡ νὺξ ἀνθρώποις καὶ ζώοις· τοῖς μὲν, ἀναπαυομένοις· τοῖς δὲ, νεμομένοις· ἐν αὐτῇ γὰρ ἐξελεύσεται πάντα τὰ θηρία τοῦ δρυμοῦ. Καὶ ἐγένετο πρωῒ ἡμέρα μία· ὁ χωρισμὸς ὃν ὁ Θεὸς διεχώρισεν μεταξὺ τοῦ φωτὸς καὶ τοῦ σκότους, τοὺς κοινοὺς ἀμφοτέρων ἀπεγέννησεν ὅρους· πέρας γὰρ ἡμέρας μὲν ἡ ἑσπέρα, νυκτὸς δὲ τὸ πρωΐ· καὶ ἀνάπαλιν, ἀρχὴ μὲν ἑσπέρα νυκτὸς, τὸ πρωῒ δὲ ἡμέρας· ἀεὶ γὰρ τὰ πέρατα καὶ τὰ τέλη καὶ αἱ ἀρχαὶ συνεπινοοῦνται τοῖς πράγμασιν· ὅθεν οὐκ εἶπεν ἐποίησε τὴν ἑσπέραν καὶ τὸ πρωῒ, ἀλλ᾽ ὅτι γέγονε, συνυποστάντα τῷ χωρισμῷ τοῦ φωτὸς καὶ τοῦ σκότους.

Πλείστη δὲ ζήτησις περὶ τοῦ τίνος ἡγήσατο· καὶ αὐτῶν γὰρ τῶν οὐσίαν καὶ φύσιν εἰρηκότων εἶναι τοῦ σκότους, οἱ μὲν τὴν ἡμέραν, οἱ δὲ τὴν νύκτα προέταξαν· κοινῶς μὲν οὖν ἅπαντες οἱ τὴν ἡμέραν προτάξαντες, φασὶν ὡς τὰ πρεσβεῖα παρασχὼν τῇ ἡμέρᾳ, πρῶτον εἶπε ταύτης τὸ πέρας ὡς αὐτῆς ἡγησαμένης καὶ παρελθούσης, καὶ οὕτω τῆς νυκτὸς ἀρχὴν λαβούσης ἐκείνης τὸ πέρας· προλαβούσης γὰρ τῆς ἡμέρας, ἡ νὺξ εἰς ἄνεσιν τῆς ἡμερινῆς ἡμῖν ἐργασίας ἐπιγίνεται· ἡ δὲ πρὸ τοῦ φωτὸς ἐν τῷ

κόσμῳ κατάστασις, οὐχὶ νὺξ, ἀλλὰ σκότος Cap. 1.
ἐτύγχανε· νὺξ δὲ τὸ πρὸς τὴν ἡμέραν ἀντιδιασταλὲν ἑτέρως παρὰ τὸ σκότος κληθέν· τὸ δὲ ἐξ ἀμφοῖν συμπληρωθὲν ἡμερονύκτιον, οὐκ ἐκάλεσεν ἡμέραν καὶ νύκτα, ἀλλ' ἡμέραν ἀπὸ τοῦ κρείττονος· καὶ δι' ὅλης τῆς γραφῆς οὕτως εὑρήσεις, τῶν νυκτῶν ταῖς ἡμέραις συννοουμένων· ὅτε γὰρ ψαλμῳδὸς αἱ ἡμέραι τῆς ζωῆς ἡμῶν φησί· καὶ Ἰακὼβ αἱ ἡμέραι τῆς ζωῆς μου μικραὶ καὶ πονηραί· καὶ πάλιν πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. Πρόδηλον δὲ ὅτι τὸ διάστημα καὶ τὸν τοσόνδε καιρὸν ἡμέραν καὶ νύκτα καλεῖ, οὐ τὴν ἀμφοῖν ὕπαρξιν· ἡ μὲν γὰρ φῶς λεγέται καὶ σκότος, τὸ δὲ ἡμέρα καὶ νύξ· διχῶς γὰρ ἡμέρα νοεῖται, κατά τε τὸ χρονικὸν διάστημα, καὶ κατὰ τὸν φωτισμὸν τοῦ περὶ ἡμᾶς ἀέρος· καὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ γάμος ἐγένετο ἐν Κανᾷ τῆς Γαλιλαίας, τὸ ποσὸν τῆς ἡμέρας δηλοῦται, οὐχ ἡ φαιδρὰ ἢ ζοφερὰ ἡμέρα· ἐὰν λέγῃς ζοφώδης ἡ σήμερον ἡμέρα, οὐ τὸ ποσὸν αὐτῆς ἐρεῖς ἀλλὰ τὸ ποιόν· αἱ τοίνυν πρὸ ἡλίου καὶ τῶν φωστήρων ἡμέραι, τὸ ποσὸν διάστημα τοῦ χρόνου σημαίνουσιν· οὐδὲ γὰρ ποιητικὸς ὁ ἥλιος τῆς ἡμέρας, ἀλλὰ σημαντικὸς, ὡς καὶ τὰ μηχανικῶς κατασκευαζόμενα· οὐκ ἄτοπον οὖν δηλοῦσθαι διάστημα τοσόνδε προϋφεστάναι τῶν

Cap. 1. φωστήρων ὃ προϋπῆρχεν, εἰ καὶ ἥλιος αὐτὸ ἐξεμέτρησε· σημαντικὸν τοῦ τῆς ἡμέρας διαστήματος καὶ τὸ, ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, ἀλλ' οὐ φωτὶ φῶς εἰρημένον· ἓν γὰρ τὸ φῶς καὶ ἓν τῶν νυκτῶν τὸ σκότος· ἀλλὰ τὰ διάφορα τούτων δηλοῖ διαστήματα, ἀλλαττόμεναι γὰρ καὶ διαδεχόμεναι ἀλλήλας, κηρύττουσι τὸν δημιουργόν· κἂν ἀλλήλων δὲ ἀνὰ μέρος πλέον ἔχωσιν ἡμέρα καὶ νὺξ πρὸς τὰς τροπὰς τῶν διαστημάτων ἑκατέρας ἀλλαττομένης· ἀλλ' ἀμφοῖν ἡ σύνοδος ἡμέρα μία καλουμένη τ' αὐτὸ διόλου φυλάττει διάστημα, συμπληρουμένων ὡρῶν δ̄ καὶ κ̄.

Ἀντίκειται δὲ τοῖς πρώτην λέγουσι τὴν ἡμέραν τῶν ἑορτῶν ὁ καιρὸς, καὶ μάλιστα τὸ τῆς τριημέρου τοῦ σωτῆρος ταφῆς τε καὶ τῆς ἀναστάσεως· αἵ τε γὰρ νομοθεσίαι πανταχοῦ προτιθέασι τὰς νύκτας τῶν ἡμερῶν· οἷον περὶ τῶν

* Ita cod. ἀζύμων ἐναρχόμενοι τῇ δι̅ * τοῦ μηνὸς τοῦ πρώτου ἀφ' ἑσπέρας ἔδεσθε ἄζυμα ἕως α̅κ̅ τοῦ μηνὸς ἡμέρας ἕως ἑσπέρας, ἑπτὰ ἡμέρας ζύμη οὐχ εὑρεθήσεται ἐν παῖς οἰκίαις ὑμῶν· τὴν γὰρ εἰ ἀφ' ἑσπέρας ἀρχὴν τῶν ἀζύμων, ὁρίζει τῇ γε μιᾷ καὶ εἰκάδι· καὶ περίγραφει πρὸ τῆς ἑσπέρας τὴν ἑορτὴν, διὰ τὸ τὴν νύκτα προεισαγαγεῖν ἡγουμένην αὐτῆς· οὕτω καὶ ὁ περὶ τῆς νηστείας

ἔχει νόμος· μή ποτε οὖν τὴν ἐξ ἀκοσμίας εἰς Cap. I.
εὐκοσμίαν πρόοδον ὁ νομοθέτης αἰνίττεται, ἣ
γέγονέ τε ἤδη κατὰ τὴν ἐκ σκότους φανεῖσαν
ἡμέραν, καὶ τελέως ἔσται κατὰ τὴν μέλλουσαν
ἀνακαίνωσιν; καὶ γάρ ἐστιν ἡ νομοθεσία τῶν τε
προτέρων ὑπόμνημα, καὶ τῶν μελλόντων σκιά·
ὥσπερ τὸ σάββατον τῆς τε ἤδη τοῦ θεοῦ κατα-
παύσεως ἀπὸ τῶν ἔργων, καὶ τοῦ ἀπολειπομέ-
νου σαββατισμοῦ τῷ λαῷ τοῦ θεοῦ κατὰ τὴν
μίμησιν τῆς τοῦ θεοῦ καταπαύσεως· καὶ ἡ σκη-
νοπηγία μνημόσυνον μὲν τῶν ἐπὶ τῆς ἐρήμου
σκηνῶν τοῦ Ἰσραὴλ, δεῖγμα δὲ τῶν αἰωνίων σκη-
νῶν ἐν αἷς σκηνοῦσιν οἱ ἅγιοι· οὕτω δὲ καὶ τὸ
ἐκ νυκτῶν ἄρχεσθαι τὰς ἑορτὰς, ὑπομιμνήσκει
μὲν τὴν ἐκ μακρᾶς τῆς οἱονεὶ νυκτὸς προκοσμίου
φανεῖσαν ἡμέραν, προφητεύει δὲ τὴν ἐν τέλει
λάμψουσαν ἡμέραν ἀληθινὴν, πρὸς ἣν καὶ νῦν
ἡ ἡμέρα νύξ ἐστιν· ἡ νὺξ γοῦν προέκοψεν, ἡ
δὲ ἡμέρα ἤγγικε, ὁ ἀπόστολος φησὶν ἑρμηνεύων
τὸ τοῦ νόμου σύμβολον· προστίθησι γάρ· ἀφε-
λώμεθα οὖν τὰ ἔργα τοῦ σκότους, ἐνδυσώμεθα
δὲ τὰ ἔργα τοῦ φωτὸς, ὅπερ ὁ νόμος ὑποφαί-
νει προάγων ἐκ νυκτὸς εἰς ἡμέραν τοὺς ἑορτά-
ζοντας τῷ θεῷ· οὕτω καὶ τοῦ πάθους τοῦ κυ-
ρίου τὰς τρεῖς ἀριθμοῦμεν ἡμέρας καὶ τὰς νύ-
κτας, προσλογιζόμενοι μὲν τῇ τῆς παρασκευῆς

Cap. I. νυκτὶ καθηγησαμένῃ τὴν ἡμέραν ἐσχηκυῖαν τὸ πάθος, συναριθμοῦντες δὲ τῇ τρίτῃ νυκτὶ, καθ' ἣν ἡ ἀνάστασις, τὴν ἑπομένην αὐτῇ κυριακὴν ἡμέραν, διὰ τὸ προκοπτόντων ἐκ σκότους εἰς φῶς τῶν πραγμάτων προκαταριθμεῖσθαι δεῖν τὸ νύκτερον σκότος, τὸ δὲ τῆς ἡμέρας ἐφέπεσθαι φῶς· ἐπὶ δὲ τῆς κτίσεως πρέπει τὸν θεὸν τῶν ἐν οὐσίᾳ φαιδροτέρων κατάρχεσθαι, ἀλλ' οὐ τῶν σκοτίων καὶ ἀφεγγῶν, καὶ οἷς τὸ εἶναι οὐκ ἔστιν οὐσιωδῶς, οὐδὲ δημιουργία τούτων κατείλεκται.

Καὶ πῶς δεῖ περὶ τούτων ζητεῖν εἰ πρῶτα γεγένηται; ἐν γὰρ τῷ φῶς μὴ παρεῖναι, λέγεται σκότος καὶ νύξ· οὕτω γὰρ τὸ μέλαν καὶ τὸ ἀφώτιστον τοῦ διαφανοῦς ἀέρος ὠνόμασται· ἃ τοῖς γεγονόσιν ἐπηκολούθηκεν, ὡς ἡ σκιὰ τῷ σώματι, λεγομένη μὲν, ἀνύπαρκτος δὲ καθάπερ ἐκεῖνα τυγχάνουσα· εἰ δέποτε καὶ λέγειν τὸ γεγονέναι, ἄλλως τὸ γενέσθαι αὐτῶν ἐκδέχεσθαι χρὴ, ὡς ἐν τῷ ψαλμῷ· ἔθου σκότος καὶ ἐγένετο νύξ· καὶ οὐκ εἶπεν ὑπὸ τίνος ἐγένετο· οὐδὲ τὸ ἔθου διήρθρωσε ποταπὸν τυγχάνει· οὐδὲ εἶπεν ἐποιήσας σκότος, οὐδὲ γενηθήτω σκότος καὶ ἐγένετο σκότος ὡς ἐπὶ τῶν δημιουργημάτων, ἀλλὰ μὲν τὸ φῶς εἶπε γενηθήτω· τὸ δὲ σκότος ἐπηκολούθησεν ἐκ τοῦ σκιάσματος τῆς

γῆς· καὶ τὸ μὲν ἡμέραν, τὸ δὲ νύκτα ἐκάλεσε Cap. I.
τοῦ φωτὸς ἐν στερήσει γιγνόμενον· καὶ ὥσπερ λέγομεν ὁρᾷν αὐτὸ, μὴ ὁρῶντες ἀληθῶς, ἐμποδιζόμενοι δὲ ὁρᾷν ὑπ' αὐτοῦ, οὕτω καὶ τὸ καλεῖσθαι αὐτὸ φήσομεν οὐκ ἐν τῷ εἶναι, ἀλλ' ἐν τῷ παρακολουθεῖν ἑτέρῳ ὄντι· τὸ γὰρ σκότος γενόμενον καὶ γεννητόν πως ἐστὶ καὶ ἀγέννητον· ἀγέννητον μὲν οὐχ ὡς οὐ γενόμενον, ἀλλ' ὡς τὸ γένεσιν ἐν ὑπάρξει μὴ λαβόν· γεννητὸν δὲ διὰ τὸ τοῖς γινομένοις ἐπακολουθεῖν δίκην σκιᾶς, ὥσπερ τὰ ἀπὸ τῶν ἡμετέρων σωμάτων γιγνόμενα· ὧν τὸ γίνεσθαι μὲν ἡ αἴσθησις συνομολογεῖ· οὐσίαις δὲ αὐτῶν διὰ τὸ μηδὲ εἶναι οὐκ ἐπιβάλλομεν· οὐδὲ γὰρ καθ' ἑαυτὰς αἱ σκιαὶ, ἀλλ' ἀφ' ἑτέρου μέσου σώματος τὴν εἰκασίαν ποιοῦσι· οὐδὲ γὰρ ὁ ἀὴρ τὸ σκότος, εἰ καὶ μέλας ὥσπερ οὕτως τῇ φύσει· διαφανὴς γὰρ ὢν ἀλλοτρίῳ χρώματι τῷ τοῦ φωτὸς ὁρᾶται· οὗ μὴ παρόντος, τὸ ἀφώτιστον τοῦ ἀέρος καὶ οἱονεὶ μέλαν ἐφ' ἑαυτοῦ μένον, σκότος καλεῖται, μὴ ὂν οὐσία· εἰ καὶ φησὶν Ἡσαίας· ἐγὼ ὁ Θεὸς κατασκευάσας φῶς καὶ ποιήσας σκότος· ἐπιφέρει γάρ· ὁ ποιήσας εἰρήνην καὶ κτίζων τὰ κακὰ, ἅπερ ὁμοίως ἀνούσια· οὐ πρωτουργὸν οὖν τὸ σκότος, ἀλλ' ἀνυπάρκτως γινόμενον κατὰ τὴν πρὸς τὸ φῶς παρακολούθησιν· οὐ πρώτη τοίνυν ἡ νύξ· εἰ

Cap. 1. καὶ ἐν ἑορταῖς ὁ Μωϋσῆς προδιαναπαύει, ἐκ προλαβούσης νυκτὸς εἰς τὴν ἀνάπαυσιν τοῦ σαββάτου οἱονεὶ προεόρτιον ἑορτὴν διδούς· ἐκ φυσικῆς ἐκεχειρίας τῆς ἐν νυκτὶ τὴν ἐκ λόγου διανάπαυσιν ἐν τῇ ἡμέρᾳ προστακτικῶς παρέχων.

Εἰκότως οὖν οὔ φησι· καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωῒ, νὺξ μία, ἀλλ' ἡμέρα μία· ἡμέρα μὲν γὰρ ἐγένετο, ἐπειδὴ ἀπὸ τῆς πορείας τοῦ φωτὸς ἠριθμεῖτο τὰ διαστήματα πρωΐας καὶ ἑσπέρας· νὺξ δὲ οὐκ ἐγένετο, ἐπεὶ μὴ οὐσία τοῦ σκότους, ταύτης ἦν ποιητική· εἰ δὲ φησὶν ὁ Μωϋσῆς ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωῒ, ἡμέρα μία, ὡς ἐκ τούτου νύκτα πρῶτον ἀπὸ τῆς ἑσπέρας γενέσθαι, νομίζεσθαι· ἀλλ' οὖν οὐ τῇ τάξει τῶν ὀνομάτων, ἀλλὰ τῇ δυνάμει τῶν σημαινομένων ἀκολουθεῖν ἀναγκαῖον· ἡ γὰρ ἑσπέρα τῆς ἕω καὶ τῆς ὅλης ἡμέρας πέρας ἐστὶν, ὡς πάντως ἕπεσθαι τῇ ἡμέρᾳ τὴν νύκτα· πῶς γὰρ δυνατὸν ἑσπέραν γενέσθαι μὴ προλαβούσης πρωΐας; εἴη δ' ἂν καὶ τριήμερος ἡ τοῦ σωτῆρος ἀνάστασις, εἰ κατὰ Μάρκον περὶ τρίτην ὥραν ἐσταύρωται, ἀπὸ δὲ ἕκτης σκότος ἐγένετο ἕως ἐνάτης ἐπὶ πάσης τῆς γῆς· πληρούσθω γὰρ ὡς ἐν τύπῳ μία ἡμέρα διὰ τούτων μέχρι τῆς ἐνάτης ὥρας· ἀρχέσθω δὲ ἡ δευτέρα ἀπὸ τῆς ἐνάτης ἐπακολουθούσης ἤδη τῆς πλατείας

νυκτός· ἡ δὲ τρίτη λογιζέσθω ἀπὸ τοῦ σαββάτου, συναπτομένης τῆς ὄψεως σαββάτων τῆς ἐπιφωσκούσης εἰς τὴν κυριακήν· εἰ δὲ πρώτη ἡ νὺξ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωῒ, ἡ διάνοια ζητεῖν ὑποβάλλει πότερον πρὸ τοῦ γενέσθαι ἡμέραν ἑσπέρα γέγονεν, ἢ ληγούσης τῆς ἡμέρας; καὶ ἐν τῷ ἐγένετο δὲ πρωῒ, ἡμέρα μία, τῆς πρώτης ἡμέρας ἐστὶ τὸ πρωῒ ἢ τῆς ἀρχομένης δευτέρας; εἰ γὰρ τῆς πρώτης, συναπτομένων αὐτῇ τῶν ἑξῆς γενομένων, εὑρεθήσεται ὁ ἄνθρωπος τῇ πέμπτῃ γενόμενος ἡμέρᾳ· εὑρεθήσεται δὲ καὶ ὁ Θεὸς τῇ ἕκτῃ καταπαύσας ἡμέρᾳ. Cap. I.

Τοῦτο μὲν οὖν ἀληθὲς εἰ πλατικῶς λαμβάνοιμεν τὸ πρωῒ παρά τ' ἐν αὐτῷ τῆς ἡμέρας δεχόμενοι· ὅπερ κἀπὶ τῆς νυκτὸς ὁμοίως ἐξέσται νοεῖν· ὅθεν ὁ μὲν Ἰωάννης εἰπὼν τὸ πρωῒ, προσέθηκε σκοτίας ἔτι οὔσης· ὁ δὲ Μάρκος πρωῒ καὶ ἀνατείλαντος τοῦ ἡλίου, ἑκάτερος ἐκ τῶν παρακειμένων τὴν προσηγορίαν ποιούμενος· εἰ δὲ μεθόριον ἀμερὲς νυκτός τε καὶ ἡμέρας ἐκδέχοιντο τὸ πρωῒ, μηδὲν τῶν παρακειμένων ἐξ ἑκατέρου λαμβάνον καιροῦ, πῶς τῆς ἡμέρας μόνης ἢ τῆς νυκτὸς ἢ καὶ ἀμφοτέρων γενήσεται μέρος; οἱονεὶ γὰρ γραμμή τίς ἐστιν ἀμερὴς περατοῦσα τούτων ἑκάτερον, μᾶλλον δὲ κατὰ ταυτὸν, τῆς μὲν ἀρχὴ, τῆς δὲ πέρας τυγχάνουσα· τοιγαρ-

Cap. 1. οὖν ὁ Μωϋσῆς τὰ τῶν καιρῶν ἄκρα λαβὼν, τὰ μέσα διὰ τούτων ἐδήλωσεν, οὐκ ἂν ἐν ἄκροις θατέρου μέρος εἰπών· ἀριθμεῖ δὲ τὰς ἡμέρας τοῦ κόσμου, τὸ γεννητὸν ἀκριβῶς παραστῆσαι βουλόμενος· χρόνου γὰρ οὐ δεῖται δημιουργῶν ὁ θεός· οὐ μὴν ἄτακτα τὰ γεγονότα ποιεῖ, ἀριθμὸς δὲ τὴν τάξιν ἐργάζεται· ὅθεν οὐκ εἶπε πρώτη, ἀλλὰ μία· ἐν γὰρ τοῖς ἅμα τυγχάνουσιν οὐκ ἔστι πρῶτον καὶ δεύτερον· ἀλλ' ἐπείπερ ἡ διήγησις τὴν τάξιν ἔχει, διὰ τοῦτο μετὰ τὴν μίαν καὶ δευτέραν λέγεται καὶ μέχρι τῶν ἓξ, ἕνεκα τάξεως· εἰ δὲ τοῦτο, πάντως καὶ πρώτην προεπινοουμένην ἔχουσιν, ἣν μίαν ἐκάλεσεν, τό τε τῆς δημιουργίας δηλοῦσαν ἀθρόον· καὶ ὅτι τὰς ἡμέρας οὐκ οὔσας ἔταξεν ὁ θεὸς, ἀλλὰ καὶ τούτων ἐστὶ δημιουργὸς, πρώτην ποιήσας μίαν ἡμέραν· ἥτις, μήπω τῶν ἄλλων οὐσῶν, οὐκ εἰκότως ἐλέγετο πρώτη· αἱ δὲ λοιπαὶ προστεθεῖσαι τὴν τάξιν, ἔσχον προσηγορίαν καθ' ἣν μετὰ τὴν μίαν ἐγένοντο κατὰ λόγον τῆς ἐξ αὐτῆς ἀποστάσεως.

Κατὰ τὸν αὐτὸν δὲ τρόπον καὶ μίαν τοῦ μηνὸς ἡ γραφὴ τὴν πρώτην καλεῖ, καὶ μίαν σαββάτων· ἄλλως τε παράτασιν ἡμέραν μίαν ἐκάλεσεν, ἀλλ' οὐ πρώτην· ἡ μὲν γὰρ δευτέρα καὶ τρίτη τὸν ἀριθμὸν ἐναλλάττει· τὸ δὲ φῶς μένον

τὸ αὐτὸ κληθὲν ἡμέρα, μίαν ἀφ' ἧς ἤρξατο ἕως Cap. I.
ἔτι καὶ ἔτι καλεῖσθαι ποιεῖ· ἡ αὐτὴ γὰρ ἐν πάσαις ἡμέραις φωτὸς ἐνέργεια· διὸ αἱ πᾶσαι, μία· μετὰ γοῦν τὸ καταπαῦσαι τῇ ἑβδόμῃ τὸν Θεὸν ἀπὸ τῶν ἔργων αὐτοῦ, ἐπιφέρεται· αὕτη ἡ βίβλος οὐρανοῦ καὶ γῆς, ὅτε ἐγένετο, ᾗ ἡμέρα ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· ἰδοὺ γὰρ καὶ μετὰ τὴν ἑβδόμην, μίαν ταύτην ἐκάλεσε· μή ποτε καὶ περὶ τῆς μιᾶς ταύτης ἐν τοῖς ψαλμοῖς ἐῤῥέθη, αὕτη ἡ ἡμέρα ἣν ἐποίησε ὁ κύριος; ἐπειδὴ καὶ ἀπὸ τοῦ κυρίου τὴν προσηγορίαν ἤμελλε δέχεσθαι κυριακὴ καλουμένη· ὡς οὖν ἀφορισθεῖσα μόνῳ κυρίῳ, μία καλεῖται· φέρει γὰρ καὶ τῆς διακόσου μονάδος εἰκόνα πρὸς τιμὴν τοῦ γενομένου φωτός· φῶς γὰρ ὢν ὁ θεὸς, καὶ τὸ πρῶτον γενόμενον φῶς, καὶ πρῶτον ἐν γεννητοῖς καλὸν, πρὸς μονάδος οὐσίαν ὑπόστασιν λαβεῖν ὁ δημιουργὸς δικαιώσας, ἡμέραν τοῦτο μίαν ἐκάλεσεν· ταύτην δὲ καὶ ἡμέραν ὀγδόην ἐκάλεσεν ὁ ψαλμὸς τὴν μέλλουσαν δηλοῦσαν κατάστασιν, διὰ τὸ ἔξω κεῖσθαι τοῦ ἑβδοματικοῦ τούτου χρόνου, οὖσα μία διὰ μιᾶς εἰκότως ἐνεικονίζεται· ἡμέρα γὰρ φησὶ κυρίου μεγάλη καὶ ἐπιφανής· καὶ πάλιν· ὑμῖν ἐπιζητεῖν τὴν ἡμέραν κυρίου, καὶ αὕτη ἐστὶ σκότος καὶ οὐ φῶς, δῆλον ὅτι τοῖς ἀναξίοις·

Cap. 1. ἀνέσπερον γὰρ καὶ ἀτελεύτητον τὴν ἡμέραν ἐκείνην εἶδεν ὁ λόγος· διόπερ, ὡς εἴρηται, καὶ ὀγδόην καλεῖ αὐτὴν, ἄλλην οὖσαν παρόντα τοῦτον αἰῶνα· εἷς δὲ καὶ ὁ πᾶς αἰὼν διὰ ταύτης δηλούμενος· τὸ δὲ λέγειν τὴν γραφὴν αἰῶνας αἰώνων, διαφόρους καταστάσεις δηλοῖ· καὶ ταῦτα μὲν περὶ τούτων.

Οἱ δὲ πρώτην εἶναι τὴν νύκτα βουλόμενοι, ἀντὶ τοῦ σκότους τὴν ἑσπέραν εἰρῆσθαι φασὶν, ἀντὶ δὲ τοῦ φωτὸς τὸ πρωΐ· ἐπειδὴ καὶ ἑσπέραν καλοῦμεν τῆς νυκτὸς τὴν ἀρχὴν, καὶ πρωΐ τοὐναντίον· ὡς εἰπὼν, φασὶν, ὅτι κατ' ἀρχὰς ἐγένετο σκότος, μετὰ δὲ τοῦτο τὸ φῶς· ὡς ἐντεῦθεν τὸ μὲν σκότος φανῆναι νυκτός τινος τάξιν ἐπεσχηκὸς, τὸ δὲ φῶς ἡμέρας τινὸς πληρῶσαν καιρὸν, ἐπήγαγε τὸ, ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ· οἱονεὶ δηλῶν ὡς ἐγένετο μὲν ὁ τοῦ σκότους καιρὸς ὥσπέρ τις νὺξ ἀφ' ἑσπέρας ἄρχεσθαι εἰωθυῖα· μετὰ τὸ γενέσθαι φῶς, ἡμέρα τὶς ὤφθη γενομένη ἐκ πρωΐας ἄρχεσθαι πεφυκυῖα· εἰκότως οὖν μίαν ἡμέραν ἐκάλεσε συναμφότερον ἀπὸ τοῦ νῦν ἐπικρατοῦντος· τὸν γὰρ αὐτὸν δρόμον ἀποτελεῖ τὸ φῶς ὅνπερ ἥλιος νῦν· πρῶτον οὖν, φασὶν, εἶπε τὸ σκότος, εἶτα τὴν τοῦ φωτὸς ἐπικράτειαν· εἰ γὰρ καὶ κρεῖττον τὸ φῶς, ἀλλ' οὖν οὐ προτέτακται· ἐφύλαξε δὲ αὐτοῖς

τῆς δημιουργίας τὴν τάξιν· λογίζεται γὰρ ἡ Cap. 1.
γραφὴ τὴν ἡμέραν ἀφ' ἑσπέρας ἀρχομένης μεθ' ἡλίου δυσμὰς, οὐκ ἀπὸ τοῦ τῆς ἕω καιροῦ καθ' ὃν ἀνίσχειν ἐστὶ τὸν ἥλιον· ἐπειδὴ πρῶτον γέγονε νυκτὸς τάξιν ἔχον τὸ σκότος, καὶ μετὰ τοῦτο τὸ φῶς ὃ τὴν ἡμέραν ἐργασάμενον ἀφίκετο πρὸς δυσμὰς· μαρτύρονται δὲ καὶ τὸν ἀπόστολον λέγοντα, νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα, ὅπερ οὐ βέβαιον εἰς τὴν ἀπόδειξιν· τί γὰρ, ὅτι τοῦ χρόνου λέγει τὴν τάξιν καθ' ἣν αὐτῷ γέγονε τὸ ναυάγιον, ὡς ἀρχομένης νυκτὸς ῥαγείσης αὐτῷ τῆς νεὼς, εἶτα διατελέσαντι καὶ τὴν ἐπ' αὐτῇ γενομένην τὴν ἡμέραν ἐν τῷ βυθῷ, εἶτα προφέρουσι τῶν ἑορτῶν τὸν καιρὸν; καὶ ὅτι κατὰ τὸν τῆς νυκτὸς ὁ κύριος ἀνέστη καιρὸν, ὡς ἐν αὐτῇ τῇ μιᾷ ἡμέρᾳ τὴν ἀνάστασιν ἐργαζόμενος· ὅπως ἐν ᾗπερ τὰ πρῶτα γεγένηται, καὶ ἡ τῶν πάντων ἀνάκτισις γένηται· ὅθεν ὡς ἐν τῷ σκότῳ πάντων γεγονότων, εἶτα τοῦ φωτὸς ἐπιλαμβάνοντος, ἐργάζεται μὲν ἐν τῷ σκότῳ τὴν ἀνάστασιν, δείκνυσι δὲ αὐτὴν τῆς ἡμέρας ἐπιλαβούσης.

Καὶ εἶπεν ὁ Θεός· γενηθήτω στερεώμα, καὶ v. 6.
ἔστω διαχωρίζον ἀνὰ μέσον τοῦ ὕδατος· τινὲς φασὶ μὴ δευτέρου γενέσιν οὐρανοῦ ταύτην ὑπάρχειν, ἐπεξήγησιν δὲ εἶναι τῶν συντόμως εἰρη-

Cap. I. μένων περὶ τοῦ φθάσαντος· καί τοι καὶ ὄνομα ἕτερον καὶ χρείαν ἰδιάζουσαν ἡ γραφὴ τοῦ δευτέρου παρέδωκε· καὶ ἄλλως αἱ τῆς γραφῆς ἐπαναλήψεις οὐκ ἐναντίωσιν ἔχουσιν, ἀλλὰ μόνον σαφήνειαν καὶ τῶν παρειμένων τὴν ἀναπλήρωσιν· πῶς δὲ οὐκ ἐναντίον; εἰ ὁ μὲν, γέγονεν ἐν ἀρχῇ μετὰ γῆς καὶ τῶν ἀμφοτέροις συνυπαρξάντων, ὡς μηδὲν πρὸ αὐτοῦ γεγονέναι, ὁ δὲ γέγονε κατὰ τὴν δευτέραν ἡμέραν ἐν μέσῳ τῶν ὑδάτων ἔχων τὴν σύστασιν· ὡς δῆλον ὅτι προγεγονότων ὧν ἐν μέσῳ καθέστηκεν· οὐκ ἂν δέ τις εἴποι περιττὴν εἶναι τούτου τὴν γένεσιν· τοῦτο μὲν, ὅτι τῶν ὑδάτων οὐ μικράν τινα μοῖραν ὑπὲρ νώτου λαβὼν εὐχερῆ τοῖς ὑπολειφθεῖσι τὴν εἰς ἕν τι συναγωγὴν ἐποίησατο, ὡς γυμνωθεῖσαν τὴν γῆν χρησίμην εἶναι πρὸς οἴκησιν· τοῦτο δὲ πρώτου τοῖς ἐπὶ γῆς ἀσύμμετρον ἔχοντος τὴν ἀπόστασιν, ὡς ἀργεῖν περὶ τοῦτον τὴν θέαν, μέσος οὗτος παρελθὼν εἰκότως ταύτην ἐμέτρησεν· ἐφ' οὗ ἤμελλον καὶ οἱ φωστῆρες ταχθέντες τῇ μετρίᾳ διαστάσει καλῶς τὰ περὶ γῆν ἐνεργεῖν· εἰ γὰρ νῦν ὁ ἥλιος πόῤῥω γινόμενος ἀσθενεστέραν ἔχει τὴν προσβολὴν, ὡς ἐν ἀμυδρῷ φωτὶ καὶ κρύει τὰ καθ' ἡμᾶς ἀφιέναι, τί χρὴ λέγειν εἰ κατ' οὐρανὸν τὸν πρῶτον ἐτέτακτο;

ἀοίκητος γὰρ ἂν ὑπῆρχεν ἡ γῆ κατὰ τὰ νῦν αὐ- Cap. I.
τῆς μέρη κατεψυγμένα.

Εἴποι δ' ἄν τις καὶ πρὸς τὸ μέλλον ἡρμόσθαι τῶν γεγονότων τὴν ποίησιν· προὔκειτο γὰρ θεῷ διπλῆν ποιήσασθαι τῆς κτίσεως τὴν κατάστασιν, τὴν μὲν τρεπτὴν καὶ φθαρτὴν, ὁποία νῦν ἐστιν ἡ παροῦσα, τρεπτὰ ταῖς γνώμαις ἔχουσα καὶ τὰ μὴ φύσει φθειρόμενα λογικά τε καὶ νοερά· τὴν δὲ τῶν παρόντων ἐλευθέραν κακῶν, Χριστοῦ τῆς τοιαύτης κατὰ τὴν οἰκονομίαν κατάρξαντος· ἧς καὶ πάντες τευξοίμεθα μετὰ τὴν ἔνδοξον καὶ δευτέραν αὐτοῦ παρουσίαν· τῇ μὲν οὖν παρούσῃ καταστάσει πρέπον ἐνδιαίτημα τὸ χωρίον ἐν ᾧ νῦν ἐσμὲν, τὸ μεταξὺ τῆς γῆς καὶ τοῦ στερεώματος· τῇ δὲ μελλούσῃ καὶ θειοτέρᾳ, τὸ διάγειν ἐν τῷ οὐρανῷ γεγονότας ἀτρέπτους, ἔνθα καὶ νῦν ὁ Χριστὸς κατὰ τὴν οἰκονομίαν καθέστηκεν, ὡς ὁ μακάριος Παῦλος φησίν· ἵνα ἰσχυρὰν παράκλησιν ἔχωμεν οἱ καταφεύγοντες κρατῆσαι τῆς προκειμένης ἐλπίδος, ἣν ὡς ἄγκυραν ἔχομεν τῆς ψυχῆς ἀσφαλῆ τε καὶ βεβαίαν καὶ εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀρχιερεὺς γενόμενος· ἐσώτερον μὲν καταπέτασμα, τὸν ὑπὲρ τὸν οὐρανὸν τόπον ὀνομάζων· ἀρχιερέα δὲ κα-

Cap. 1. λῶν τὸν Χριστὸν ὡς τῆς καταστάσεως ἄρξαντα· σὺν αὐτῷ γὰρ ἐσόμεθα μετὰ τῶν ἀοράτων δυνάμεων· εἴπερ ἀληθὲς τὸ ἰσάγγελοι γάρ εἰσι· καὶ εἰσὶν υἱοὶ τοῦ θεοῦ, τῆς ἀναστάσεως υἱοὶ ὄντες· καὶ Παῦλος δὲ φησίν· ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς τὸν ἀέρα εἰς ἀπάντησιν τῷ κυρίῳ, καὶ οὕτως πάντοτε σὺν κυρίῳ ἐσόμεθα· ὥστε πρὸς τὰς διττὰς καταστάσεις, διάφορα καταγώγια· καὶ ὁ νῦν ἡμῖν ὀροφῆς τάξιν ἐπέχων οὐρανὸς, ἐν ἐδάφους μέρει γενήσεται· ὁ γὰρ πρῶτος ὥσπερ οὐρανός ἐστιν οὐρανοῦ· καὶ ὁ Δαβὶδ γὰρ λέγει· ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ κυρίῳ· τὴν δὲ γῆν, τοσοῦτον ὅσον οὗτος ἡμῶν· τοιαύτη τοίνυν ἡ μέλλουσα τῶν ἁγίων κατάστασις· ὅθεν καὶ βασιλείαν οὐρανῶν ἡ γραφὴ τὴν τοιαύτην καλεῖ κατάστασιν.

Τὸ δὲ τοῦ οὐρανοῦ ὄνομα κυρίως μὲν ἁρμόττει τῷ πρώτῳ, καθ' ὁμοίωσιν δὲ τὸ κληθέντι στερεώματι κυριώτερον· ὃν ἕνα φησὶν οὐρανὸν, ὕδωρ εἶναι φάσκων ὑπὲρ αὐτὸν ὁ Δαβὶδ λέγων· ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ. Ὅταν οὖν λέγεται, οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ· καὶ, ὁ κύριος τοὺς οὐρανοὺς ἐποίησε· καὶ, πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, οὐχ ὑπὲρ τὸ στερέωμα νομιστέον εἶναι τοὺς λεγομένους οὐρανοὺς, ὑπὸ

δὲ τοῦτο τυγχάνειν, παντὸς τοῦ μεταξὺ γῆς Cap. I.
καὶ τοῦ στερεώματος, οὐρανοῦ καλουμένου, καὶ εἰς οὐρανοὺς πλείονας διὰ τὸ ὕψος διαιρουμένου· ὅθεν λέγεται καὶ πετεινὰ οὐρανοῦ, τουτέστιν ἀέρος· καὶ τὴν ἀσίδα τὸ ὄρνεον ἐν οὐρανῷ φησὶν Ἱερεμίας ὑπάρχειν· τοιοῦτόν ἐστιν καὶ τὸ, ἀναβαίνουσιν ἕως τῶν οὐρανῶν· καὶ Μωϋσῆς εὐλόγως τῇ φυλῇ τοῦ Ἰωσὴφ ἀπὸ ὡρῶν οὐρανοῦ καὶ δρόσου καὶ ἀπὸ τοῦ ἡλίου τροπῶν καὶ συνόδων μηνῶν καὶ ἀπὸ κορυφῆς ὀρέων καὶ βουνῶν αἰωνίων τὰς εὐλογίας δίδωσιν· ὡς τοῦ περὶ γῆν τόπου διὰ τῆς ἐν τούτοις εὐταξίας εὐθυνομένου. Ἀλλὰ καὶ ἐν ταῖς κατάραις τοῦ Ἰσραὴλ, ἔσται φησὶν ὁ ὑπὲρ κεφαλῆς οὐρανὸς χαλκοῦς, τὴν παντελῆ ξηρασίαν δηλῶν καὶ τῶν ἀερίων ὑδάτων ἐπίληψιν· ὅταν οὖν ἐκ τῶν οὐρανῶν φέρεσθαι λέγῃ δρόσον, περὶ ὑδάτων νοοῦμεν ὅσα τὴν ἄνω διατέτακται χώραν κατέχειν οὐρανὸν λεγομένην· εἰς τρίτον δὲ οὐρανὸν ἡρπάσθαι Παῦλος φησὶν, εἰς τὸν παράδεισον ἁρπασθεὶς, ὃν ὑπὸ τὸ στερέωμα πεφυτευμένον ἐπέδειξεν ὁ Μωϋσῆς· εἰς ὕψος δὲ ἀνήκειν αὐτὸν Ἰεζεκιὴλ ἐμαρτύρησεν ὄρος αὐτὸν ὀνομάσας θεοῦ· εἷς οὖν οὐρανὸς τὸ στερέωμα.

Καὶ οἱ μὲν αὐτοῦ τὴν οὐσίαν ἄδηλον εἶναι φασὶν κᾂν ἐξ ὑδάτων εἶναι δοκεῖ κατὰ τὴν κοι-

Cap. 1. τὴν ἐκδοχήν· οἱ δὲ καὶ ἐξ ὑδάτων αὐτὸν ὑποτίθενται πήξαντος τοῦ θεοῦ· οἱ μὲν φασὶ μέρος ἁπλῶς, οἱ δὲ καὶ τρίτον τοῦ ὕδατος, τῶν λοιπῶν δύο μερῶν τοῦ μὲν ὄντος ἐν γῇ, τοῦ δὲ ὑπὲρ τὸ στερέωμα, ὅθεν καὶ λέγεσθαι. σουμὴν (שׁמים) ἑβραίων φωνῇ, ὕδωρ δηλοῦν πεπηγός· σφαιροειδοῦς δὲ τοῦ πρὸς ἡμᾶς μέρους ὑπάρχοντος, ἀξιοῦσί τινες τοιαύτην εἶναι καὶ τὴν ἐκτὸς ἐπιφάνειαν, ὡς αἰσθητὸν ὕδωρ μὴ δύνασθαι· περιῤῥεῖν γὰρ τοῦτο πρὸς τὰ κοῖλα φερόμενον· πρὸς οὓς ἀντιλέγουσιν ἕτεροι, ὡς οὐδὲν ἔνδοθεν κωλύσει τυγχάνειν περιφερῆ, ἐπιπέδου τῆς ἔξω τυγχανούσης ἐπιφανείας· ὑπόδειγμα πρὸς τοῦτο τὰς θόλους καὶ τὰ περιφερῆ τῶν ἄντρων προφέροντες· εἰ δὲ μὴ σφαῖρα καθέστηκεν, οὐδὲ κίνησιν ἔχει καὶ τὴν κύκλῳ φορὰν, ἐν μέσῳ δὲ τῶν ὑδάτων ἐστήρικται, καθάπερ ἡ γῆ, τὸ ὕδωρ ἀνέχων ὑπὲρ αὐτὸν ἐν ἀκινήτῳ τῇ στάσει· εἰ δὲ τὸ ὑποκάτω τοῦ οὐρανοῦ βιάζοιτό τις ἀκούειν ὡς ὑποκάτω τοῦ ἡμισφαιρίου, ἀνάγκη τὸ συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ ἐπ᾽ ἀμφοῖν ἀκοῦσαι τῶν λεγομένων ἡμισφαιρίων· ἵνα μὴ ὑπὸ τῷ φαινομένῳ καθ᾽ ἡμᾶς μόνον, ἀλλὰ καὶ ὑπὸ τῷῳ ἑτέρ θαλάσσας συναγομένας νοήσωμεν. Ὅτι δὲ πᾶσα ἡ γῆ καθ᾽ ὑδάτων ἕστηκε καὶ οὐδέν ἐστιν ὑπὸ τὴν γῆν μέ-

ρος ὑδάτων γυμνὸν ὡς ὑπὲρ γῆς θεωρεῖται, δῆλον· τῷ στερεώσαντι γάρ φησι τὴν γῆν ἐπὶ τὸ ὕδωρ· καὶ αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτὴν, καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτήν· μόνον ἄρα τὸ καθ' ἡμᾶς πρόσωπον τῆς γῆς ἀκουστέον ἐν τῷ συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς συναγωγὴν μίαν· καὶ μόνον τὸν ὑπὲρ ἡμᾶς ὁρώμενον, ἡγητέον οὐρανὸν, ᾧ συμβέβηκεν ὑποκεῖσθαι τήνδε τὴν οἰκουμένην· ἀντοικουμένην δὲ ὑπὸ τῆς γῆς οὐδεμίαν εἶναι πιστεύομεν· ἢ γὰρ ἂν κἀκεῖ Χριστὸς ἐπεδήμησε, καὶ τὰ λοιπὰ τὰ παρ' ἡμῖν ἀπήντηκεν, ἢ παραπλήσια, καὶ Ἀδὰμ, καὶ ὄφις, καὶ εἰ τύχοι κατακλυσμός; τὸ δὲ ὑπὸ γῆν ὕδωρ ἄδηλον εἴτε μετέωρον ἀνήρτηται δυνάμει τοῦ Θεοῦ, εἴτε ἐπὶ πνεύματος ὀχεῖται. Cap. 1.

Στερέωμα δὲ φασὶ καλεῖσθαι τὸν οὐρανὸν, ἢ ὡς ἐξ ἁπαλῆς παγέντα τοῦ ὕδατος φύσεως, ἢ πρὸς ἀντιδιαστολὴν τῆς τῶν ὑπερκειμένων φύσεως, λεπτῆς οὔσης καὶ ἀραιᾶς· καὶ οὐδὲ μιᾷ αἰσθήσει καταληπτῆς· τὸ δὲ ἐν μέσῳ τοῦ ὕδατος, ἴσην δηλοῖ τὴν τῶν ἑκατέρωθεν ὑδάτων διαίρεσιν· λέγει γάρ· ἔστω διαχωρίζον ἀνὰ μέσον ὕδατος καὶ ὕδατος· προσεκτέον δὲ φασὶν ὅπως ἐπὶ διδασκαλίᾳ τῶν ἀοράτων φύσεων ἢ τῶν ὄντων γέγονε τάξις· ἃς ἐχρῆν διὰ τῶν γι-

Cap. I. νομένων μαθεῖν τὸν δημιουργὸν, καὶ διδάσκειν τοὺς μετὰ ταῦτα γενομένους ἡμᾶς· κατὰ γὰρ τὸν μακάριον Παῦλον πρὸς ἡμετέραν σωτηρίαν ταῖς θείαις ὑπηρετοῦνται βουλαῖς· τότε γὰρ φῶς μετὰ τὴν τῶν πρώτων δημιουργίαν ἐκ μὴ ὄντων πεποίηκεν, ἵνα καὶ ἑαυτὰς οὕτω παρῆχθαι νοήσωσι· καὶ τὰ μετ' αὐτῶν πρῶτα γεγονότα δημιουργήματα, καὶ πάλιν ἐπὶ τῆς δευτέρας ἡμέρας οὐρανὸν γενέσθαι προσέταξεν τοῦ προτέρου καθ' ὁμοιότητα· ὃς καὶ τὸν πρῶτον καὶ τὰ σὺν αὐτῷ κατὰ τὸν αὐτὸν γενέσθαι νομίσωσι τρόπον· παραπλήσιον γὰρ ποιεῖ τῇ φύσει τῷ προτέρῳ τὸν δεύτερον· ὅθεν καὶ οὐρανὸς ἐκλήθη· εἰ καὶ ὁ μὲν ἐξ ὄντων, ὁ δὲ ἐκ μὴ ὄντων γεγένηται· τοῦτο γὰρ διαφορὰν οὐκ εἰργάζετο φύσεως, ἡ γὰρ ὁμοιότης τὴν πίστιν παρείχετο· καὶ ἡ αὐτὴ δύναμις τὸ ὂν εἰς οὐσίαν μετασκευάζειν καὶ ἐξ οὐκ ὄντων ἑτέραν ποιεῖν· κἀκείνη γὰρ γέγονεν ἐξ οὐκ ὄντος τοιούτου· τὸ δὲ καὶ ἐποίησεν ὁ θεὸς εἰς ἔμφασιν εἴρηται τοῦ μὴ ἄλλον μὲν εἶναι τὸν προστάξαντα, ἄλλον δὲ τὸν ποιήσαντα· οἱ δὲ πλείους ὡς εἴρηται οὐκ εἰς διδασκαλίαν λογικῶν δυνάμεων τὸ εἶπεν ὁ θεὸς φασὶν, ἀλλ' εἰς παράστασιν τοῦ μονογενοῦς· τοιγαροῦν οὐκ εἴρηται τὸ ἐγένετο τὸ στερέωμα, ἀλλὰ καὶ ἐποίησεν ὁ θεὸς τὸ στερέωμα·

καὶ πάλιν διεχώρισεν ὁ Θεός· τὸ μὲν οὖν γενηθήτω τὸ στερέωμα, φωνὴ τῆς προκαταρκτικῆς αἰτίας· τὸ δὲ ἐποίησε τὸ στερέωμα, τῆς ποιητικῆς καὶ τῆς δημιουργικῆς μαρτύρια δυνάμεως. Cap. I. v. 7.

Τὸ δ' οὖν στερέωμα διεχώριζεν ἀνὰ μέσον τοῦ ὕδατος καὶ τοῦ ὕδατος· ἄπειρος γὰρ ἦν τῶν ὑδάτων ἡ χύσις, ὡς τὴν τῶν ἄλλων στοιχείων ἀναλογίαν ἐκβαίνειν· ὅθεν καὶ ἄβυσσος εἴρηται· ἀναγκαίας γὰρ οὔσης τῷ παντὶ τῆς τοῦ πυρὸς οὐσίας καὶ ἐναντίας τῷ ὕδατι, ὡς φθαρτικὰ τυγχάνειν ἀλλήλων, ἵνα μὴ δραστικώτερον ὑπάρχον τὸ πῦρ ἐξαναλώσῃ τὴν τοῦ ὕδατος φύσιν, καὶ τῇ τοῦ παντὸς διαλύσει παράσχῃ τὴν ἀφορμὴν, προνοῶν ὁ Θεὸς, τοσαύτην ὑγροῦ φύσιν ὑπέστησεν, ὥστε μέχρι τῶν τεταγμένων ὅρων τῆς τοῦ κόσμου συστάσεως κατὰ μικρὸν τῇ δυνάμει τοῦ πυρὸς ἀντέχειν ἀναλισκόμενον· ἔσται μέν τοι καὶ ὅτε τὰ πάντα καταφρυγήσεται τῷ πυρὶ ὡς φησὶν Ἡσαίας· ὁ λέγων τῇ ἀβύσσῳ ἐρημωθήσῃ, καὶ πάντας τοὺς ποταμούς σου ξηρανῶ· διὰ τοῦτο μὲν οὖν πλῆθος τῶν ὑδάτων. Διὰ τί δὲ καὶ ὑπὲρ τὸ στερέωμα ἥμισυ τοῦ ὕδατος ἀναβέβλητο; ἐπειδὴ τὴν τοῦ φωτὸς οὐσίαν τὴν τοῦ ἡλίου φημὶ καὶ σελήνης καὶ ἄστρων πυρώδη τε καὶ πολλὴν οὖσαν ἐπὶ τοῦ στερεώματος ἔταττε ποιεῖσθαι τὴν κίνησιν· φύσις δὲ τῷ πυ-

Cap. 1. ρὶ τὴν κρυσταλλώδη καὶ ἐξ ὑδάτων πεπηγυῖαν οὐσίαν οἷα πέρ ἐστιν ἡ τοῦ στερεώματος χαυνοῦν τε καὶ διαλύειν· ὡς ἂν μὴ τοῦτο γένοιτο περὶ τὸν οὐρανὸν, ἀναγκαίως αὐτῷ τοσαύτην ὑπερχεῖσθαι τοῦ ὕδατος πεποίηκε φύσιν, ὅση διασώζειν ἀκαίρεον ἤμελλεν· οὕτω τοῦ θεοῦ φυλάττειν αὐτὸν εὐδοκήσαντος, εἰ καὶ μόνῃ βουλήσει τοῦτο πράττειν ἠδύνατο καθάπερ τὸν πρῶτον οὐρανόν· ἐπεὶ καὶ τὴν ἡμετέραν σάρκα καὶ τροφῆς χωρὶς διασώζειν ἠδύνατο καὶ μένειν ἐπὶ τοῦ αὐτοῦ παρασκευᾶσαι, ὃ δὴ καὶ ἐπὶ τοῦ μέλλοντος αἰῶνος ἐργάσεται. Τὰ δὲ ἐπικείμενα ὕδατα οὐ μόνον συντηρεῖ τὸν οὐρανὸν, ἀλλὰ καὶ τὴν φλόγα τοῦ ἡλίου καὶ σελήνης κάτω πέμπει· εἰ γὰρ ἦν διαφανὴς ὁ οὐρανὸς, ὅλη ἄνω ἔτρεχεν ἡ αὐγή· τὸ γὰρ πῦρ ἀνωφερές· ἐπυκνώθη τοίνυν τοῖς ἄνωθεν ὕδασιν ὡς ἀντωθῇ τὴν αὐγὴν πρὸς τὰ κάτω χωρεῖν.

Τινὲς δὲ προφάσει δῆθεν ὑψηλοτέρας νοήσεως ἐπὶ τὰς ἀλληγορίας κατέφυγον· δυνάμεις πνευματικὰς τὰ ὕδατα λέγοντες, τὰς μὲν κρείττους καὶ ἄνω μεινάσας, αἵ τινες καὶ ὑμνεῖν λέγονται τὸν Θεὸν, ὕδατα ἐπάνω τοῦ οὐρανοῦ λεγόμεναι· τὰς δὲ χείρους καὶ περιγείους γενομένας· αἵ περ, ὡς ταραχώδεις καὶ θορύβοις παθῶν κυμαινόμεναι, θάλασσαι λέγονται· ταῦτα

δὲ μῦθος καὶ λῆρος· κἂν γὰρ ὑμνεῖν λέγηται Cap. I.
τὸν θεὸν τὰ ἐπάνω τοῦ οὐρανοῦ ὕδατα, οὐ λογικὴν αὐτὰ φύσιν παρὰ τοῦτο τιθέμεθα· οὔτε γὰρ οἱ οὐρανοὶ ἔμψυχοι, ἐπειδὴ διηγοῦνται δόξαν θεοῦ· οὐδὲ τὸ στερεώμα ζῶόν ἐστιν αἰσθητικὸν, ἐπειδὴ ἀναγγέλλει ποίησιν τῶν χειρῶν αὐτοῦ· καὶ δρόσος δὲ καὶ πάχνη καὶ καῦμα ὑμνεῖν λεγέται τὸν δημιουργόν· ἀλλὰ γὰρ ὁ ἐν τούτοις παρὰ τῶν νοῦν ἐχόντων τεθεωρημένος ἐκλαμβανόμενος συμπληρωτικός ἐστι τῆς δοξολογίας τοῦ κτίσαντος· τοιγαροῦν καὶ τὰ ἐκ τῆς γῆς αἰνοῦσιν αὐτὸν ὕδατα δράκοντες καὶ πάσαι ἄβυσσοι· πῶς οὖν ἡ ἄβυσσος χειρόνων πλῆθος δυνάμεων ὑπείληπται παρ' ὑμῖν ὁμοίως αἰνοῦσα τὸν κύριον τοῖς ὕδασι, τοῖς ἐν οὐρανῷ, ἃ διὰ τὸν αἶνον κρείττους δυνάμεις νομίζεται; κἀκεῖνο δὲ ψεῦδος κεκομψευμένον τὸ λέγειν οὐρανὸν μὲν εἶναι τὰς θεωρητικὰς δυνάμεις, στερέωμα δὲ τὰς πρακτικάς.

Συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρα- v. 8.
νοῦ εἰς τὴν συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρὰ, καὶ ἐγένετο οὕτως· καὶ συνήχθη τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς τὰς συναγωγὰς αὐ-
τῶν, καὶ ὤφθη ἡ ξηρά· καὶ ἐκάλεσεν ὁ θεὸς τὴν v. 9.
ξηρὰν γῆν, καὶ τὰ συστήματα τῶν ὑδάτων ἐκάλεσε θαλάσσας· εἰ ῥυτὸν φύσει τὸ ὕδωρ, τί τὸ

Cap. I. πρόσταγμα βούλεται; ἀφ' ἑαυτοῦ γὰρ ἤμελλε χωρεῖν ἐπὶ τὰ κοιλότερα· πῶς δὲ πεπληρωμένων τῶν κοίλων, εἴ γε τὸ ὕδωρ κατὰ πάσης ὑπῆρχε τῆς γῆς, ὁ τῆς ῥύσεως δρόμος ἐπὶ ταῦτα συνήρχετο, πεπληρωμένα τυγχάνοντα; ἀλλ' ἴσως μὲν ἅμα τῇ προστάξει καὶ ῥευστὸν τὸ ὕδωρ ἐγένετο, τάχα τὴν ἀρχὴν οἱονεὶ πεπηγός τε καὶ στάσιμον ὄν· ἁρμόσει δὲ καὶ πρὸς ἀμφοτέρας τὰς ἀπορίας εἰπεῖν ὅτι καὶ τὰ δοχεῖα τῶν ὑδάτων ἅμα τῇ προστάξει κοιλανθέντα γεγένηται, τὰ μέγιστα λέγω, καθ' ἃ συνίστανται θάλασσαι· καὶ εἴ τινες τούτων κοιλότητες ἦσαν μικρότεραι πρὸς ταύτας, ἐκενοῦντο τῷ θείῳ προστάγματι· ὡς ἔχειν τὸ ὕδωρ ἐξ ἰσοπέδου πρὸς ταῦτα χωρεῖν, πρότερον ἐπιπολάζον πάσῃ τῇ γῇ· ἅμα δὲ καὶ δύναμιν ἔσχε τὸ ὕδωρ τοῖς τῆς θαλάσσης κοίλοις ἐπέχεσθαι, κἂν ὑψώθη, πάλιν ἐπιστρέφειν πρὸς ἑαυτό· καὶ ὁ ἐκκλησιαστὴς τοῦτο λέγων φησί· πάντες οἱ χείμαῤῥοι ἐπὶ τὴν θάλασσαν πορεύονται, καὶ ἡ θάλασσα οὐκ ἔστιν ἐμπιπλαμένη· ἀλλαχοῦ ἡ γραφή· ἦ ἐμὲ οὐ φοβηθήσεσθε, λέγει κύριος, τὸν τιθέντα ἄμμον ὅριον τῇ θαλάσσῃ; ἡ γὰρ ἂν ἐρυθρὰ θάλασσα τὴν Αἴγυπτον ἅπασαν ταπεινοτέραν οὖσαν ἐπέβλυσεν.

v. 10. Πῶς δὲ εἰς μίαν συναγωγὴν κελευσθέντος

τοῦ ὕδατος, εἰς τὰς συναγωγὰς αὐτῶν φησὶ συνήχθη τὰ ὕδατα, καὶ πλείους αἱ θάλασσαι φαίνονται; μία μὲν οὖν εἴρηται συναγωγὴ ἀντιδιαιρουμένη τῇ ξηρᾷ, ὡς μίαν μὲν εἶναι κοινῷ λόγῳ τὴν γῆν μίαν δὲ τὴν θάλασσαν· μία δὲ οὖσα διαιρέσεις ἔχει καὶ κόλπους πολλοὺς οὓς θαλάσσας ἐκάλεσε· καὶ τὴν ἐρυθρὰν γὰρ καὶ ὑρκανίαν τῇ μεγάλῃ συνεστομῶσθαι φασὶν οἱ τὴν γῆν περιοδεύσαντες· καὶ ὥσπερ οὐρανὸς κοινῶς μὲν ὁ εἷς, ὁ ὑπὸ τὸ στερέωμα πᾶς, ἰδίως δὲ πλείους οἱ ἐν τούτῳ διῃρημένοι, οὕτως μία μὲν ἡ μεγάλη καθέστηκε θάλασσα ὁ ὠκεανὸς ἐξ οὗ διεκβολαί τινες χωροῦσιν εἰς τόπους βαθεῖς, ἐξ ὧν τὰ πελάγη συνίσταται συναγωγαὶ καὶ θάλασσαι Γραφῇ τῇ θείᾳ λεγόμενα, ῥύακές τινες καὶ στόματα τῆς μεγάλης οὖσαι συναγωγῆς· τὴν δὲ ξηρὰν τῇ γῇ τὴν αὐτὴν οὖσαν καθ' ἑτέραν ἐπίνοιαν διαφόρως ὠνόμασεν· ὡς γὰρ τὸ γελαστικὸν ἴδιόν ἐστιν ἀνθρώπου, ἡ δὲ ἄνθρωπος φωνὴ σημαντικὴ τοῦ ζώου, ᾧ ὑπάρχει τὸ ἴδιον· οὕτω καὶ τὸ ξηρὸν ἴδιον τῆς Γῆς καὶ ἐξαίρετον· ἔχει δὲ καὶ τὸ ψυχρὸν, ἀλλὰ κοινὸν πρὸς τὸ ὕδωρ· ὡς ἐκεῖνο τοῦτο ἴδιον ἔχον, κοινὸν ἔχειν πρὸς ἀέρα τὸ ὑγρὸν· ὁ δὲ τὸ ὑγρὸν ἴδιον ἔχον, κοινὸν ἔχει πρὸς τὸ πῦρ τὸ θερμὸν· καὶ τὸ πῦρ ἴδιον ἔχον τὸ θερμὸν, κοι- Cap. I.

Cap. 1. νὸν ἔχει πρὸς τὴν γῆν τὸ ξηρὸν ὅπερ ἐκείνης καθέστηκεν ἴδιον· καὶ οὕτως ἑκάστῳ τὸ μὲν ἴδιον, τὸ δὲ κοινὸν ἐνυπάρχει· κατὰ μὲν τὸ ἴδιον ἀφοριζομένῳ τῶν ἄλλων, συναπτομένῳ δὲ κατὰ τὸ κοινὸν τοῖς πλησίον ὑπάρχουσιν· ἔδει γὰρ εἶναι καὶ διακεκριμμένα ὡς ἂν τὴν ἰδίαν φύσιν φυλάττοιεν καὶ συναπτόμενα, ὡς ἂν ἐκ τούτων ἡ τῶν σωμάτων σύνθεσις γένοιτο, ἀλλήλοις ἀεὶ κατὰ τὴν κοινὴν συναπτομένοις ποιότητα· διόπερ ὁ θεὸς τὴν ξηρὰν ἐκάλεσε γῆν, ἀλλ' οὐ τὴν γῆν ἐκάλεσε ξηράν· τὸ μὲν γὰρ ἰδίωμα καὶ χαρακτηριστικόν ἐστι τῆς φύσεως, ἡ δὲ γῆ ψιλὴ προσηγορία τοῦ πράγματος· καὶ ὡς μὲν πρὸ τοῦ ὑποκεῖσθαι οὐρανῷ γῆ λέγεται, ὡς δὲ πρὸς τὴν ὑγρὰν οὐσίαν ξηρά· ὁ δὲ προφήτης ὡς διαφόρων μεμνῆσθαι δοκεῖ λέγων· ἔτι ἅπαξ ἐγὼ σείσω τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ τὴν ξηράν, εἴπομεν δὲ τὴν αὐτὴν εἶναι καθ' ἑτέραν ἐπίνοιαν ὀνομαζομένην· μή ποτε δὲ τὴν μὲν ἔσχεν προσηγορίαν τῆς οὐσίας σημαντικὴν, τὴν δὲ τῆς ποιότητος· ὅθεν καὶ μετὰ τοῦ οὐρανοῦ γενομένη λέγεται γῆ, ὥσπερ ἐκεῖνος κυρίως οὐρανός· τὰ δὲ μετὰ ταῦτα γενομένα, τὸ μὲν ἐκλήθη κυρίως στερέωμα, ἐπίκλην δὲ οὐρανός· τὸ δὲ ξηρὰ κυρίως, ἐπίκλην δὲ γῆ· πῆ μὲν γὰρ οὐσία, πῆ δὲ ποιότης τὸ προηγού-

μενον· τὸ δὲ χρήσιμον ἔδειξε τῆς προστάξεως, εἰπὼν, ὀφθήτω ἡ ξυρὰ, ὡς ἂν ἐπιτήδειος γένηται πρὸς φυτῶν τε καὶ ζώων γένεσιν. Cap. I.

Καὶ τὸ δὲ εἶδεν ὁ Θεὸς ὅτι καλὸν, πανταχοῦ τὸ ἐκάλεσεν ἐπὶ δηλώσει * λέγεται τοῦ πρὸς ὃ πεποίηκεν ἕκαστον· ἐφ' ἁπάντων δὲ φαίνεται τιθεὶς τὸ καὶ ἐγένετο οὕτως, εἰς δήλωσιν τοῦτο ἔργον παρηκολουθηκέναι τῇ βουλήσει τῇ τοῦ Θεοῦ· ἐπὶ δὲ τοῦ οὐρανοῦ, τὸ καὶ ἐποίησεν ὁ Θεὸς τὸ στερέωμα, εἰς δήλωσιν τοῦ μὴ ἕτερον εἶναι τὸν πεποιηκότα παρὰ τὸν γενέσθαι προστάξαντα· καὶ τοῦτο ἅπαξ διδάξας ἡμᾶς, ἐπὶ τῶν λοιπῶν ἀρκεῖται τῷ ἐγένετο, καθ' ἕκαστον ὠφείλοντας νοεῖν ὡς ὁ ποιήσας Θεός· οὐ γὰρ ἕτερος μὲν προσέταττεν, ἕτερος δὲ ἐποίει, ἀλλὰ Θεὸς ἀμφότερα· ἃ δὴ σημαντικὸν τῆς θείας οὐσίας πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος· ὥστε μὴ ξενίζον ὕστερον ἀκούων τὸν υἱὸν τοῦ Θεοῦ τῶν γεγονότων δημιουργόν· λέγει γάρ· ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι· τὸ μὲν γὰρ ἕως ἄρτι, τὸ δηνεκὲς τῆς ἐργασίας δηλοῖ· τὸ δὲ ἐργάζεται καὶ ἐργάζομαι, τὸ τῆς ἐργασίας κοινόν· καὶ πάλιν· ἅπερ ἂν βλέπῃ τὸν πατέρα ποιοῦντα, καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ, οὐ τοιαῦτα ἀλλὰ ταῦτα, οὐ δ' οἷαπερ ἀλλ' ἅπερ· οὐ γὰρ τὰ μὲν οὗτος, τὰ δὲ ἐκεῖνος ἐργάζεται·

* Cod. ἐπιδημώσει.

Cap. 1. βλέπειν δὲ λέγεται τῷ μηδὲν αὐτὸν λανθάνειν τῶν τοῦ πατρὸς· δείκνυσι δὲ αὐτὸν βουλήσει πάντα παράγοντα· πάντα γὰρ φησὶν ὅσα ἠθέλησεν, ἐποίησεν· καὶ κοινωνῶν αὐτῷ τῆς βουλῆς, κοινωνεῖ καὶ τῆς ἐργασίας, καὶ ὁ ὁμοίως ποιεῖ· τοῦτο γὰρ ἐπήγαγεν, δεικνὺς οὐ μόνον τὰ αὐτὰ, ἀλλὰ καὶ ὁμοίως ποιεῖ, ὅ ἐστι βουλήσει καὶ ἐξουσίᾳ· τοῦτο γὰρ σαφέστερον ἐπήνεγκεν λέγων· ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτως καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ, ὅπερ πατρικῆς ἐστὶν ἰσότητος, τὸ ὡς θέλει, ἀντὶ τοῦ μόνῃ θελήσει· ὅθεν καὶ τὸ βάπτισμα, ὅπέρ ἐστι καινῆς σύμβολον κτίσεως, εἰς τὴν πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος ἐπίκλησιν ποιεῖν προστετάγμεθα· ἐπείπερ συνθαπτόμεθά τε ἐν αὐτῷ καὶ συνανιστάμεθα τῷ Χριστῷ, κατὰ τὸν θεῖον ἀπόστολον· ὡς ἂν μάθοιμεν ὅτι ἐκ τῆς τριάδος ἀνακτιζόμεθα, ὑφ' ἧσπερ ἐκτίσμεθα· ὁ γὰρ αὐτὸς θεὸς καὶ τοῦ εἶναι καὶ τοῦ εὖ εἶναι πέφυκε χορηγός. Σημειωτέον δὲ ὅτι δι' ὅλης τῆς κοσμοποιΐας τῷ εἶπεν ὁ θεὸς πρόκειται καὶ ἐποίησεν ὁ θεὸς, δηλοῦν τὸ δημιουργικόν· μάλιστα γὰρ διὰ ταύτης τῆς προσηγορίας, τὸ δημιουργικὸν δηλοῦται· ἡ δὲ κύριος ὀνομασία, ἄρχοντος καὶ βασιλέως σημαίνει ἔμφασιν· ὅτι γοῦν ἐντολὴ δέδοτο τῷ

Ἀδὰμ, ἐνετείλατο κύριος ὁ θεὸς τῷ Ἀδάμ· εἰκότως· κυρίου γὰρ καὶ βασιλέως ἐστὶ τὸ νόμους καὶ ἐντολὰς διδόναι. Cap. ii

Καὶ εἶπεν ὁ θεὸς βλαστησάτω ἡ γῆ βοτά- v. 11. 12.
νην χόρτου, σπεῖρον σπέρμα κατὰ γένος, καὶ ξύλον κάρπιμον ποιοῦν καρπὸν κατὰ γένος, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ· δεῖ τὴν σύνταξιν ἀναστρέψαντας διαφεύγειν τὸ σολοικοφανές· βλαστησάτω ἡ γῆ βοτάνην χόρτου κατὰ τὸ γενὸς σπεῖρον σπέρμα· οὕτω γὰρ πρὸς τὸ γένος τὸ σπεῖρον ἀποδοθήσεται· ἢ γοῦν διασταλτέον τὸ σπεῖρον σπέρμα καθ' ἑαυτὸ, ἵνα ᾖ καὶ βλαστησάτω πᾶν σπεῖρον σπέρμα, ἀντὶ τοῦ γεννῶν καὶ παρέχον· ἀνακαλυφθέντος δὲ τοῦ ὕδατος, εἰκότως ἡ γῆ γεννῆσαι προστάττεται· καὶ ἡ τότε φωνὴ νόμος γέγονε μέχρι τέλους διηνεκὴς, ὡς ἐπὶ τῶν λοιπῶν δημιουργημάτων ὧν τὸ θεῖον ἠγήσατο πρόσταγμα· εἰκὸς δὲ τὴν ἀρχὴν τάς τε πόας καὶ τὰ δένδρα τέλεια γεγενῆσθαι, τὰ οἰκεῖα φέροντα σπέρματα· ὁρῶ μὲν γὰρ ὅτι καὶ τὰ ζῶα ἀτέλεια γέγονεν εὐθὺς ἑαυτοῖς ἀρκέσαι δυνάμενα· καὶ τὸν παράδεισον δὲ φυτεύσας, τοῖς ζώοις σπέρματα προευτρεπισθῆναι δι' ὧν ἤμελλον τρέφεσθαι· διὸ καὶ δεύτερα κτίζεται οὐχ' ὡς βοτάνης καὶ φυτῶν τυγχάνοντα χείρονα, ἐπεὶ καὶ τῶν ζώων ἄνθρωπος δεύτερος· φυτὰ γὰρ

Cap. I. ζῶα πρῶτα· εἶτα τούτοις ὁ χρώμενος ὡς ἄν τις βασιλεὺς τοῖς ὧν ἐστι βασιλεὺς ἐπιστάς· φασὶ δέ τινες ὡς πρῶτόν ἐστιν ἐν τῇ γενέσει τῶν φυομένων ἡ βλάστησις· εἶτα προκύψαν τὸ βλάστημα βοτάνη γίνεται, καὶ αὐξηθεῖσα χόρτος ἐστι· καὶ τὰ μικρὸν διαρθρουμένων τῶν φυομένων καὶ μέχρι τῆς ἐπὶ τὸ σπέρμα τελειότητος προϊόντων, ὅθεν τῇ μελλούσῃ τάξει τῶν πραγμάτων ἐχρήσατο, βλαστησάτω δὲ φησὶν ἡ γῆ μὴ δὲ μιᾶς δεομένη συνεργείας ἑτέρας· καὶ πρὸ ἡλίου τοῦτο προσέταξεν, ἵνα μὴ ἥλιον ὡς αἴτιον τῶν ἐκ γῆς φυομένων θεοποιήσωμεν, ἰδοὺ γὰρ ταῦτα τούτου πρεσβύτερα τοῦ δοκοῦντος ὁλκῇ τοῦ θερμοῦ πρὸς τὴν ἐπιφάνειαν τὴν ἐκ βάθους δύναμιν ἕλκειν.

Βοτάνην δὲ χόρτου τὰ ἐκ γῆς φυόμενα πάντα καλεῖ, εἴτε αὐτομάτως εἴτε σπειρόντων ἡμῶν, ὅσα μὴ ξύλου μετέχοντα, ἅμα τῷ παρασχεῖν τὸν οἰκεῖον καρπὸν ἀφαιρεῖται τῆς γῆς, χόρτου τινὰ τάξιν τοῖς ἀνθρώποις πληροῦντα ὡς ἕτερον καρπὸν, εἰ καὶ μένοι, μὴ παρέχειν δυνάμενα· τούτων γὰρ πρὸς ἀντιδιαίρεσιν ἐπήγαγε τὸ καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν· ἐπὶ γὰρ τούτων τοῦ καρποῦ ληφθέντος μένει τὸ δένδρον, τὸν αὐτὸν ἐν τῷ καθήκοντι καιρῷ τοῖς ἀνθρώποις παρέχον καρπόν· οἶδε μὲν οὖν λέγειν

ἡ γραφὴ καὶ ἐπὶ τῶν γεννημάτων τὸν καρπὸν· Cap. 1.
καὶ ἐποίησε καρπὸν τοῦ γεννήματος, λέγουσα· ἐνταῦθα δὲ πρὸς ἀντιδιαίρεσιν εἴρηται τοῦ σπεῖρον σπέρμα· ὁ γὰρ τούτων καρπὸς, κριθῆς καὶ σίτου καὶ τῶν ἄλλων φημὶ, σπέρμα γίνεται πρὸς τὴν εἰς αὖθις σπορὰν· καὶ κατὰ γένος φησίν· ἐπειδὴ σπέρμα ἕκαστον τὸ οἰκεῖον ἀποδίδωσιν εἶδος ἐν τοῖς ἐξ αὐτοῦ γινομένοις καρποῖς· εἰ δέ τις γένοιτο τοῦτο παρατροπὴ, ἀναδοθείη δὲ τυχὸν μέλας ἐκ τοῦ σίτου πυρὸς, οὐχ' ἕτερον γένος ἐστὶν, οἱονεὶ δὲ νόσος τις καὶ ἀῤῥωστία τοῦ σπέρματος· ἐμελάνθη γὰρ περικαεὶς τῇ τοῦ κρύους ὑπερβολῇ· τοιγαροῦν λέγεται γῆς ἐπιτηδείας καὶ εὐκράτων ἀέρων ἐπιλαβόμενος, πρὸς τὸ ἀρχαῖον εἶδος ἐπανιέναι· ἡ δὲ λεγομένη αἶρα καὶ ὅσα λοιπὰ νόθα σπέρματα, ἃ δὴ ζιζάνια φησὶν ἡ Γραφὴ, οὐκ ἐκ τῆς τοῦ σίτου μεταβολῆς, ἀλλ' ἐξ οἰκείας ἀρχῆς ὑπέστη, ἴδιον ἔχοντα γένος· ἅπερ εἰκόνα φέρει τῆς τῶν ἑτεροδιδασκάλων πρὸς τὸ σῶμα τῆς ἐκκλησίας ἐγκαταμίξεως.

Ἐπὶ δὲ τῶν δένδρων, οὗ τὸ σπέρμα αὐτοῦ φησὶν ἐν αὐτῷ, ἐπειδὴ μὴ παραπλησίως τοῖς γεννήμασι τοιοῦτον φέρει τὰ δένδρα καρπὸν, ὥστε αὐτὸν ἐν χώρᾳ σπερμάτων ἐπὶ τῆς γῆς καταβληθέντα παραπλήσιον τῷ πρόσθεν ἀποδοῦναι

Cap. 1. τὸν καρπόν· εἰ καὶ συμβαίνει τοῦτον γενέσθαι πολλάκις, μέρος αὐτῶν ἀφαιρεσθὲν, ἀντίθεται τῇ γῇ σπερματικὴν ἔχον τὴν δυνάμιν καὶ μένον ἐπὶ ταὐτοῦ, τοὺς ἐτησίους καρποὺς ἀποδίδωσιν· οὐ κατὰ τὴν φύσιν τῶν γενημάτων ἅμα τῷ δοῦναι τὸν καρπὸν, ἀφαιρούμενον· ὅθεν ἐπὶ τῆς γῆς, εἰκότως προσέθηκε· τουτέστιν ἐφ' ἑνὸς ἱδρυμένα τόπου καὶ μένοντα· θαυμαστὸν δὲ οὐδὲν εἰ ἐπὶ τῶν δένδρων εἶπε σπέρμα τὴν σπερματικὴν δύναμιν, ὅπου καὶ ἐπ' ἀνθρώπων οὕτως ἐπονομάζεται· ἀλλὰ πῶς, φασὶν, ἡ τοῦ θεοῦ πρόσταξις καὶ τοῦ συναναστεῖλαι τὰ βλαβερὰ αἰτία γεγένηται, καὶ τὰ δηλητήρια; ὅτι μὴ παντάπασι βλαβερὰ, ἑτέρῳ δὲ ἀγαθὸν ὅπερ ἔβλαψεν ἕτερον, ὥσπέρ ἐστι πρὸς μὲν ψάρας τὸ κώνειον, ἐλλέβορος δὲ πρὸς τοὺς ὄρτυγας, διά τινα φυσικὴν ἰδιότητα· τῷ παντὶ τοίνυν λυσιτελῆ τὰ μέρη τινὶ λυμαινομένα· καὶ γὰρ ὁ βοῦς πρὸς γεωργίαν εὔχρηστος, εἰ καὶ τὸ αἷμα τούτου καθέστηκεν ἡμῖν δηλητήριον· ἐν καιρῷ δὲ ἡμῖν καὶ ταῦτα χρήσιμα ὡς ἰατρῶν ἴσασιν παῖδες.

Ἀλλὰ πῶς, φασὶν, ἐπὶ μὲν τῶν βοτανῶν εἶπε σπεῖρον σπέρμα, ἐπὶ δὲ τῶν δένδρων ξύλον κάρπιμον οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ; ὅπου γε οὔτε κάλαμος οὔτε ἄγρωστις οὔτε ἡμίνθη οὐ κρόκος οὐ σκόροδον οὐ βούτομον οὐδ' ἄλ-

λα μυρία γένη σπερματίζοντα φαίνεται· καὶ τῶν Cap. I. δένδρων ὁρῶμεν πολλὰ οὔτε καρποῖς οὔτε σπέρματι κεχρημένα· πρὸς ἃ φαμὲν ὅτι πολλὰ τῶν φυομένων ἐκ γῆς ἐπὶ τοῦ πυθμένος καὶ τῆς ῥίζης ἔχει τὴν δύναμιν· ὥσπερ ὁ κάλαμος μετὰ τὴν ἐπέτειον αὔξησιν ἀπὸ τῆς ῥίζης ἀφίησί τινα προβολὴν σπέρματος λόγον ἔχουσαν, καὶ διὰ γῆς νεμόμενα ἐν ταῖς ῥίζαις τὴν διαδοχὴν κέκτηται, ὥστε ἑκάστῳ ἢ σπέρμα εἶναι ἢ δύναμίν τινα σπερματικὴν ἐνυπάρχειν· καὶ τῶν δένδρων δὴ αἴγειροι καὶ πτελέαι καὶ ἰτέαι καὶ λεῦκαι, εἰ καὶ μὴ φέρουσι προδήλως καρπὸν, ἀλλ' οὖν ὁ ὑποκείμενος αὐτῶν τῷ φύλλῳ κλάδος ὃν μίσχον καλοῦσί τινες, τοῦτο τοῦ σπέρματος ἔχει τὴν δύναμιν· ὅσα γὰρ ἀπὸ κλάδων γίνεσθαι πέφυκεν, ἐντεῦθεν ὡς τὰ πολλὰ προβάλλει τὰς ῥίζας· τάχα δὲ σπέρματος ἔχουσι λόγον καὶ αἱ τῶν ῥιζῶν ἀποφύσεις, ἃ παρασπῶντες οἱ φυτοκόμοι, τὸ γένος αὔξουσι· πρὸς δὲ τούτοις τὰ τιμιώτερα τῇ φύσει προηγουμένης μνήμης τετύχηκεν, ὅσα ἤμελλε τοῖς οἰκείοις καρποῖς τὸν ἄνθρωπον δεξιούμενα ἄφθονον αὐτῷ παρασκευάζειν τὴν δίαιταν· ἐπισημαίνονται δὲ ὅτι πάντα μὲν ἅμα τῇ προστάξει προῆλθε, μετὰ τῆς οἰκείας ἕκαστον ἰδιότητος οἰκείῳ γνωριζόμενον χαρακτῆρι· πλήν γε ὅτι τὸ ῥόδον τό-

Cap. I. τε ἄνευ ἀκάνθης ἦν, ὕστερον δὲ τῷ κάλλει τοῦ ἄνθους ἡ ἄκανθα παρεζεύχθη, ἵνα τῷ τερπνῷ τῆς ἀπολαύσεως ἐγγύθεν ἔχωμεν παρακειμένην τὴν λύπην, μεμνημένοι τῆς ἁμαρτίας δι' ἣν ἀκάνθας καὶ τριβόλους ἡμῖν ἡ γῆ ἀνατέλλειν κατεδικάσθη.

v. 14. Καὶ εἶπεν ὁ Θεὸς γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ εἰς φαῦσιν ὥστε φαίνειν ἐπὶ τῆς γῆς καὶ διαχωρίζειν ἀνὰ μέσον τῆς ἡμέρας καὶ ἀνὰ μέσον τῆς νυκτός· ἑστιάσεως ἔοικε ταῦτα παρασκευῇ· πρῶτον μὲν ἡ τοῦ τόπου κάθαρσις· δεύτερον δὲ ἡ τῆς εὐωχίας ποίησις· τρίτον δὲ φωτὸς ἔξαψις· εἶθ' οὕτως ἡ τῶν εὐωχουμένων εἴσοδος οἰκετῶν τε προιόντων ἀλόγων καὶ δεσποτῶν, μετὰ ταῦτα ἐπιφαινομένου τοῦ λογικοῦ· φησὶ γοῦν ὁ σωτὴρ ἐν ταῖς παραβολαῖς, δεῖπνου παρασκευαστὴν ἀνθρώποις εἶναι τὸν θεόν· καὶ τό γε ἐπ' αὐτῷ, πρὸς εὐωχίαν μακαριστὴν παρήχθημεν ἀπ' ἀρχῆς ἐν καλλίστῳ καὶ ὥσπερ ἐπιλέκτῳ τῆς Γῆς καταστάντες ἐπὶ τρυφῇ· ἧς ἐκόντες ἡμεῖς ἐκπεπτώκαμεν· δείκνυται δὲ ὅτι τάξεως ἕνεκα ὁ ἀριθμὸς τῶν ἡμερῶν τούτων παρείληπται καὶ πρὸς τὴν ἡμετέραν ἀσθένειαν, ἄλλως μὴ δυναμένων νοεῖν τῶν ἀθρόως γενομένων τὴν ποίησιν· ὡς γὰρ τὰ σώματα ἅμα τῇ ὑποστάσει καὶ χρῶμα καὶ μέγε-

θος ἔχει, καὶ οὐκ ἐν χρόνῳ διεστῶτι ἀλλήλων ὑπέστηκε χωρισμένα, τῇ δὲ ἐπινοίᾳ τὸ μὲν αὐτῶν πρότερόν ἐστι, τὸ δὲ δεύτερον, οὕτω καὶ ἐν τάξει γενόμενος ὁ κόσμος οὐ χρόνῳ ἀλλὰ τῇ ἁρμονίᾳ συντετέλεσται· οὐδὲ γὰρ τὸ μὲν γέγονε τοῦ κόσμου, τὸ δὲ λεῖπον ἐτύγχανεν· ὅθεν καὶ οἱ φωστῆρες ἐν τῇ τετάρτῃ ἡμέρᾳ γενόμενοι, διὰ τὸν περὶ αὐτοὺς λόγον ἅτε τιμίους ὄντας, ἐν ταύτῃ λέγονται γεγενῆσθαι· ἡ γὰρ τετρὰς δυνάμει οὖσα δεκὰς, τιμία ὑπάρχει· μονὰς γὰρ καὶ δυὰς καὶ τριὰς καὶ τετρὰς ἀλλήλαις συντεθεῖσαι, τὴν δεκάδα ποιοῦσι· διὰ πάσης δὲ τῆς γραφῆς ἡ δεκὰς ὑμνεῖται· καὶ γὰρ δέκα λόγους Μωϋσῆς δέδωκε, καὶ δεκάται παρέχονται. Cap. I.

Τινὲς δὲ καὶ χρονικῇ τάξει γεγονέναι πάντα φασὶ πρὸς τὴν διδασκαλίαν τῶν λογικῶν δυνάμεων, ὡς εἴρηται πρότερον· δηλοῖ δὲ τὴν ἄλλου μετ' ἄλλο γένεσιν καὶ ὁ χρόνος ἐκ τῆς πρώτης ἡμέρας εἰς ἔτι νῦν ἀριθμούμενος· ὥσπερ δὲ μετὰ τὰ φυτὰ καὶ βλαστήματα, γέγονεν ἥλιος, ἵνα μὴ τούτων αἴτιος ὑποπτεύηται, οὕτω πολλῷ μᾶλλον μετὰ τὴν τοῦ φωτὸς παρελήλυθε γένεσιν, μὴ καὶ λάθῃ χορηγὸς τούτου δοκῶν, καὶ δι' αὐτὸ προσκυνούμενος· καὶ πῶς εἰς φαῦσιν ὁ ἥλιος γίνεται, εἴ γε τοῦ φωτὸς φύσις

Cap. 1. παρήχθη; ᾧ δὲ μέν τοι τὸ ταύτης δοχεῖον, ὥσπερ ἄλλο πῦρ τε καὶ λύχνος· τοῦ γὰρ ἀΰλου φωτὸς ἐκείνου τοῦτο σῶμα γεγένηται· ἐπεὶ καὶ τὰ σύνθετα διαιρεῖται εἴς τε τὸ ὑποκείμενον καὶ τὴν ἐν τούτοις ποιότητα· ἅπαξ δὲ συντεθὲν βουλήσει θεοῦ τό τε φῶς καὶ τὸ ὑποκείμενον, ἡμῖν μέν ἐστιν ἀδιαίρετα, πλὴν λόγων, τῷ δὲ συνθέντι διαιρετὰ, ὥσπερ ἐπὶ βάτου τὴν καυστικὴν ἀφείλετο δύναμιν καταλειπὼν τὴν φωτικὴν, τῷ θαύματι τὸν Μωϋσῆν ἐπιστρέψαι βουλόμενος· τοῦτο καὶ ὁ ψαλμὸς, ἄρα φωνὴ κυρίου διατέμνοντος φλόγα πυρὸς· ἡλίου μὲν μόνον καὶ πυρὸς ἐνέργεια, φῶς· ἡμέρα δὲ ἀέρος πεφωτισμένον τοσόνδε διάστημα· δίχα δὲ τῶν οὐσιῶν τὰς ἐνεργείας οἶδε παραφέρειν θεὸς, ἐπεὶ καὶ κατὰ τὴν Αἴγυπτον ὅ τε σκότος ψυλαφητὸν ἐγένετο ἐπὶ τρεῖς ἡμέρας, πᾶσι τοῖς υἱοῖς Ἰσραὴλ φῶς ἦν· καὶ κατ' ἀρχὰς τοίνυν τὸ ἀστραπαῖον φῶς ἐκεῖνο ἡμέρας διάστημα τρισκάκις παρέτεινε.

Λόγος δέ τις ἡμᾶς ἐν ἀποῤῥήτῳ παιδεύει· καὶ ἐν τῷ μέλλοντι αἰῶνι διαιρεῖσθαι τὸ πῦρ· καὶ τὸ μὲν φῶς ἀποδιδόναι τοῖς δικαίοις, τοῖς δὲ κολαζομένοις τὸ τοῦ φωτὸς καυστικόν· καὶ ἡ σελήνη δὲ τοῦτο παρίστησι πληρωμένη καὶ λήγουσα, πὴ μὲν ἐπιβαινούσης τῆς ποιότητος, πὴ δὲ ἀφισταμένης τοῦ σώματος· καὶ ἔστιν ἐναρ-

γῶς ἰδεῖν τὸ μὲν ἀφώτιστον, τὸ δὲ πεφωτισμένον αὐτῆς· κἂν γὰρ ἐξ ἡλίου φαίης αὐτῇ τὸ φῶς ὑπάρχειν ἐπείσακτον, ἀλλ' οὖν ἀποσυμβαίνει καὶ γίνεται· ὁ δὲ ἥλιος ἅπαξ λαβὼν οὐκ ἀποτίθεται· τὸ γὰρ λέγειν ὡς τοῦ στερεώματος γεγονότος, ἅμα τὸ πρῶτον ἀπείληπτο φῶς, καὶ διὰ τοῦτο δεύτερον ἐδέησεν, οὐ πάνυ εὔλογον· οὐδὲν γὰρ τῶν σωματικῶν μετὰ τὴν πρώτην ἡμέραν, ἐκ μὴ ὄντων ἐγένετο· ἄλλως τε ὥσπερ εἶπε γεγονότος τοῦ φωτὸς, ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωῒ, ἡμέρα μία, οὕτω καὶ τὴν τοῦ στερεώματος ποίησιν πρὶν γενέσθαι τὸν ἥλιον ἐπὶ τῆς δευτέρας καὶ τρίτης ἡμέρας, δῆλον ὡς καὶ μετὰ τὸ στερέωμα, τοῦ πρωτογόνου φωτὸς τὰς ἡμέρας τὰς δύο καθάπερ καὶ τὴν πρώτην ποιήσαντος· τοῦ δὲ πρωτογόνου φωτὸς ὅσον μὲν καθαρώτατον, ἐνέθηκε τῷ ἡλίῳ, τὸ δὲ λοιπὸν σελήνῃ καὶ τοῖς ἄστροις ἐμέρισεν· οὕτω καὶ διαχωρίζειν ἐτάχθησαν ἀνὰ μέσον ἡμέρας τε καὶ νυκτὸς, ὃ πρότερον προστάξει θεοῦ τὸ φῶς ἐποίει καὶ τὸ σκότος, ὑποχωροῦντα κατὰ ὁρισθὲν μέτρον ἀλλήλοις· νῦν δὲ τοῖς μέτροις τῆς ἡμέρας ἥλιος ἐπιτέτακται· τῆς δὲ νυκτὸς ἡ σελήνη, ὅταν ποτὲ πρὸς τὸν ἴδιον κύκλον ἀπαρτισθῇ· τότε γὰρ κατάρχει τῆς νυκτὸς τῷ ἰδίῳ φωτί· πρὸς γὰρ τὸ ταύτης εἴρηται τέλειον Cap. I.

Cap. 1. τὸ πάσης ἄρχειν νυκτὸς· ὡς οὖν τὸ ὕδωρ διακεχυμένον πρῶτον κατὰ πάσης τῆς γῆς, ὕστερον εἰς συναγωγὴν μίαν συνήνεγκεν ὁ θεὸς εἰς τὰς θαλάσσας καὶ ποταμούς τε καὶ φρέατα, οὕτω καὶ τὸ φῶς διακεχυμένον ἀθρόως συναγαγὼν, ἥλιόν τε καὶ σελήνην καὶ τοὺς ἀστέρας ἐποίησεν.

Ἰστέον δὲ ὡς καὶ ἡ σελήνη τέλειον εὐθὺς ἐξ ἀρχῆς τὸ φῶς ἀπειλήφει τὸ ἴδιον, καὶ ἵστατο κατὰ δύσιν τὸν ὁρίζοντα τὸν ἀνατολικὸν ἐπέχοντος τοῦ ἡλίου· εἴ γε ὁ μὲν τῆς ἡμέρας ἄρχειν, ἡ δὲ τῆς νυκτὸς ἐπετάττετο· ἦν οὖν πανσέληνος· οὐ γὰρ ἂν εὐθὺς ἠκρωτηρίαστο· ὕστερον δὲ τὴν ἀλλοίωσιν πρὸς τὴν ἐνέργειαν λυσιτελῆ τοῖς καθ᾽ ἡμᾶς ὑπεδέχετο, εἴτε καὶ πρὸς καιρῶν καὶ χρόνου διαίρεσιν· ὁ ἥλιος οὖν ἀνέτελλεν· ὄρθρος γὰρ ἦν· ἡ δὲ πρὸς δύσιν ἐφέρετο· καὶ ἀλλήλοις ἀντικαθίσταντο· ὁ μὲν ἡμέραν ποιῶν καὶ ταύτης ἄρχων καὶ πρὸς δύσιν ἰὼν, ἡ δὲ τὸν ἀνατολικὸν περιελθοῦσα κατείληφε τόπον ὡς ἂν ἄρχοι τῆς νυκτὸς· ἀλλ᾽ εἰ ἐν ἡμέρᾳ τετάρτῃ σελήνη γεγένητο, πῶς ὑπῆρχε πληρωμένη; καὶ αἱ πρὸ τῶν φωστήρων γὰρ ἡμέραι τῷ κόσμῳ καὶ τῇ γενέσει λογίζονται· ὅτι τεταρταία οὖσα οὐκ ἂν τὸ ἄκρον ἐπεῖχε τῆς δύσεως, οὐδ᾽ ἂν ἀντικατέστη πρὸς τὴν ἀρχὴν τῆς τότε νυκτὸς, ἄρχειν ταύτης ὀφείλουσα· πλεονεκτεῖ τοίνυν ἡμέ-

ρας ἕνδεκα, τῇ τετάρτῃ ἡμέρᾳ προελθοῦσα πεντε- Cap. I.
καιδεκαταία, καὶ ταύταις ἐπλεονέκτει τὸν ἥλιον,
καί τοι σὺν αὐτῷ γενομένη· ἃς οὖν ἐπλεονέκτη-
σε, καθ' ἕκαστον ἀποδίδωσιν ἔτος· ὁ μὲν γὰρ
ταύτης μὴν εἴκοσι ἐννέα ἡμίσεός ἐστιν ἡμερῶν·
ὁ δὲ τοῦ ἡλίου τριάκοντα, τῶν λεπτοτάτων πο-
στημορίων προσλογιζομένων ἡλίου, ἐξ ὧν αἱ
πέντε προστιθένται.

Ζητητέον δὲ εἰ ἐμπεπήγασιν οὐρανῷ, ἢ κατ'
αὐτοῦ φέρονται μένοντος, ἢ τούτου κατώτερον·
ὁ μὲν γὰρ Ὅμηρος, λεγέσθω γὰρ τοῦτο πρὸς
τοὺς ἕλληνας, φησί που λέγων· ἠέλιος δ' ἀνέ-
τελλε λιπὼν περικαλλέα λίμνην οὐρανὸν ἐς πο-
λύχαλκον· καὶ πάλιν, ἐξ ἀκαλαῤῥείταο βαθυῤ-
ῥόου ὠκεανοῖο· τινὲς δὲ κατωτέρω φασὶν οὐρα-
νοῦ ἀεροπορεῖν τοὺς φωστῆρας πόῤῥω τυγχά-
νοντας· οὐκ οὖν τὸ πλέον ἄνω παρέπεμπον τοῦ
φωτὸς ὅσῳ καὶ κατωτέρω ἐτύγχανον, τὸ δὲ λοι-
πὸν κάτω· οὐκ ἔστιν οὖν ὥστε φαίνειν ἐπὶ τῆς
γῆς μᾶλλον, ἀλλὰ καὶ ἄνω εἰς τοὺς οὐρανούς·
ἐοίκασιν οὖν ἐπιβαίνειν τῆς ἐπιφανείας αὐτοῦ τὸ
φῶς ἅπαν ἐφ' ἡμᾶς παραπέμποντες· ὅθεν ἡ γρα-
φὴ, ἔθετο φησὶν αὐτὰ ὁ θεὸς ἐν τῷ στερέωμα-
τι, οὐκ ἀντὶ ἔπηξεν, ἀλλ' ὡς τὸ ἔθετο τὸν Ἀδὰμ
ὁ θεὸς ἐν τῷ παραδείσῳ· τοιγαροῦν καὶ Ἰησοῦς
ὁ τοῦ Ναυῆ, στήτω φησὶν ὁ ἥλιος, οὐχὶ ὁ κι-

Cap. 1. νῶν αὐτὸν οὐρανὸς, καὶ ἡ σελήνη, καὶ γέγονεν οὕτως· διαφέρει δὲ τὸ ἔθετο αὐτὰ ὁ θεὸς ἐν τῷ στερεώματι, τοῦ περὶ τῶν ὀρνέων λεχθέντος, ὅτι κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ ἔστω πετόμενα· ἄλλο γὰρ τὸ ἐν αὐτῷ, καὶ τὸ κατ' αὐτὸ καὶ μετέωρον.

Τινὲς δὲ διὰ τὰς ἡλιακὰς ἐκλείψεις κατωτέρω δὲ τοῦ ἡλίου τὴν σελήνην ὑπέθεντο· οἳ καὶ μὴ λέγοντες σφαῖραν εἶναι τὸν οὐρανὸν, ζητοῦσι ποῦ δύνει τὴν νύκτα καὶ φέρεται· καὶ φασὶ μὴ δύνειν ὑπὸ γῆν· τὸ δὲ δυτικὸν πέρας ἐξελθόντα τοῦ οὐρανοῦ, τρέχειν ἐπὶ βοῤῥᾶν ὥσπερ ὑπό τινα τοῖχον κρυπτόμενον· μὴ συγχωρούντων αὐτῶν τῶν ὑδάτων φανῆναι, καὶ οὕτω κύκλῳ χωρεῖν ἐπ' ἀνατολήν· τὸν ἐκκλησιαστὴν ἐπιμαρτυρούμενοι λέγοντα· ἀνατέλλει ὁ ἥλιος, καὶ δύνει ὁ ἥλιος, ἀνατέλλων πορεύεται κατὰ δύσιν καὶ κυκλοῖ πρὸς βοῤῥᾶν, κυκλοῖ κυκλῶν καὶ εἰς τὸν τόπον αὐτοῦ ἕλκει· ὅθεν ἐν χειμῶνι τὴν ἀνατολὴν ἐκ τοῦ νοτιωτέρου μέρους ποιούμενος, ὀλίγον τεμὼν διάστημα ποιεῖ μικρὰν τὴν ἡμέραν· δύνων δὲ καὶ πολὺν κύκλον τρέχων, ποιεῖ μακρὰν τὴν νύκτα· διέρχεται γὰρ δύσιν ὅλην καὶ βοῤῥᾶν ὅλον καὶ πᾶσαν ἀνατολὴν, πρὸς τὸ ἔσχατον αὐτῆς ἐπὶ νότον ἀφικέσθαι βουλόμενος· ἐκ μέσου δὲ αὐτῆς ἀνατέλ-

λων ἰσημερίαν ποιεῖ· ἐκ δὲ τοῦ βορείου μείζω Cap. 1.
τὴν ἡμέραν ἐργάζεται ἐξεναντίας ἢ ὅτε μείζω
τὴν νύκτα ἐποίει.

Καὶ ἔστωσαν εἰς σημεῖα καὶ εἰς καιροὺς καὶ v. 15.
εἰς ἡμέρας καὶ εἰς ἐνιαυτούς· ἀναγκαῖαι πρὸς τὸν ἀνθρώπινον βίον αἱ ἀπὸ τῶν φωστήρων σημειώσεις, ἐὰν μή τις πέρα τοῦ μετρίου τὰ ἀπ' αὐτῶν σημεῖα περιεργάζηται· πολλὰ μὲν γὰρ περὶ ἐπομβρίας ἐστὶ τῇ μακρᾷ πείρᾳ μαθεῖν· πολλὰ δὲ περὶ αὐχμῶν καὶ πνευμάτων κινήσεως μερικῶν ἢ καθ' ὅλου βιαίων ἢ ἀνειμένων· ἓν γάρ τι τῶν ἀφ' ἡλίου παραδεικνυμένων ὁ κύριος ἡμῖν παραδέδωκεν εἰπὼν ὅτι χειμὼν ἔσται· στυγνάζει γὰρ πυῤῥάζων ὁ οὐρανός· ἤδη δὲ καὶ τῆς τοῦ παντὸς διαλύσεως ἐν ἡλίῳ καὶ σελήνῃ καὶ ἄστροις σημεῖα φανήσεσθαι ὁ κύριος προηγόρευσεν· ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος καὶ ἡ σελήνη εἰς αἷμα καὶ τὰ ἄστρα οὐ δώσει τὸ φέγγος αὐτῶν· καιροὺς δὲ λέγει τὰς τῶν καιρῶν ἐναλλαγάς· τὸ δὲ καὶ εἰς ἡμέρας, οὐχ' ὥστε ἡμέρας ποιεῖν, ἀλλ' ὥστε κατάρχειν τῶν ἡμερῶν· ἡμέρα γὰρ καὶ νὺξ πρεσβύτεραι τῆς τῶν φωστήρων κινήσεως· καὶ ὁ ψαλμὸς γὰρ ἔθετο τὸν ἥλιον, φησὶν, εἰς ἐξουσίαν τῆς ἡμέρας, τὴν σελήνην καὶ τὰ ἄστρα εἰς ἐξουσίαν τῆς νυκτός· τὸ γὰρ φῶς ἐν ἑαυτῷ περιφέρων, ὑπερβὰς τὸν

Cap. I. καθ' ἡμᾶς ὁρίζοντα τὴν ἡμέραν παρέχει, διαλύσας τὸ σκότος· ἀλλὰ καὶ εἰς ἐνιαυτοὺς ἐτάχθησαν ἥλιος καὶ σελήνη, ἡ μὲν δωδεκάκις τὸν ἑαυτῆς ἐκτελοῦσα δρόμον, ὁ δὲ ἀπὸ τοῦ αὐτοῦ σημείου ἐπὶ τὸ αὐτὸ καταστάς· ὅτι δὲ τούτων σημεῖα, φησὶν, ἐδήλωσεν ἡ γραφὴ ἐπαναλαβοῦσα ἐν τοῖς ἑξῆς γὰρ τῶν ἄστρων τὴν χρείαν τὸ φαίνειν εἶπε μόνον καὶ τὸ ἄρχειν ἡμέρας καὶ νυκτὸς καὶ διαχωρίζειν ἀνὰ μέσον φωτὸς καὶ σκότους· τούτων ἄρα καὶ σημεῖα ἐστὶν, ἡμερῶν καὶ νυκτῶν καὶ τῶν ἐκ τούτων συγκειμένων χρόνων καὶ τῶν καιρῶν τῶν ἐν αὐτοῖς, οὓς ἑτέρα ἔκδοσις ὠνόμασε συνταγὰς, τουτέστιν ἑορτάς· ὡς καὶ ὁ τοῦ Σιρὰχ περὶ τῆς σελήνης λέγων εἰς ἀνάδειξιν ἔφη χρόνων αὐτὴν εἶναι καὶ σημεῖον ἑορτῆς· δύναται δὲ καὶ εἰς σημεῖα, ὡς ὅτε ἵσταται ἥλιος καὶ σελήνη ὡς ἐπὶ Ἰησοῦ τοῦ Ναυῆ, καὶ Ἐζεκίου ὅτε ἀναποδίζει.

Εὕροι δ' ἄν τις καί τινας τῶν ἀστέρων κατὰ καιρὸν φαινομένους καλῶν ἢ κακῶν μηνυτὰς ὡς ἐξ ὀργῆς ἢ εὐμενείας θεοῦ· ἀλλὰ ταῦτα παρέντές τινες, τὴν γενεθλιαλογίαν οἴονται διὰ τούτων σημαίνεσθαι τὴν πανταχόθεν δεικνυμένην ἀσύστατον· ἑκάστου γὰρ δωδεκατημορίου τῆς ἀπλανοῦς εἰς τριάκοντα μοίρας διαιρουμένου, δι' ὅσων ἥλιος ἡμερῶν τοῦτο διαπορεύεται, ἑκά-

στης δὲ μοίρας εἰς ἑξήκοντα λεπτὰ, καὶ τούτων Cap. 1.
ἑκάστου πάλιν εἰς ἑξήκοντα τὰ λεγόμενα λεπτεπίλεπτα, ποῦ δυνατὸν τοῦ τεχθέντος τὸν ὡροσκόπον καταλαβεῖν ἐπί τινος τῶν λεπτοτάτων ἐτύγχανεν; οὕτως ὀξυτάτης οὔσης τῆς οὐρανίας φορᾶς καὶ πλεῖστα παρατρεχούσης λεπτὰ ἐν τῷ τὸν ἀστρολόγον κἂν τύχῃ παρὼν, διὰ τοῦ ἀστρολάβου τὴν τοῦ ὡροσκόπου πῆξιν δι' ἀκριβείας ἐθέλειν εἰδέναι· εἰ δὲ τοῦτο λίαν ἀδύνατον, τοσαύτη δὲ διαφορὰ λεπτοτάτου πρὸς λεπτότατον, ὡς τὸ μὲν, εἰ τύχοι, βασιλέα ποιεῖν, τὸ δὲ προσαίτην, πῶς οὐκ ἀσύστατος ἡ τέχνη φανήσεται; πῶς δὲ οὐ τῶν ἀτοπωτάτων ἐκ τῶν παρ' ἡμῖν φαινομένων τοῖς ἐν τῷ οὐρανῷ ζωδίοις παρέχειν τῶν ἀποτελεσμάτων τὰ ἰδιώματα; κριῷ γάρ τις, φασὶν, ἔχων τὴν ὥραν, οὖλός ἐστι τυχὸν τὴν τρίχα καὶ χαρωπὸς καὶ μεγαλόφρων καὶ ἡγεμονικὸς καὶ προαιρετικὸς καὶ ποριστικός· τοιοῦτον γὰρ φασὶν ὁ κριός· ἀποτιθέμενος γὰρ ῥαδίως τὸ ἔριον, ἐκ τῆς φύσεως πάλιν ἐπαμφιέννυται· καὶ ἐπὶ τοῦ ταύρου τοιαῦτα καὶ τῶν λοιπῶν ζωδίων φασὶ, καὶ τὰς ἡμετέρας προαιρέσεις τούτοις ἀνάπτουσιν· ὡς καὶ τὴν ἡμετέραν κακίαν εἰς τὸν τὰ ἄστρα πεποιηκότα Θεὸν ἀναφέρεσθαι· καὶ δίκην ἀψύχων ἡμᾶς τῇδε κἀκεῖσε πρὸς τὰ σχήματα τῶν ἀστέ-

Cap. 1. ρων ἀμείβεσθαι· ὅτε καὶ μάτην ἔσονται νόμοι καὶ βουλαὶ καὶ παραινέσεις καὶ δικαστήρια, ἐξ ἀνάγκης πάντων ἡμῶν τὰς γνώμας κακυνομένων.

Εἰ δὲ μηδεὶς ποιητὴς τῶν ἀστέρων, αὐτομάτως δὲ γεγονότες αὐτόματον καὶ τὴν κακίαν ἐκτήσαντο καὶ ταύτης με διδόασιν, τίς ὁ τάξας καὶ τὰς πρὸς ἀλλήλους σχέσεις, καὶ δρόμους ἐναρμονίας ἀπεργασάμενος; οὐδὲν γὰρ αὐτόματον τεχνικὸν, οὐδὲ διαρκῆ τὸν κόσμον ἐν πάσῃ ἐκτήσατο· πῶς δὲ μὴ γενέσεις καθ' ἡμέραν βασιλικαὶ, τοσούτων ἐφ' ἑκάστης ἐναλλαττομένων τῶν σχημάτων; πῶς δὲ ἱερωσύναι καὶ βασιλεῖαι γεγόνασι πατρικαὶ, γενεὰς οὐκ ὀλίγας ἐκ πατέρων εἰς παῖδας παραπεμπόμεναι; πῶς πάντων ἑβραίων οἱ παῖδες τῇ ὀγδόῃ τῶν ἡμερῶν περιτέμνονται; πῶς δὲ παρ' ἰσμαηλίταις πάντες οἱ ἱερεῖς δεκαετεῖς περιτέμνονται; καὶ παρ' αἰθιό-

* Ita cod. ψιν οἵ δέ τινες περιαιροῦνται τῶν γονάτων τὰς *, καὶ τοὺς ἑτέρους τῶν μαζῶν αἱ ἀμαζόνες; οὐ γὰρ ἔνεστιν εἰπεῖν ὡς ἑνὶ ὁμοίως ὑποβάλλονται σχήματι, κἂν αἰτιάσῃ κλιματάρχην ἀστέρα ἢ ζώδιον· καὶ μεταστάντες ἑβραῖοι τῆς Ἰουδαίας καὶ πανταχοῦ διασπαρέντες τῆς γῆς, οὐδὲν ἧττον τὴν περιτομὴν ἐν τῇ ὀγδόῃ πάντες ὑφίστανται· πῶς δὲ καθ' ὑμᾶς ἐξ αἰῶνος ἀπείρου κινουμένων τῶν ἄστρων, χθές που καὶ πρώην τὸ

χριστιανῶν ἐπ' εὐσεβείας διέλαμψεν ἔθνος, καὶ τὰ πάλαι κυρωθέντα τῶν ἑλλήνων ἐσβέσθη σεβάσματα; πῶς δὲ πάντων ὑπὸ τὴν εἱμαρμένην τελούντων, τινὲς αὐτὴν ἀνατρέπουσι, τὰ μὲν ψιλῷ λόγῳ, τὰ δὲ καὶ μακροτέροις συγγράμμασιν; εἰ γὰρ αὕτη τῶν πραττομένων αἰτία, αὕτη κατάλυσιν ἰδίαν ἐργάζεται· εἰκότως ἄρα τοῖς τοιούτοις ὀνειδίζων θεὸς, στήτωσαν φησὶ, καὶ σωσάτωσάν σε οἱ ἀστρολόγοι τοῦ οὐρανοῦ οἱ ὁρῶντες τοὺς ἀστέρας, ἐπὶ σὲ ἔρχεται· ταῦτα φησὶ πρὸς τὴν θυγατέρα τῶν Χαλδαίων τῶν ταῦτα μάλιστα παρὰ πάντας ἐπισταμένων. Cap. I.

Οὕτω δὲ τῆς ἀστρολογίας ἀσυστάτου δεικνυμένης διά τε τῶν εἰρημένων καὶ μυρίων ὅσων ὧν παρελείπομεν, οὐκ οἶδ' ὅπως φιλοσοφεῖν τινες δόξαντες, ποιητικοὺς οὐκ εἶναι φασὶ, σημαντικοὺς δὲ τοὺς ἀστέρας τῆς ἑκάστου ζωῆς ὑποτίθενται· καί τοι τῆς εἰρημένης ἀνασκευῆς οὐδὲν ἧττον καὶ τὸ μὴ σημαντικοὺς εἶναι τοὺς ἀστέρας ἀπελεγχούσης· ἀλλ' ὅμως μαχόμενοι τοῖς λέγουσι τούτους ποιητικοὺς, ταῦτα φασί· πῶς τοὐδέ τινος τὸ θέμα περιέχει τίνες αὐτοῦ γεγόνασιν οἱ γονεῖς; εἰ ἐλεύθεροι, εἰ ἀγαθοὶ, εἰ ἄποροι, εἰ πλούσιοι, εἰ τούτων τἀναντία; πῶς γὰρ τὰ σχήματα τοῦ σήμερον εἰ τύχοι τεχθέντος, αἴτια ποιητικὰ τῶν ἤδη προγεγονότων;

Cap. 1. ἴσως δὲ καὶ τελευτηκότων γενήσεται; πᾶν γὰρ τὸ ποιοῦν, τοῦ πεποιημένου πρεσβύτερον· ἀλλὰ σημαίνει μὲν, φασὶν, ὅτι τοιοίδε γεγόνασιν, οὐ μὴν τοιούτους γεγονέναι παρέσχετο· πάλιν πῶς ἑνὸς τὸ θέμα μὴ μόνον γονεῖς τοιούσδε γεγονέναι ποιεῖν, ἀλλὰ καὶ παῖδας καὶ τοὺς ἀδελφοὺς καὶ φίλους καὶ οἰκέτας; ἔσται γὰρ ἕκαστος οὐκ ἐξ οἰκείου μόνου γινόμενος θέματος, ὅπερ ἐστὶν, ἀλλὰ καὶ ἐξ ἑτέρων μυρίων· εἰ δὲ τὰ μὲν περὶ παρῳχημένων σχήματα ἐροῦσιν σημαντικὰ, τὰ δὲ περὶ μελλόντων ποιητικὰ, τίς ἡ ἀποκλήρωσις; ἢ τίς τῆς τοσαύτης αἰτία μεταβολῆς τῆς τῶν ἀστέρων ἐνεργείας τὲ καὶ δυνάμεως; ἀνάγκη ἄρα σημαίνειν φασὶ καὶ τὰ μὲν εἰς γνῶσίν τινων θειοτέρων δυνάμεων, τὰ δὲ εἰς ἐνέργειαν· ὥσπερ τυχὸν παρ' ἡμῖν γέγραπται, ἡ μὲν κοσμοποιία εἰς γνῶσιν, αἱ δὲ ἐντολαὶ εἰς τὴν πρᾶξιν· ὅπως ἂν θεοῦ βουλήσει διοικῶσι τὰ καθ' ἡμᾶς· καὶ παραφέρουσιν ἐκ τῆς εὐχῆς Ἰωσὴφ τὸ, ἀνέγνων γὰρ ἐν ταῖς πλαξὶ τοῦ οὐρανοῦ ὅσα συμβήσεται ὑμῖν καὶ τοῖς υἱοῖς ὑμῶν, ὑπὸ τοῦ Ἰακὼβ λεγόμενον· τάχα δὲ φασὶ καὶ τὸ ἑλιγήσεται ὁ οὐρανὸς ὡς βιβλίον; τοὺς λόγους τοὺς ἐμπεριεχομένους σημαντικοὺς τῶν ἐσομένων, ἀπαρτισθησομένους διὰ τῆς τῶν πραγμάτων ἐκβάσεως.

Τὸν ἐπὶ τῇ τοιαύτῃ δὲ νομιζομένῃ σημασίᾳ φόβον Ἱερεμίας περιαιρῶν, τάχα δὲ καὶ δοκούσῃ ποιητικῇ τῶν δηλουμένων, φησίν· ἀπὸ τῶν σημείων τοῦ οὐρανοῦ μὴ φοβεῖσθε· ἀνθυποφέρεται πρὸς ταῦτα· εἰ προεῖδεν ὁ θεὸς, ἐξ ἀνάγκης γενήσεται τὰ δηλούμενα, ἵνα μὴ διαμάρτῃ προγνοὺς ὁ θεός· πρὸς δὲ τοῦτο ῥητέον ὡς διὰ τοῦτο τυχὸν προέγνω τὸν Ἰούδαν προδότην, ἐπειδήπερ ἤμελλε προδιδόναι ἐκ τῆς οἰκείας κινούμενος προαιρέσεως, ἥ τις ἔχουσα καὶ τὸ δύνασθαι μὴ προδιδόναι, προδέδωκεν· ὥστε οὐχ' ἡ πρόγνωσις αἰτία πράξεως, ἀλλ' ἡ πρᾶξις τῆς προγνώσεως· μὴ μοιχευέτω γάρ τις, καὶ οὐ προέγνωσται παρὰ τοῦ θεοῦ γενέσθαι μοιχός· εἰ δὲ μοιχεύσει, καί τοι μὴ μοιχεύειν εἴπερ ἠβουλήθη δυνάμενος, ὅπερ οὖν θέλων ἐμοίχευσεν, αὐτὸς παρέσχε τὴν αἰτίαν τοῦ τοιοῦτος προεγνῶσθαι παρὰ τοῦ θεοῦ, τὴν ἐνδεχομένην πρᾶξιν προλαβούσης γνώσεως ἀναγκαίας, οὐκ ἀναγκαστικῆς ἀλλ' ἀναμαρτήτου ἀκριβοῦς· τὸν γὰρ θεὸν οὐκ ἐνδέχεται ψεύδεσθαι· ἐνδέχεται δὲ περὶ τῶν ἐνδεχομένων καὶ μὴ φρονῆσαι τὸ γενέσθαι αὐτὰ καὶ τὸ μὴ γενέσθαι· οἷον εἰ ἐνδέχεται τὸν Ἰούδαν μεῖναι ἀπόστολον, ἐνδέχεται τοῦτο νοῆσαι περὶ αὐτοῦ τὸν θεὸν, ὥσπερ οὖν καὶ τοὐναντίον ὅτι προδότης· ἐνδεχομένων δὲ τῶν δύο τῷ εἰ-

Cap. I.

Cap. I. ναι ἐν αὐτῷ τὸ ἀληθὲς, ῥεψάσης πρὸς τὸ προδοῦναι τῆς προαιρέσεως, ἀληθῆ προγινώσκων ὁ θεὸς, προγνώσεται τὸν Ἰούδαν προδότην γενέσθαι· τὸ δὲ περὶ οὗ γνῶσις, ἐνεδέχετο καὶ ἑτέρως γενέσθαι, καὶ ἔγνω ὁ θεὸς ὅτι δυνάμενος μὴ ποιῆσαι, πεποίηκεν.

Οὐδὲ γὰρ προφήτης προλέγων τινὶ τοδέ τι, γέγονεν αἴτιος τῆς ἐκβάσεως, τὸ δὲ μέλλον ἐδήλωσε· καὶ ἰατρῶν δὲ παῖδες πάθη προλέγουσι μέλλοντα, οὐκ αὐτοὶ δρῶντες, οἷς καὶ κωλύειν ἐπάγγελμα· ὅθεν πολλαχοῦ τῶν γραφῶν ὁ θεὸς κελεύει τοὺς προφήτας κηρύσσειν τὴν μετάνοιαν, τὸν οὐκ εἰδότα προσποιούμενος, εἴτε πεισθήσονται μετανοεῖν εἴτε μὴ, ἵνα μὴ διὰ τῆς προγνώσεως ἐπαγγελλόμενος, τὴν αἰτίαν δόξῃ τῆς ἀπειθείας παρεσχηκέναι, ποιῶν ἀναπεσεῖν τοὺς ἀκούοντας· καὶ λέγει που τῷ Ἱερεμίᾳ, ἴσως ἀκούσονται καὶ μετανοήσουσι, τὸ ἰσοστάσιον τῶν δυναμένων γενέσθαι δεικνύς· καὶ ἀγαθὸς δέ τις ἔσεσθαι προμαθὼν, οὐχ' οὕτω προθύμως πρὸς τὴν κακίαν διαγωνίσεται, πεπεισμένος ὡς πάντως γενήσεται· ἰστέον γὰρ ὡς καὶ προγινώσκων τοὺς ἀγαθοὺς, δι' ἀγώνων τοιῶνδε καὶ πάλης καὶ τῆς καρτερίας οἶδε τοιούτους γενησομένους· εἰκότως οὖν ἡμᾶς πρὸς τὸ μέλλον ὁ θεὸς ἀπετύφλωσεν, ἵνα μή τις προ-

γνοὺς, εἶτα ῥαθυμῶν, αὐτῇ τῇ προγνώσει τοῦ Cap. 1.
Θεοῦ μάχεται, πρὸς τὴν κτῆσιν τῆς ἀρετῆς ἐκλυόμενος· κώλυμα γὰρ πρὸς τὴν ἀρετὴν συνέβαινεν εἶναι τὴν πρόγνωσιν· πολλὰ δὲ γίνεται ἐκ τῶν μὴ ἐφ' ἡμῖν αἰτία τῶν ἐφ' ἡμῖν, καὶ τῶν πρώτων ἀνῃρημένων οὐκ ἔσται τὰ δεύτερα· οἷον ἐκ τῆς τῶν τυράννων κακίας τὸ κατὰ θεὸν μαρτυρεῖν· τῶν γὰρ τυράννων μὴ γενομένων, μὴ μαρτυρῆσαί τινας εἴπερ ἠβούλοντο· εἰ δέ τις ζητεῖ τὸ ἐφ' ἡμῖν ἀπολελυμένον εἶναι τοῦ παντὸς, ὥστε μὴ διὰ τάδε τινὰ συμβεβηκότα ἡμῖν ἡμᾶς αἱρεῖσθαι τάδε, ἐπιλέλησται κόσμου μέρος ὢν, καὶ τὰ κινοῦντα τὰ ἐφ' ἡμῖν καὶ γυμνάζοντα περικόψαι βουλόμενος.

Καὶ ἐποίησε τοὺς φωστῆρας τοὺς μεγάλους· v. 16. sq.
διττὸν τὸ μέγα· τὸ μὲν, πρὸς ἑτέρου παράθεσιν ὡς ὁ μύρμηξ μέγας λέγεται τοῖς ὁμογενέσι παραβαλλόμενος· τὸ δὲ, ἀπόλυτον ὥσπερ νῦν· οὐ γὰρ ὅτι τῶν ἄλλων μείζους ἀστέρων, ἀλλ' ἐπειδὴ τοσοῦτοι τὴν περιγραφὴν, ὡς ἐξαρχεῖν τὴν ἀπ' αὐτῶν αὐγὴν τῷ οὐρανῷ, καὶ πᾶσι τοῖς οὖσι συμπαρεκτείνεσθαι, καὶ πάντα περιπολοῦσι πανταχόθεν, ἴσοι τοῖς ὁρῶσι φαινόμενοι· μέγας οὖν αὐτῶν ἑκάτερος καὶ ἀπειροπλασίων τοῦ φαινομένου· τὸ δὲ ἐγένετο ἀνταποδοτικὸν, δείκνυσιν ὅτι τοῦτο ἐποίησεν ὁ Ἰησοῦς

Cap. 1. ὅπερ ὁ πατὴρ ὑποστῆναι ἠθέλησε· καὶ γὰρ οὐκ εἰρημένου πόσοι γένωνται φωστῆρες, ἐπηνέχθη· ἐποίησεν ὁ Θεὸς τοὺς δύο φωστῆρας· οὕτως ἡ αὐτὴ βούλησις καὶ ἐνέργεια πατρὸς καὶ τοῦ υἱοῦ· τὸ δὲ ἔθετο αὐτοὺς οὐ ταυτὸν τῷ ἐποίησεν· οὐδὲ ὅτι πρῶτον γενόμενοι, ὕστερον ἐτέθησαν, ἀλλ' ὅτι ἡ ἔννοια ὑποβάλλει πρώτην εἶναι τὴν γένεσιν τῆς θέσεως· τὸ μὲν γὰρ ὑποστῆσαι, τὸ δὲ ἁρμόσαι πρὸς τὰ ἄλλα τοῦ κόσμου μέρη.

v. 20. 21. Καὶ εἶπεν ὁ Θεός· ἐξαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν κατὰ γένος· καὶ πετεινὰ πετόμενα κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ κατὰ γένος· κεκόσμηται γῆ ἀέρος καὶ ὕδατος λῆξιν, ὅπερ διὰ τῶν παρόντων σημαίνεται· νῦν δὲ πρῶτον ἔμψυχον αἰσθήσεως μετέχον ζῶον δημιουργεῖται· ζῆν μὲν γὰρ λέγεται καὶ τὰ φυτὰ διὰ τὸ μετέχειν θρεπτικῆς καὶ τοῦ ὁμοίου γεννητικῆς δυνάμεως, ἀλλ' οὐ δήπου μετέχειν αἰσθήσεως· ἑρπετὰ δὲ φησὶν, ἐπειδὴ πᾶν τὸ νηκτικὸν, ἕρπει δι' ὕδατος, ἐπισυρόμενον τούτου τῷ σώματι· ἔτι μὲν γάρ τινα ὑπόποδα καὶ διὰ τοῦτο ἀμφίβια οἷον φῶκαι κτένες κροκόδειλοι ἵπποι ποτάμιοι βάτραχοι καρκῖνοι· ἀλλ' οὖν προηγούμενον, καὶ πλέον ἔχει τὸ νηκτικόν· τοῖς δὲ ἄλλοις οὐκ ἔχουσι πνεύμονα δι' οὗ σπάσονται τὸν ἀέρα, ἡ πᾶσα ζωὴ κατὰ τοῦ ὕδατος πέφυ-

κε· βραγχία γὰρ ἔχουσι δι' ὧν τὸ ὕδωρ δέχονταί τε, καὶ παραπέμπουσι, καθάπερ ἡμεῖς τὸν ἀέρα· τοιγαροῦν καὶ χωρισθέντα τοῦ ὕδατος διαφθείρεται· καὶ τὰ πετεινὰ δὲ ἐκ τῶν ὑδάτων προέρχεται· ἐπεὶ καὶ τούτων πολλὰ μὲν τοῖς ὕδασιν ἢ τὴν πλείστην ἢ τὴν πᾶσαν ἔχει διαγωγήν· καὶ τὰ λοιπὰ δὲ, ἅτε δι' ἀέρος τὴν πορείαν ἐν μετεώρῳ ποιούμενα, ἐξ ὑδάτων προέρχεται διὰ τὴν πρὸς ἄλληλα τῶν στοιχείων συγγένειαν· ἐξυγραίνεταί τε γὰρ ὁ ἀὴρ καὶ πρὸς νέφη πυκνούμενος εἰς ὕδωρ μεθίσταται· καὶ τὸ ὕδωρ ἐξατμισθὲν ἀέρα ποιεῖ· ἄλλως τε καὶ ἐν ἀμφοτέροις ἰδίωμα· ὡς γὰρ οἱ ἰχθύες τὸ ὕδωρ τέμνουσι τῇ κινήσει τῶν πτερυγίων εἰς τὸ πρόσω χωροῦντες, τῇ δὲ τοῦ οὐραίου μεταβολῇ τὰς διαφόρους ὁρμὰς οἰακίζοντες, οὕτω καὶ ἐπὶ τῶν πτηνῶν ἐστιν ἰδεῖν διανηχομένων τὸν ἀέρα τοῖς πτεροῖς· πλὴν οὐδὲν τῶν πτηνῶν, διὰ τὸ πᾶσι τὴν δίαιταν ὑπάρχειν ἐκ γῆς. Cap. 1.

Τὰ πετεινὰ δὲ ἔφη ἐπὶ τῆς γῆς πετόμενα· ἐν γῇ γὰρ ἔχει τὴν δίαιταν· ἐξ αὐτῆς δὲ ἀνίονται καὶ εἰς αὐτὴν καθιπτάμενα· ἢ γοῦν ἐπειδὴ τὰ πλεῖστα καὶ πρὸς τροφὴν ἡμῖν δεδομένα χαμαιπετῆ ἐστι, τῶν ἄλλων ὑψιπετῶν ὄντων, ἀπὸ τοῦ πλεονάζοντος καὶ ἀναγκαιοτέρου τὸ ἐπὶ τῆς γῆς εἴρηται, τὸ δὲ κατὰ τὸ στερέωμα τοῦ οὐ-

Cap. 1. ρανοῦ, διὰ τὴν ἐν ἀέρι πῆξιν, ὃς οὐρανὸς ὀνομάζεται διὰ τὸ ὁρᾶσθαι· ἀμέλει καὶ νέφη οὐρανὸς λέγεται παρὰ τῇ γραφῇ, καὶ τὸν ὑετὸν οὐρανόθεν ἔρχεσθαι· στερεώματι δὲ φησὶ διὰ τὸ πυκνότερόν πως εἶναι συγκρίσει τοῦ αἰθερίου σώματος, καὶ μᾶλλον πεπιλημένον ταῖς κάτωθεν ἀναφοραῖς τὸν ὑπὲρ τῆς κεφαλῆς ἡμῶν ἀέρα· κατὰ γένος δὲ ἐπ' ἀμφότερον τὸ κατ' εἶδος σημαίνει· οἷον ἐν τοῖς ἐνύδροις τὰ μὲν ὀστρακόδερμα, τὰ δὲ μαλακόστρακα, ὡς κάραβοι καὶ καρκῖνοι· τὰ δὲ μαλάκια ὧν ἡ σὰρξ ἁπαλὴ, οἷον σηπίαι καὶ πολύποδες· τὰ δὲ σελάχια, ὡς οἱ κυνίσκοι καὶ πάντα τὰ γαλεώδη· ἃ δὴ καὶ ζωοτοκεῖ τῶν ἄλλων ὠοτοκούντων· ἔστι δὲ καὶ τὰ κητώδη καὶ τῶν λεπτῶν ἰχθύων ἄπειρα γένη· ὁμοίως καὶ τῶν πετεινῶν· ἔοικε δὲ τῶν ἐνύδρων ἑρπετὰ μὲν κεκληκέναι τὰ σώματα, ψυχὰς δὲ ζώσας τὰς ψυχὰς λέγειν· κἂν γὰρ ἄλογος ᾖ, ζωτικὴν δύναμιν τῷ σώματι παρέχει· ταύτας δὲ οὐκ ἐκ τῶν ὑδάτων καθὰ τὰ σώματα πεποίηκεν ὁ θεὸς, ἀλλ' ἰδίῳ θελήματι τὴν ψύχωσιν καὶ τὴν κίνησιν ἐνεποίησεν· οὐ προϋποστάντων τῶν σωμάτων καὶ οὕτω ψυχουμένων· ἑκάστου δὲ γένους τὰς ἀπαρχὰς ὥσπέρ τινα τῆς φύσεως σπέρματα προβληθῆναι κελεύει· τὸ δὲ πλῆθος αὐτῶν ἐν τῇ μετὰ ταῦτα διαδοχῇ

ταμιεύεται ὅταν αὐξάνεσθαι καὶ πληθύνεσθαι Cap. I.
δέῃ· καὶ εἰκὸς ἀπὸ παντὸς ζώων γένους δύο γεγονέναι, καθάπερ τὸν ἄνθρωπον· οὕτως δὲ συζυγίαι μόναι ἦσαν ὅτε καὶ συνήγαγεν αὐτὰ ἐνώπιον Ἀδὰμ, ἵνα ὀνόματα ἐπιθῇ τούτοις ὧν ἤμελλε δεσπόζειν· ἔστι δὲ τεκμήρασθαι καὶ ἐπὶ τοῦ κατακλυσμοῦ ὅτι δύο εἰς τὴν κιβωτὸν εἰσφέρεται κατὰ τὸ τῆς κοσμοποιΐας παράδειγμα· εἰ δὲ πλείονα εἰσήχθη τὰ καθαρὰ, αἴτιον τὸ βούλεσθαι τὸν Νῶε θῦσαι μετὰ τὴν σωτηρίαν θεῷ, καὶ τὸ βούλεσθαι τὸν θεὸν τὰ χρησιμώτερα τοῖς ἀνθρώποις πλείονα διασώζεσθαι.

Ὅτι δὲ ἡ τοῦ θεοῦ πρόσταξις ταῦτα δημιουργεῖ, ἀλλ' οὐκ ἐνόντα τοῖς ὕδασιν ἐξιέναι προστάττεται, ὡς καὶ τὸ βλαστησάτω ἡ γῆ, οὐ γὰρ ἐναπέκειτο πρότερον τὰ φυτὰ, ἐν τῇ ἀνταποδόσει δεδήλωκεν· οὐ γὰρ εἶπε, καὶ ἐξήγαγε τὰ ὕδατα, ἀλλὰ καὶ ἐποιήσεν ὁ θεὸς τὰ κήτη τὰ μεγάλα καὶ πᾶσαν ψυχὴν τῶν ζώων ἑρπετῶν, τούτων κητῶν γένους μνησθεὶς κατ' ἐξαίρετον διὰ τὸ ὑπερβάλλον μέγεθος, ὅτι ὁμοίως τοῖς μικροτάτοις καὶ ταῦτα πεποίηκεν ὁ θεὸς ψιλῷ τῷ προστάγματι, ἃ μεγέθει σώματος, καὶ ὄρεσιν ἀπεικάζεται, καὶ νήσων πολλάκις φαντασίαν ποιεῖ, ἐπειδ' ἂν πρὸς ἄκραν ἐπιφάνειαν τοῦ ὕδατος ἀνανήξηται· τοιγαροῦν οὐ περὶ ἀκτὰς

Cap. 1. διατρίβει, τὸ δὲ ἀτλαντικὸν καλούμενον πέλαγος ἐνοικεῖ· τὰ μὲν γὰρ τῶν ζώων εἰς ὑπηρεσίαν ἀνθρώπων παρήχθη, τὰ δὲ εἰς θεωρίαν τοῦ περὶ τὴν κτίσιν θαύματος· ἄλλα πρὸς φόβον παιδαγογοῦντα τῶν ἀνθρώπων τὸ ῥάθυμον, ἄλ-
v. 22. λα πρὸς τροφὴν τὴν μετὰ τὴν παράβασιν. Εὐλογοῦνται δὲ οὐ κατὰ τοὺς ἀνθρώπους πνευματικῶς, κατὰ ψυλὴν δὲ γένους διαδοχὴν, ὅπερ εἰ καὶ μὴ εἶπεν ἄντικρυς ἐπὶ τῶν φυτῶν, ἀλλ' οὖν ὑπεδήλωσεν εἰπὼν, καὶ εἶπεν ὁ θεὸς ὅτι καλόν· εἰ γὰρ καλὸν, καὶ διαμένειν ἠβούλετο· ἴσως δὲ δηλοῖ τῶν ζώων πρὸς τὰ φυτὰ τὴν προτίμησιν· ταῦτα γὰρ ἐκείνων ἕνεκα γέγονεν· ὧν εὐλογουμένων ἡ εὐλογία καὶ μέχρι τούτων διέρχεται ἃ διὰ τὴν τῶν ζώων χρείαν ὑπέστη· ἄλλως τε τὰ μὲν φυτὰ καὶ τὰ σπέρματα, τῇ τῶν γεωργούντων συνεργίᾳ κατὰ τὴν ἀποκειμένην αὐτοῖς δύναμιν ἐκ θεοῦ τὴν ἐπίδοσιν λαμβάνει, τὰ δὲ ζῶα ἐκ τῆς ἰδίας πρὸς τὴν μῖξιν ὁρμῆς· ὅθεν τὸ εὐλόγησεν αὐτὰ ὁ θεός· δείκνυ γὰρ ὡς οὐχ' ἑαυτοῖς ὁρμὴν ταύτην παρέσχετο ἀφ' ἧς ἡ τοῦ γένους ἐπίδοσις.

Καλῶς δὲ καὶ αὐξάνεσθε· ἐξ αὐτῆς γὰρ τῆς τοῦ σπέρματος καταβολῆς ἐπιδιδόντα πρὸς αὔξησιν, εἰς τελειότητα παραγίνεται, καὶ τότε πρὸς γέννησιν ἑτέρου χωρεῖ· σημαίνει τοίνυν ἡ

μὲν αὔξησις, τὴν εἰς μέγεθος ἐπίδοσιν· τὸ δὲ Cap. I.
πληθύνεσθε, τὴν ἐκ τῆς μίξεως εἰς πλῆθος διαδοχήν· πῶς δὲ ἀλόγοις προσέταξεν ὁ θεός; ἀλλὰ δῆλον ὅτι τὸ φυσικὸν κίνημα τὸ ἐνυπάρχον τοῖς ζώοις πρὸς τὴν τοῦ γένους διαδοχὴν, ὥσπερ ἐντολή τίς ἐστι τοῦ θεοῦ· οὕτως ἐν Ἰωνᾷ τῷ κήτει προσέταξεν ὁ θεὸς, καὶ σκώληκι ἑωθινῷ· πρόσταξις γὰρ αὐτοῦ λέγεται τὸ κατὰ βούλησίν τε καὶ πρόνοιαν τοιῶςδε γινόμενον· πῶς δὲ πρόσταξις ἐπ' εὐλογίας ἀκόλουθος; ὅτι καὶ ἐνεργεῖ τι τὰ ζῶα πρὸς τὸ πληθύνεσθαι, ἀλλὰ τοῦ θεοῦ δημιουργοῦντος αὐξάνει καὶ πληθύνει τὸ ἔργον, οἱονεὶ τοῦ ζώου τὴν πρόσταξιν ἐνεργοῦντος· τὸ δὲ πλήσατε τὰ ὕδατα ἐν ταῖς θαλάσσαις, ὡς ἐπ' ἀνθρώπων τὸ πληρώσατε τὴν γῆν εἴρηται, ἵνα ἐπὶ μὲν τῶν ἐνύδρων πᾶς τόπος ἔχῃ τὰ ἐννηχόμενα· ἐπὶ δὲ τοῦ ἀνθρώπου, ἵνα πᾶσα ἡ οἰκεῖσθαι δυναμένη γῆ τὸν πληροῦντα αὐτὴν ἄνθρωπον ἔχῃ· οὐδὲν παραβλαπτομένου τοῦ λόγου διά τε τὴν διακεκαυμένην καὶ τὴν κατεψυγμένην, οὖσαν ἀοίκητον· ὡς γὰρ εἰ κἀκείνων οἰκουμένων ἠβούλετό τίς ἐγκαλεῖν τὸ εἶναι διάστημα ἐρημιῶν καὶ ὀρῶν οὐκ οἰκουμένων, οὐδὲ γεωργουμένων, ἠλίθιος ἂν ἦν, οὕτως εἰ ἐπιλαμβανόμενός τις τοῦ

Cap. 1. πληρώσατε λέγοι μὴ ἠληθεῦσθαι τὴν πρόσταξιν διὰ τὰ ἀοίκητα.

v. 24. Καὶ εἶπεν ὁ Θεὸς ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν κατὰ τὸ γένος τετράποδα καὶ ἑρπετὰ καὶ θηρία κατὰ τὸ γένος· καὶ ἐγένετο οὕτως· ἔδει τὴν γῆν μετὰ τὰ φυτὰ καὶ ζώοις κοσμηθῆναι καθάπερ ἡ θάλασσα· ἀλλ' ἐκεῖ μὲν φησὶν ἑρπετὰ ψυχῶν ζωσῶν, ὧδε δὲ ψυχὴν ζῶσαν, οὐ τὴν ἐναποκειμένην πάλιν τῇ γῇ· μὴ τοσοῦτον Μανιχαῖοι μαινέσθωσαν ὥσπερ ἐπὶ γῆς βλαστούσης τῶν ὑδάτων ἐκφερόντων ἐλέγετο· οὐχ' ὅπερ οὖν ἔχει κτᾶται, τοῦ θεοῦ δωρουμένου τῆς ἐνεργείας τὴν δύναμιν· εἰ δὲ ψυχὴν ἣν εἶχεν ἐξέβαλεν, ἐρήμην ἑαυτὴν κατέλιπε τῆς ψυχῆς, καὶ πῶς αὐτὴν ἔμψυχον ὑποτίθενται; τὰ μὲν οὖν νηκτὰ ἐν τῇ παχύτητι τοῦ ὕδατος διαιτώμενα, ἀτελεστέραν πως ἔχει ζωήν· μνήμης τε γὰρ φαντασίας καὶ συνήθους ἐπιγνώσεως πέφυκεν ἔρημα· ἀμβλείας δὲ καὶ τὰς αἰσθήσεις ἐκτήσατο, ὡς τὴν σαρκικὴν ζωὴν καθηγεῖσθαι μᾶλλον τῶν ψυχικῶν κινημάτων· ὅθεν εἰκότως ἑρπετὰ ψυχῶν ζωσῶν περὶ αὐτῶν φησίν· ἐπὶ δὲ τῶν χερσαίων, ψυχὴν ζῶσαν· αἰσθήσεις τε γὰρ ὀξείας καὶ μνήμας παρελθόντων ἔχει τούτων τὰ πλεῖστα· δείκνυσιν οὖν τὰ μὲν ἔνυδρα σώματα ἐψυχωμένα, ἐπὶ δὲ τῶν χερσαίων ψυχὴν οἰκονομοῦσαν σώματα, ὡς

πλειόνος ζωτικῆς μετεχόντων δυνάμεως· εἰ γὰρ καὶ ἄλογα, ἀλλ' οὖν φωνῇ φυσικῇ καὶ χαρὰν καὶ λύπην ἐμφαίνει· καὶ τοῦ συνήθους ἐπίγνωσίν τε καὶ χωρισμὸν, καὶ τροφῆς ἔνδειαν, καὶ πόθους, καὶ πλεῖστα τοιαῦτα· τοιγαροῦν ἔγνω φησὶ βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ· οὐ μόνον δὲ φάτνην, ἀλλὰ καὶ συνήθη φωνὴν καὶ ὁδὸν ἣν ἐβάδισεν, ὡς ὁδηγεῖν πρὸς ταύτην τὸν ἐποχούμενον. Cap. I.

Ἐξάγει δὲ ψυχὴν ἡ γῆ, ἵνα μάθῃς διαφορὰς ψυχῆς κτήνους καὶ ψυχῆς ἀνθρώπου· γεώδης γὰρ ἡ τῶν ἀλόγων καὶ εἰς γῆν διαλύεται· φησὶ γὰρ ὡς παντὸς ζώου ἡ ψυχὴ τὸ αἷμα αὐτοῦ ἐστιν· αἷμα δὲ εἰς σάρκα πήγνυται· ἣ δὲ φθαρεῖσα, εἰς γῆν ἀναλύεται· συνεσπαρμέναι γάρ εἰσι τοῖς σώμασιν αὐτῶν αἱ ψυχαὶ, ὅθεν καὶ συμφθείρονται· γῆ ἄρα τῶν κτηνῶν ἡ ψυχή· κἂν παῖδες ὑθλῶσιν ἑλλήνων μετεμψυχώσεις ἡμῖν φανταζόμενοι· τούτοις δὲ παρεόικασι καὶ οἱ τὰς θείας γραφὰς σεμνοποιεῖν νομίσαντες ἐν τῷ διακένους ἀλληγορίας ἡμῖν ἀναπλάττεσθαι, τὰς ἰδίας ἐννοίας, ἀλλ' οὐ τὴν θείαν κυροῦντες γραφήν. Ἐγκαλείτω δὲ μηδεὶς τῷ θεῷ, τὰ ἰοβόλα ζῶα προφέρων καὶ φθαρτικὰ τὴν ἀπιστίαν ἡμῶν σωφρονίζοντα· εἰ γὰρ πέποιθας ἐπὶ κύριον, ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβάσῃ καὶ

Cap. 1. καταπατήσεις λέοντα καὶ δράκοντα· οἷος ὁ μέγας Παῦλος μηδὲν ἐκ τῆς δακούσης αὐτὸν ἐχίδνης παθών· ἀπιστῶν δὲ μὴ τὸ θηρίον φοβοῦ, τὴν δὲ σὴν ἀπιστίαν δι' ἣν εὐάλωτος πάσῃ τυγχάνεις φθορᾷ. Τῆς δὲ τῶν ζώων ὑπάρξεως τὸ χρήσιμον ἐρευνώμενος, εὕροι τὶς ἂν τοῦ μὲν τὸ ἥμερον συντελοῦν τοῖς ἀνθρώποις, ἐντρέπον τὸν θυμώδη καὶ ἄγριον· τοῦ δὲ τὸ ἐπιμελὲς καὶ φροντιστικὸν, διεγεῖρον τὸν ἀμελῆ· καὶ τὰ μὲν εἰς σωφροσύνην, τὰ δὲ συντελοῦντα πρὸς γονέων τιμήν· καὶ ὅλως ἐκ τοῦ ἐλάττονος τὸν κατ' εἰκόνα γενόμενον ἐν οἷς ἀμελεῖ διορθούμενον· μετὰ δὲ τὸ εἰπεῖν ἑρπετὰ καὶ θηρία καὶ κτήνη, πρὸς τὸ καθόλου τὸν λόγον ἀνήγαγεν εἰπὼν, καὶ πάντα τὰ ἑρπετὰ τῆς γῆς· οὕτω πάντα καλέσας τὰ ἐπὶ τῆς γῆς διαιτώμενα καὶ μὴ μετεωροποιεῖν κατὰ τὴν τῶν πετεινῶν φύσιν δυνάμενα· φησὶ δὲ· καὶ εἶδεν ὁ θεὸς ὅτι καλὰ, ἀλλ' οὐ καλὸν ἑνικῶς ὡς ἐπὶ τῶν φωστήρων· ὅτι εἰ καὶ πολλοὶ φωστῆρες, ἀλλ' ἑνὸς φωτὸς καὶ τῆς αὐτῆς ἅπαντες χρείας· φωτίζειν γὰρ ἐτάχθησαν· ἐπὶ δὲ τῶν ἐνύδρων τε καὶ πετεινῶν καὶ χερσαίων, ἐν ἑκάστῳ γένει πολλὰ τὰ διάφορα καὶ ποικίλην ἔχει τὴν θεωρίαν.

v. 25. Καὶ εἶπεν ὁ θεὸς, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν· εἰ καὶ τὰ

πρὸ τούτων ῥητὰ, ἐν οἷς φησιν, εἶπεν ὁ Θεὸς, μὴ πρὸς τὸν υἱὸν εἰρῆσθαι νοήσωμεν, ἀλλ' αὐτοῦ πρὸς ἑαυτὸν διαλεγομένου θεοῦ; καθὰ καὶ Ἰουδαῖοι φασὶ, λέγοντες ὡς αὐτὸς εἶπεν, αὐτὸς καὶ ἐποίησε, καί τοι τίς τεχνίτης ἑαυτῷ λέγει, ποιήσωμεν, συνεργὸν οὐδένα λαχών; ἀλλ' οὖν τὸ παρὸν πᾶν ἀποφράττει, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. Πρὶν τὰ κατὰ μέρος εἰπεῖν περὶ τῆς ἀνθρώπου ποιήσεως, ἀναγκαῖον πρῶτον διαλῦσαι τὰ τῶν τῷ δημιουργῷ μεμφομένων ἐγκλήματα, μηδὲν τῶν ἐκκλησιαστικῶν παρεξιόντας δογμάτων· φασὶ γάρ· προειδὼς ὁ θεὸς τὸν Ἀδὰμ καὶ τὸν Κάϊν καὶ καὶ τοὺς μέλλοντας γενέσθαι κακοὺς, τί τούτους ἐδημιούργησεν ἀγαθὸς ὤν; ὥσπερ ἐπιθυμῶν ἔχειν οὓς δὴ παραπέμψει γεέννῃ τε καὶ πυρί· πρὸς ὃ ῥητέον, ὡς τὸ εἶναι τοῦ μὴ εἶναι κρεῖττον· τὸ μὲν γὰρ ἕξις, τὸ δὲ στέρησις· ἀναιρετικαὶ δὲ τῶν ἕξεων αἱ στερήσεις ἀγαθῶν οὐσῶν, οὖσαι κακαί· οὐκοῦν ἀγαθώτερον τὸ ποιεῖν τὸ ὂν τοῦ μὴ ποιεῖν· ὡς γὰρ τάξις ἀταξίας κρεῖττον, καὶ ὄψις τυφλώσεως, καὶ ἀρετὴ κακίας, οὕτω τὸ ὂν τοῦ μὴ ὄντος. Cap. I.

Παρήγαγεν οὖν τὸν ἄνθρωπον ὁ Θεὸς, ὡς ἀγαθὸς τὰ ὄντα ἐκ μὴ ὄντων δημιουργῶν· πᾶν δὲ ἐκ μὴ ὄντος, τοῦ ἀεὶ ὄντος, καὶ ποίημα τοῦ

Cap. 1. ποιήσαντος, ἐν ἅπασιν ἔλαττον· ἢ οὐκ ἂν εἴη διαφορά· εἰ δὲ Θεὸς ἄτρεπτός τε καὶ ἀναλλοίωτος καὶ φύσει ὢν ἀγαθὸς, τὸ γενητὸν ἀνάγκη κατ' αὐτὸ τὸ ἐκ μὴ ὄντων εἶναι, καὶ τὸ δεῖν ἐλαττοῦσθαι τοῦ ποιητοῦ, τρεπτὸν εἶναι· καὶ φύσει μὲν μὴ ἔχειν ἐν τῇ γνώμῃ τὸ ἀγαθὸν, κατὰ δὲ μέθεξιν τὴν ἀπὸ τῆς αἱρέσεως· μέσος γὰρ ἕστηκε παρ' ἑαυτὸν ἔνθα βούλοιτο κλῖναι δυνάμενος· τὸ γὰρ θεῖον φύσει ὂν ἀγαθὸν, οὐ κατὰ μέθεξιν ἔχει τοῦτο λαβόν· μεθεκτὸν δὲ κατὰ τὴν ἀγαθότητα πάσῃ λογικὴ καθέστηκε φύσις· ἐν δὲ τῇ μεθέξει τὸ μᾶλλον καὶ ἧττον, ἐκ τοῦ ἐφ' ἡμῖν, ἐπίτασίς τε καὶ ἄνεσις, φυλακή τε τοῦ κτηθέντος, καὶ ῥαθυμούντων ἀποβολή· εἰ τοίνυν οὐκ ἔδει γενέσθαι κακοὺς, οὐδὲ τοὺς ἀγαθοὺς, οὐδὲ χωλὸν εἶναι, τὸ ἐφ' ἡμῖν, περικοπείσης τῆς θατέρου δυνάμεως· οὐσιῶδες γὰρ ἀγαθὸν, μόνον τὸ θεῖον· ὃ καὶ μόνον ἀΐδιον· εἰ δὲ ἀκίνητον ἐκεῖνο, τὸ ἡμέτερον ἀγαθὸν ἐχρῆν γενέσθαι κινούμενον· ἵνα καὶ τὸ μὲν μετέχῃ, τὸ δὲ μετέχηται· καὶ μετέχῃ, θέλον τοῦ μεθεκτοῦ τὸ μετέχον· ὅπου δὲ θέλησις μετοχῆς, καὶ τὸ μᾶλλον καὶ ἧττον ὡς εἴρηται· οὐκοῦν καὶ μὴ θέλησις· εἰ δὲ ἀναίρεσις ἦν τῆς ἐπὶ τὸ χεῖρον ῥοπῆς, καὶ τῆς ἐπὶ τὸ κρεῖττον ἐγίνετο· ῥοπὴ γὰρ κλίσις ἀπό τινος ἐστι· οὐκ-

οὖν ἀπὸ μὴ τοιοῦδε εἰς τοιόνδε· εἰ δὲ τὸ τοιόνδε ἀγαθὸν, ἔδει εἶναι καὶ τὸ ἐξ οὗ μεθίσταται, ἤγουν ὅπερ ἀφῆκεν, ἐξὸν εἰς αὐτὸ μεταστῆναι μὴ μεταστάν. Cap. I.

Εἰ δὲ ἔδει τὸν παραγόμενον τὴν μὲν, τοῦ δύνασθαι κακὸν εἶναι, δυνάμιν ἔχειν, αἱρεῖσθαι δὲ τὸ ἀγαθὸν, οὐδὲ οὕτως ὁ Θεὸς κατὰ σὲ διαφεύγῃ τὸ ἔγκλημα, τὴν δύναμιν παρασχών· εἰ γὰρ καὶ γέγονεν ἀγαθὸς, παρ' ἑαυτὸν γέγονε· δύναμιν γὰρ μόνην παρέσχεν αὐτῷ πρὸς τὸ ἀγαθὸν, ὥσπερ οὖν καὶ πρὸς τὸ κακόν· οὐκοῦν εἰ καὶ κακὸς γέγονε, παρ' ἑαυτὸν οὐ παρὰ τὸν Θεὸν τὸν ἐπ' ἀγαθῷ δεδωκότα τὴν δύναμιν· ποία δὲ καὶ κρίσις ἀγαθοῦ τοῖς μετέχουσι, μὴ ὄντος τοῦ ἐναντίου, μὴ δὲ τοῦ αἱρετοῦ καὶ φευκτοῦ δοκιμαζομένων παρ' ἄλληλα, ὡς ἂν τὸ μὲν ἑλοῖ τις, τὸ δὲ παραπέμψαιτο; ἐχρῆν οὖν ἐν ἡμῖν τούτων ὑπάρχειν ἑκάτερον, εἰ καὶ προτιμᾶται παρὰ τοῖς ῥαθυμοῦσι τὸ ἕτερον· ἔπειτά τι πρότερον; δημιουργία, ἢ γοῦν περὶ ἀρετῆς καὶ κακίας κρίσις; δῆλον ὅτι δημιουργία· εἰ δὲ πρὶν ποιῆσαι, φιλοκρινεῖ τοὺς μέλλοντας ὁ Θεὸς, τοὺς μὲν παράγων ὡς ἀγαθοὺς ἐσομένους, τοὺς δὲ κωλύων, αὐτόθεν κρίνει· τοῖς μὲν γέρας τὸ εἶναι διδοὺς, τοῖς δὲ τὸ μὴ γενέσθαι τιμώμενος· καὶ ἑαυτὸν ἐλέγχων;

Cap. 1. εἰ τοιαύτην δύναμιν ἔχοντα, παράγει τὰ λογικὰ, ἐφ' ᾗ προμεταγινώσκων τοὺς ἑτέρους τῶν μεθεξόντων αὐτῆς οὐκ ἐποίησεν· οὐκοῦν ἵνα σὺ μὴ γένῃ κακὸς, καίτοι παρὰ σαυτοῦ τὴν κακίαν κτησάμενος, τὸν Θεὸν ἀξιοῖς γενέσθαι κακὸν· ἀγαθὸν ὑπάρχον τὸ εἶναι, κατ' αὐτὸ τὸ εἶναί φημι, μὴ παρέχοντα, καὶ μὴ γενομένην τὴν κακίαν κολάζοντα, καὶ κρίνοντα πρὶν δημιουργεῖν, καὶ τὴν τάξιν συγχέοντα, κατὰ τῶν ἀνυποστάτων καὶ μήπω γενομένων ἐπάγοντα τὴν κατάγνωσιν· καὶ τὸ μέγιστον, τοὺς ἐκ τῶν κακῶν μέλλοντας ἀγαθοὺς γεννᾶσθαι προαναιροῦντα συναναιροῦντά τε στηρίζῃ, μᾶλλον δὲ προκωλύοντα καὶ κολάζοντα τοῖς κακοῖς ὁμοίως, καὶ μὴ ἔχοντα αὐτοῖς ἐγκαλεῖν ὅτι οὐ γενήσονται ἀγαθοί· ἀλλ' οὐδὲ τοὺς ἀγαθοὺς ὀφείλει προηγουμένως παραγαγεῖν, διὰ τὸ ἐκ τούτων ἔσθ' ὅτε γεννᾶσθαι κακοὺς, μᾶλλον δὲ πάντως· οὐ γάρ ἐστι διαδοχὴν μακροτέραν εὑρεῖν διὰ πάντων ἐφεξῆς γεννωμένων ἀνέγκλητον· ὥστε διὰ τὴν σὴν κρίσιν δικάζοντος τοῦ θεοῦ, τὰ τῆς δημιουργίας σεσύληται.

Ὅτι δὲ διὰ σαυτὸν ὑπάρχεις κακὸς, ἐδήλωσεν ὁ ἐκ σοῦ καὶ μετὰ σὲ γενόμενος ἀγαθός· καὶ ὅτι διὰ σαυτὸν γέγονας ἀγαθὸς, ἐδήλωσεν ὁ κακὸς γενόμενος ἐκ σοῦ μετὰ σέ· ἑκάτερος γὰρ

ἐξ ἐναντίων ὁρμώμενος, παρ' ἑαυτὸν ἔσχε τὰ ἐναντία, μὴ παρακολουθήσας ἀνάγκη γενόμενος· ἄλλον ἔδει διὰ τόδε γενέσθαι ἢ μὴ γενέσθαι διὰ θάτερον· εἰ δὲ πρὸς τὸ τέλος ἀξιοῖς ὁρᾷν τὸν θεὸν, ἄδικος· ἐναντίων ὄντων τῆς ἀρχῆς καὶ τοῦ τέλους, διὰ θάτερον κωλύων τὸ ἕτερον, ὅ ἐστι τὸ ἀγαθὸν διὰ τὸ κακόν· ἔσται γὰρ ἀναιρῶν ὡς τὸ κακὸν ἐν τέλει, οὕτω τὸ ἀγαθὸν ἐν ἀρχῇ· καὶ ἀποκληρωτικῶς δὲ τὸ πέρας πολυπραγμονήσει καταλιπὼν τὴν ἀρχὴν, κἂν μὴ πρὸς ὅμοιον τέλος ἐκβαίνῃ· ὁμοίως γὰρ αὐτῶν ἑκάτερον ἐνέργειά τε καὶ ἕξις· τοιγαροῦν ὡς δίκαιος ὁ θεὸς καὶ τὸν Ἰούδαν κέκληκε, διὰ τὴν ἀρχὴν τιμήσας τῇ κλήσει· καὶ τὸν Παῦλον διὰ τὸ τέλος· οὐδὲν γὰρ ἧττον τὸ ἀγαθὸν ἀγαθὸν, κἂν ᾖ τὸ τέλος ἀνόμοιον· καὶ τὸ κακὸν κακὸν, κἂν μὴ τέλος ὅμοιον ἐπισύρηται· τινὲς δὲ καὶ μικτὸν ἔχουσι βίον ἐξ ἀγαθῶν καὶ κακῶν, καὶ οὐκ ἐχρῆν ἀναιρεῖσθαι διὰ τὰ κακὰ τἀγαθά. Cap. 1.

Εἰ δὲ καὶ ἴσῳ μέτρῳ τύχοι ταῦτα πρὸς ἄλληλα διαιρούμενα, οἱ ταῦτα ἔχοντες οὔτ' ἀγαθοὶ κρίνοιντο ἂν εἰκότως οὔτε κακοί· τούτων ἐκείνοις ἀντιλογιζομένων καὶ μέσην ποιούντων τὴν τοιάνδε κατάστασιν· καὶ τούτους οὖν ἐχρῆν μὴ γενέσθαι κατὰ λόγον τὸν σὸν μόνους ἀξιοῦντος γενέσθαι τοὺς ἀγαθούς· καί τι μᾶλλον ἔδει

Cap. I. μὲν εἶναι διὰ τὰ κακὰ, ἤπερ εἶναι διὰ τὰ ἀγαθά; τί δ' ἂν εἴποις περὶ τῶν ἁπλουστέρων οἷς μὴ λογίζεται τὸ κακὸν, κἂν ᾖ τυχὸν μόνον, κἂν πλεονάζῃ; ἀλλ' οὐδὲ τὸ κακὸν ἁπλῶς κακὸν εἰς ὄργανον τῇ προνοίᾳ γινόμενον, γυμναζομένων τῶν ἀγαθῶν ἐν αὐτῷ καὶ δι' αὐτοῦ γιγνομένων ὅπερ εἰσιν· εἰ γὰρ ἀγαθοὶ τούτου χάριν ὅτι πρὸς τῶν κακῶν οὐκ ἐνέδωκαν γυμναζόμενοι, ἀνῃρημένου τοῦ γυμνασίου καὶ τἀγαθὸν συνανῄρηται· ὡς τῶν ἐχιδνῶν ἀναιρουμένων καὶ τὸ ἐκ τούτων βοήθημα· οὐ γὰρ δὴ τοὺς ἀνθρώπους μὴ ἀξιῶν εἶναι κακοὺς, δαίμονας ἀξιώσεις εἶναι πρὸς γυμνασίαν· εἰ γὰρ ἐχρῆν τὸν θεὸν τὸ ἔλαττον κακὸν ἐπ' ἀνθρώπων κωλῦσαι, πολὺ μᾶλλον ἐπὶ τῶν δαιμόνων τὸ μεῖζον· οὐκ ἄρα ἔσται τὸ γυμνάζον τὸ ἀγαθόν· οὐκ οὖν εἶναι ἀγαθὸν κωλυσθήσεται· ἔδει δὲ καὶ διαφορὰν εἶναι γυμνασίων πρὸς τὰς διαφόρους τῶν γυμναζομένων ἕξεις· καὶ τὴν μᾶλλον καὶ ἧττον ἐξ ἀνθρώπων, τὴν δὲ μᾶλλον καὶ ἧττον ἐκ δαιμόνων· καὶ ἡ κακία δὲ, διὰ τοῦτο κακία, ἐπειδὴ μᾶλλον ἢ ἧττον ἐπεμβαίνει τοῖς ἀγαθοῖς· ὥστε ἔνθα γυμναζόμενον ἀγαθὸν, ἐκεῖ καὶ κακόν· καὶ ἔνθα κακὸν ἐπιτεινόμενον καὶ ἀνιέμενον, πάντως καὶ ἀγαθόν· ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν.

Καὶ εἶπεν ὁ Θεὸς ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν . . . . τομάτων τῶν ἀρνουμένων τῆς θείας οὐσίας τὰς ὑποστάσεις· οὐ γὰρ γεννηθήτω φησὶν ἄνθρωπος, ἀλλὰ ποιήσωμεν ἄνθρωπον· ἀλλὰ γὰρ ἀγγέλοις λέγει, φασίν· εἶτα κοινωνοὺς ἀγγέλους τῆς δημιουργίας παρείληφε; καὶ γένος κτιστὸν ἀκτίστῳ θεῷ συγκτίζει τὸν ἄνθρωπον, καὶ δοῦλος δοῦλον ἐργάζεται; πῶς δὲ καὶ κατ' εἰκόνα ἡμετέραν φησίν; οὐ γὰρ μία Θεοῦ καὶ ἀγγέλων εἰκὼν, τῆς δὲ ἁγίας τριάδος εἰκὼν μία, θεοπρεπῶς νοουμένη ἐν ἰδιώματι τῆς θεότητος· ἐγὼ γάρ φησὶ καὶ ὁ πατὴρ ἕν ἐσμεν· καὶ ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα· οὐκοῦν υἱῷ φησὶ δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν, καὶ τῷ πνεύματι τῷ ἁγίῳ δι' οὗ ἐστερεώθησαν αἱ δυνάμεις τῶν οὐρανῶν, καὶ ᾧ τὴν οἰκουμένην πεπληρωκέναι φησίν· ἐπιφέρει δὲ· καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, οὐκ ἐποίησαν, διὰ μὲν τοῦ πρώτου τὸν ἰουδαϊσμὸν συστέλλων, διὰ δὲ τοῦ δευτέρου τὸν ἑλληνισμόν· καὶ πάλιν φησίν· ἐν εἰκόνι Θεοῦ ἐποίησε, τοῦ συνεργοῦ παρεισάγων τὸ πρόσωπον· οὐ γὰρ εἶπεν ἐν εἰκόνι ἑαυτοῦ· εἰ δὲ μία εἰκὼν τῆς θεότητος, πῶς φασί τινες ἀνόμοιον τὸν υἱὸν ἢ τὸ πνεῦμα τὸ ἅγιον; προσώπων μὲν γὰρ πλῆθος δηλοῖ, μίαν δὲ πανταχοῦ

Cap. I. v. 26.

Lacuna paginae ferme dimidiae in tribus, quos vidi, codicibus.

Cap. 1. τὴν εἰκόνα· ὁ δὲ λόγος, βουλευτηρίου σχῆμα μεμίμηται, τὴν εἰς τὸν γεγενημένον ἐμφαίνων τιμήν· οὐ γὰρ βουλῆς δεῖται ὁ Θεὸς, εἰ καὶ οὕτω λέγεται δι' ἡμᾶς· πρὸς τοῦτο γὰρ καὶ θαυμαστὸν σύμβουλον Ἡσαΐας φησὶ τὸν υἱὸν, ἐξουσιαστήν τε καὶ Θεὸν ἰσχυρόν· ὅθεν ἐπὶ μὲν τῶν ἄλλων κτισμάτων ἄνευ βουλῆς ἡ πρόσταξις ἔργον ἦν παραγόμενον, ἐπὶ δὲ τοῦ ἀνθρώπου, δι' ὃν ὁ κόσμος ὑφίστατο, δηλοῦται σχήματι τῆς βουλῆς ἡ τιμή· προτυποῦται γὰρ παρὰ τοῦ τεχνιτεύοντος διὰ τῆς τοῦ λόγου γραφῆς τὸ ἐσόμενον, καὶ οἷον εἶναι προσήκει, καὶ πρὸς ποῖον ἀρχέτυπον ἀναφέρειν τὴν ὁμοιότητα, καὶ ἐπὶ τίνι γενήσεται, καὶ τίνι ἐνεργήσει γενόμενον, καὶ τίνων ἡγεμονεύσει· ἀλλὰ πῶς τελευταῖος ὁ τιμιώτερος; ἐπειδὴ καθάπερ βασιλέως εἰσάγεσθαι μέλλοντος, ἔδει τὴν πᾶσαν προειλῆφθαι παρασκευήν· καὶ διὰ τοῦτο προέδραμεν οὐρανὸς, ἔφθασεν ἥλιος, προεισῆλθε τὸ φῶς, προὔλαβε τοὺς δαιτυμόνας τῆς ἑστιάσεως ἡ παρασκευὴ, καὶ παρελήλυθεν ἄνθρωπος, τῶν μὲν θεατὴς ἐσόμενος, τῶν δὲ κύριος, ὡς ἂν θαυμάζῃ διὰ τῶν ὁρωμένων τὸν ποιητήν.

Ἀρχῆς δὲ εἰκόνα φησὶ τῆς θείας τὸν ἄνθρωπον· καὶ τοῦτο δηλῶν, ἐπιφέρει· καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης· ἀρχὴ δὲ Θεοῦ καὶ

ἀγγέλων πῶς ἂν γένοιτο μία, ὡς ἂν φῶμεν, Cap. 1.
πρὸς τοὺς ἀγγέλους εἰρῆσθαι ποιήσωμεν τὸν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν; Εἰκότως δὲ ὁ ἀνὴρ εἰκὼν λέγεται Θεοῦ, ἡ γυνὴ δὲ οὐκέτι; ὅτι οὐ κατὰ τὴν μορφὴν, κατὰ δὲ τὴν ἐν ἀρχῇ νῦν εἰκόνα φησὶν, ἣν ἀνὴρ ἔχει μόνος ὑφ' ὃν ἐστὶ καὶ ἡ γυνή· πρὸς τὸν ἄνδρα γάρ σου φησὶν ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει· αὐτὸς δὲ οὐδ' ἑνὶ τῶν ἐπὶ γῆς ὑποτέτακται· ἀλλ' ὡς ἄρχει Θεὸς τῶν ὅλων, οὕτως ἀνὴρ ἁπάντων τῶν ἐπὶ γῆς· οὐδεὶς γὰρ αὐτοῦ κατὰ ταύτην ἀνώτερος. Τὸ δὲ καθ' ὁμοίωσιν, τὸ ἥμερον εἶναι καὶ πρᾶον καὶ εἰς δυνάμιν ἐξομοιοῦσθαι Θεῷ κατ' ἀρετῆς λόγον· γίνεσθε γὰρ φησὶν οἰκτίρμονες καθὼς καὶ ὁ πατὴρ ὑμῶν *. τῆς γοῦν εἰκόνος ταύτης τοὺς ἐκπεσόντας, ὠδίνει Παῦλος μέχρι μορφώθη Χριστὸς ἐν αὐτοῖς· ἀκρίβειαν δὲ δογμάτων καὶ ἄλλως κηρύττει τὰ ῥήματα· ἐπειδὴ γὰρ αὐτὸς ἤμελλεν ἐνανθρωπήσας τὸν ἐκπεσόντα σώζειν ἄνθρωπον ὃν ἔκτισε, διὰ τοῦτο σιωπήσας ἐν τοῖς ἄλλοις, ἐνταῦθα λέγει ποιήσωμεν· ἵνα γνῷς ὅτι δι' οὗ γέγονας, δι' αὐτοῦ καὶ ζώζῃ· ὡς περὶ ἑνὸς δὲ εἰπὼν τοῦ ἀνθρώπου, πληθυντικῶς τὸ ἀρχέτωσαν ἐπήγαγε τῇ προγνώσει.

* Cod. ἡμῶν.

Τὸν δὲ ἄνθρωπον ἐν ἀπολαύσει τῶν ἄνω καὶ

Cap. 1. κάτω παραγαγὼν, διπλᾶς αὐτῷ τῆς κατασκευῆς τὰς ἀφορμὰς καταβάλλεται, τῷ γηίνῳ τὸ θεῖον ἐγκαταμίξας, ἵνα δι' ἀμφοτέρων συγγενῶς τε καὶ οἰκείως πρὸς τὴν ἑκατέραν ἀπόλαυσιν ἔχῃ· θεοῦ μὲν, διὰ τῆς θειοτέρας φύσεως· τῶν δὲ κατὰ γῆν ἀγαθῶν, διὰ τῆς ὁμογενοῦς αἰσθήσεως ἀπολαύων· καὶ προῆλθε τῇ τε ψυχῇ βασιλικὸς, αὐτοκρατὴς ὢν τῆς ἑαυτοῦ προαιρέσεως, καὶ ὥσπερ ἀδέσποτος, καὶ τῶν ἄλλων ἁπάντων δεξάμενος τὴν ἀρχήν· ὡς εἰκόνα φέρῃ ἐν τούτῳ θεοῦ· καὶ ἔτι μᾶλλον ἐν οἷς νοῦς καὶ λόγος ἡ θειότης ἐστίν· ἐν ἀρχῇ γὰρ ἦν ὁ λόγος· καὶ νοῦν ἔχομεν Χριστοῦ, Παῦλος φησί· καὶ ἐν ἀνθρώπῳ δὲ τούτων ἑκάτερον, ἀγάπη θεὸς, ἀλλὰ καὶ πρὸς ταύτην καλούμεθα· ἐσόμεθα γάρ φησιν αὐτοῦ μαθηταὶ, ἐὰν ἀγαπῶμεν ἀλλήλους· πάντα ἐπιβλέπει τὸ θεῖον καὶ πάντα διερευνᾶται· ἡμῖν τε αἰσθήσεις καὶ ζητητικὴν παρέσχεν διάνοιαν· καὶ εἷς ὁ νοῦς ἡμῖν ὁ διὰ τῶν αἰσθητηρίων διεξιὼν καὶ τῶν ὄντων ἐπιδρασσόμενος κατὰ τὴν ἀνόμοιον ὁμοιότητα· ἐκεῖ γὰρ αὐτὸ ἓν καὶ ἁπλότης ἀληθινή· καὶ σώματι δὲ τὸ τοῦ σχήματος ἀπείληφεν ὄρθιον, καὶ πρὸς τὸν οὐρανὸν ἀνατείνεται· ἀρχικὸν καὶ τοῦτο λαχὼν τῶν ἄλλων νευόντων εἰς γῆν καὶ τὴν πρὸς τοῦτον δηλούντων ὑποταγὴν· ἔχει

δὲ καὶ χεῖρας πρὸς τὴν τοῦ λόγου συνεργοὺς Cap. I.
ὑπουργίαν.

Ἔστι δὲ τῶν ἐκ τῆς φύσεως ἀμυντηρίων καὶ τῶν σκεπασμάτων γυμνὸς, καί περ ἔχων τὴν κατὰ τῶν ἄλλων ἀρχὴν, πρῶτον μὲν ἵνα μὴ γένηται πρὸς τὴν ἀρχὴν τῶν ἄλλων ἀργότερον, μηδὲν ἐκείνων δεόμενος, ἅπερ γέγονε δι' αὐτὸν, ὅθεν καὶ τῇ γενέσει προείληφεν· ὥσπερ οὖν προὔλαβε ταῦτα τῶν ἐκ γῆς φυομένων ἡ βλάστησις, ὧν ὑπῆρχεν ἐπιδεῆ μετὰ ταῦτα ζῶα γενόμενα· ἴσως δέ τι καὶ δόγμα διὰ τούτου μήνυεται, ὡς ἐν τρισὶ διαφοραῖς ἡ ζωτική τε καὶ ψυχικὴ δύναμις ἐξετάζεται· ἡ μὲν γάρ ἐστι φυτικὴ, ἧς τὰ μετέχοντα τροφὴν ἔχει καὶ αὔξησιν καὶ τοῦ ὁμοίου τὴν γέννησιν· ταύτης δὲ μόνης μετείληχε τὰ φυτά· ἡ δὲ αἰσθητικὴ τοῖς εἰρημένοις προσλαβοῦσα τὴν αἴσθησιν· ὅπερ ἐν τῇ φύσει τῶν ἀλόγων ἐστίν· ἡ δὲ λογικὴ τελεία τις οὖσα καὶ ἄφθαρτος ἣν ἄνθρωπος ἔσχηκε· καὶ τελευταῖος εἰκότως γέγονεν ὁδῷ τινι πρὸς τὸ τέλειον προιούσης ἀκολούθως τῆς φύσεως· ὡς ἐν τρισὶ τούτοις τὸν ἄνθρωπον ἔχειν τὴν σύστασιν· καὶ μάρτυς ὁ Παῦλος ἐπευχόμενος Ἐφεσίοις τὴν ὁλοτελῆ χάριν τοῦ σώματος καὶ τῆς ψυχῆς καὶ τοῦ πνεύματος, ἀντὶ τῆς φυτικῆς τὸ σῶμα λαβὼν, τὸ δὲ αἰσθητικὸν τῇ ψυ-

Cap. 1. χῇ διασημαίνων, τὸ νοερὸν δὲ τῷ πνεύματι· ὅπερ ἔχων ἄρχει πρὸς τοῖς φαινομένοις ζώοις καὶ τῶν νοητῶν θηρίων, περὶ ὧν ὁ ἅγιος εὔχεται μὴ παραδῷς θηρίοις ψυχὴν ἐξομολογουμένην σοι· καὶ ἰχθύας δὲ καὶ πετεινὰ τροπικῶς εὑρίσκεις ὧν ὀφείλεις ἄρχειν.

v. 27. Τὸ δὲ κατ' εἰκόνα οἱ μὲν κατὰ ψυχὴν μόνην ἐδέξαντο, οἱ δὲ κατ' ἀμφότερα· προηγουμένως μὲν κατὰ ψυχὴν, κατὰ δὲ τὸ σῶμα παρεπομένως· πᾶσα γὰρ φασὶν εἰκὼν ἐξ ὕλης καὶ εἴδους· καὶ οὐδέτερον ἑτέρου χωρίς· ἀλλ' ἄμφω λέγονται ὁμοίως εἰκόνες· καὶ τὸ ξύλον εἰ τύχοι διὰ τὴν ἐν αὐτῷ γραφὴν, ἣ δὴ προηγουμένως ἐστὶν εἰκών· μᾶλλον δὲ οὐδὲ ψυχή φασὶ καθ' ἑαυτὴν εἰκὼν χωρὶς ἀρετῆς· τοῦτο γὰρ αὐτῆς τὸ θεοπρεπέστατον εἶδος, καθ' ἣν ὁ καινὸς ἄνθρωπος· ὅτι τοῦ νοὸς ἀνακαινώσει μεταμορφούμενος εἰδοποιεῖται, σύμμορφος ἀποδεικνύμενος τῷ υἱῷ τοῦ θεοῦ, καὶ τὸ οἰκεῖον ἀπολαμβάνων, τὸ πρὸς θεὸν ὁμοίωμα λέγω· οὔτε οὖν κατὰ τὸ σῶμα θεοειδὴς ἡ ψυχή· ἦν γὰρ ἂν οὕτω καὶ τὰ ἄλογα ζῶα θεοειδῆ· οὔτε κατ' αὐτὴν φασὶ τῆς ψυχῆς οὐσίαν, ἢ γὰρ ἂν καὶ οἱ φαῦλοι τῆς ψυχῆς ἕνεκα θεοειδεῖς ἦσαν· οὐ μὴν ἄνευ γε τοῦ σώματος ἡ ψυχὴ εἰκὼν εἴρηται· καὶ ὁ ἄνθρωπος ἄρσεν καὶ θῆλυ πεποιημένος, ἅπερ

εἰσι σωμάτων διαφοραὶ, αὐξάνεσθέ τε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν προσταχθεὶς· ὅπερ οὐκ ἄνευ τοῦ σώματος γίνεται· χόρτόν τε εἰς τὴν τροφὴν καὶ δένδρα καθάπερ τ' ἄλλα ζῶα λαβὼν· καὶ γὰρ εἴπερ ἡ ψυχὴ διὰ τὸν ἐπ' αὐτῇ χαρακτῆρα θεῖον εἰκών ἐστι θεοῦ, ὃς καὶ ἰδίως εἰκὼν ἁπλοῦς καὶ ἀσύνθετος ὢν, ἕπεται καὶ τὸ σῶμα διὰ τὸν ἐπ' αὐτῷ χαρακτῆρα θεοειδῆ τῆς ψυχῆς, εἰκόνα εἶναι θεοῦ· πρόσωπον γὰρ, φησὶν, ἀνδρὸς συνετοῦ σοφὸν, στολισμὸς καὶ βῆμα καὶ γέλως τὸν ἔνδον ἀποκαλύπτουσιν ἄνθρωπον· διόπερ ἀνὴρ θεοειδεστέραν ἔχων γυναικὸς τὴν ψυχὴν, μέχρι τοῦ σώματος ἔχει τὸ εἰκὼν εἶναι θεοῦ· ὡς κελεύεσθαι μὴ καλύπτεσθαι κεφαλὴν· ψυχή τε ὅλως ὁ ἄνθρωπος καὶ μετὰ τοῦ σώματος ὀνομάζεται· ἄρχεται μὲν οὖν ἐκ τοῦ κυριωτέρου ἡ εἰκὼν, πρόεισι δὲ καὶ μέχρι τοῦ καταδεεστέρου· ὅθεν ἀναγκαία μὲν ἡ τοῦ λόγου σωμάτωσις, ἀνάληψις οὖσα τῆς διαπεσούσης εἰκόνος, οὐ σωματικῶς μόνον ἀλλὰ καὶ πνευματικῶς εἰργασμένης· ἀναγκαία δὲ καὶ ἡ τῶν σωμάτων ἀνάστασις τὸν κατ' εἰκόνα θεοῦ παριστᾶσα τῷ πεποιηκότι. Cap. I.

Τοῦ δὲ ἀποστόλου διαστέλλοντος, ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλὴν, εἰκὼν καὶ δόξα θεοῦ ὑπάρχων· ἡ δὲ γυνὴ

Cap. 1. δόξα ἀνδρός ἐστιν, ἀδιάσταλτον εἶναι δόξῃ τὸ Μωϋσέως περὶ ἀμφοῖν λέγοντος, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτὸν, ἄῤῥεν καὶ θῆλυ ἐποίησεν αὐτούς· ἀλλ' ἀπέδωκε τὸν λόγον ὁ Παῦλος, καθ' ὃν ἀνῆγε τὴν γυναῖκα Μωϋσῆς εἰς τὸν ἄνδρα, ὡς περὶ ἑνὸς εἰπὼν ἀμφοτέρων τὸ κατὰ τὴν εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν· εἰ γὰρ ἐκ τοῦ ἀνδρὸς ἡ γυνὴ, εἰκότως εἰς τὴν αὐτῆς ἀναφέρεται ῥίζαν, ὑποβεβηκυῖα μὲν κατὰ τὸν τῆς εἰκόνος λόγον διὰ τὸν ὁρισμὸν καὶ τὴν τοῦ ἀξιώματος διαφορὰν, ἔχουσα δὲ αὐτὸν διὰ τὸ ἐκεῖθεν εἰλῆφθαι· ὅθεν κεφαλὴν αὐτῆς εἶπε τὸν ἄνδρα· καὶ τὴν διαφορὰν ἐκ τούτων σώσας ἐν τῷ κεφαλὴν εἶναι τοῦ ἀνδρὸς τὸν Χριστὸν καὶ μὴ τῆς γυναικὸς, ἐπήγαγε· τὰ δὲ πάντα ἐκ τοῦ Θεοῦ, μίξας τὰ διῃρημένα τῇ τάξει, καθ' ὃ τὴν ἐκ Θεοῦ προσῆψεν ὕπαρξιν ἀμφοτέροις· ὥστε εἰ ποτὲ μὲν ὡς περὶ ἑνὸς φησὶν ἄνθρωπον, ποτὲ δὲ αὐτοὺς, ἀπόδειξις αὕτη τοῦ ὁμοούσιον εἶναι τὴν γυναῖκα τῷ ἀνδρὶ ὑπὸ ἓν εἶδος αὐτῷ ταττομένη· εἰ δὲ τοῦτο, καὶ ἡ γυνὴ διὰ τοῦ ἀνδρὸς κατ' εἰκόνα Θεοῦ ἐστί· τῶν γὰρ αὐτῶν δεκτικοὶ ἀμφότεροι, μιμήσεώς τε τῆς πρὸς τὸν Θεὸν καὶ τῆς τοῦ ἁγίου πνεύματος μετουσίας καὶ τῆς ἀναλήψεως τῶν ἀρετῶν· πρὸς ἣν εἰκόνα καὶ Παῦλος προτρέπεται, ἵνα γένησθε κατ' εἰκόνα τοῦ

κτίσαντος, καί τοι ἤδη ὄντας κατὰ λόγον τῆς Cap. 1.
οὐσιώσεως· πᾶς γὰρ ἄνθρωπος ᾗ μὲν δημιούργημα τοῦ θεοῦ ἐστὶ, δεκτικὸς τοῦ λόγου τυγχάνων κατ' εἰκόνα ὑπάρχει, χωρητικὸς ὢν τῆς εἰκόνος, καὶ ἐπιτηδείως ἔχων πρὸς μετουσίαν αὐτῆς· εἰ δὲ κατ' ἐνέργειαν τοῦτο προσλάβοι, ὥσπερ ὁ ἐξ ἀρχῆς δημιουργηθεὶς ἄνθρωπος, ἔχει ἐν ἑαυτῷ ἤδη ἐνεργοῦν τὸ κατ' εἰκόνα.

Τινὲς δὲ μεμψάμενοι τοὺς φάσκοντας τὸ καθ' εἰκόνα, πὴ μὲν κατὰ τὸ ἀρχικὸν, πὴ δὲ κατὰ τὸ λογικὸν, πὴ δὲ κατὰ τὸ νοηρὸν, φασὶν ὡς δέον ἦν αὐτοὺς συνιδεῖν ὅτι εἰκὼν θεοῦ μόνος ἄνθρωπος λέγεται γεγενῆσθαι· εἰ δὲ τοῦτο, πρόδηλον ὡς ἰδίαν τινὰ τῆς προσηγορίας προσῆκεν εἶναι τὴν αἰτίαν· νῦν δὲ καὶ αἱ ἀόρατοι δυνάμεις νοεραί τε καὶ λογικαί· καὶ τὸ ἀρχικὸν δὲ πρόσεστιν οὐδὲν ἧττον αὐταῖς· εἴτε γὰρ θρόνοι, φησὶν, εἴτε κυριότητες, εἴτε ἀρχαὶ, εἴτε ἐξουσίαι· καὶ πάλιν· ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις· ὅθεν καὶ τὰς ἐναντίας οὕτω καλεῖ δυνάμεις ὡς ἂν ἐξ ἐκείνων ἐκπεπτωκυίας τῶν ταγμάτων· λέγων, οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας· οὕτω καὶ ἀρχάγγελοι καλοῦνται· καὶ Μιχαὴλ, φησὶν, ὁ ἄρχων ὑμῶν· καὶ ὁ ἄρχων Περσίδος ἀντέστη μοι· καὶ οἱ φω-

Cap. 1. στῆρες δὲ ἄρχουσιν εἰς ἀρχὰς ὄντες τῆς ἡμέρας καὶ εἰς ἀρχὰς τῆς νυκτὸς· πῶς οὖν οἷόν τε, φασὶ, κατά τι τούτων εἰκόνα λέγεσθαι τὸν ἄνθρωπον, ὧν δὴ μέτεστι πολλοῖς τῶν γεγονότων, μόνος δὲ λέγεται κατ' εἰκόνα γεγενῆσθαι θεοῦ; ποιήσας τοίνυν, φασὶν, ὁ θεὸς νοητά τε καὶ αἰσθητὰ, τὴν πᾶσαν δημιουργίαν ἐν τῷ ἀνθρώπῳ συνέδησεν ἑκατέρας μετέχοντι τῆς φύσεως, ὡς ἂν μὴ δὲ διαφόρων δημιουργῶν αἱ διάφοροι δημιουργίαι νομίζοιντο· τὰ διεστῶτα τοίνυν ἐν τούτῳ συναγαγὼν, οἰκεῖα πάντα πρὸς τοῦτον πεποίηκε· καρπῶν μὲν γὰρ ἡ σύστασις, ἐκ τῶν δ̄ στοιχείων καὶ τῶν ἐν οὐρανῷ γεγένηται, ἡ δὲ τούτων ἀπόλαυσις ἀνθρώποις ἀναγκαία· βραχείας μοίρας τοῖς ἀλόγοις ἀπονεμομένης, πρὸς ὑπηρεσίαν τεταγμένοις, τῶν ἀνθρώπων· ἐξανατέλλων γὰρ φησὶ χόρτον τοῖς κτήνεσι καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων· δεικνὺς ὅτι κἀκεῖνα τρέφεται δι' ἡμᾶς· καὶ τὰ λειτουργικὰ δὲ πνεύματα εἰς τὴν διακονίαν ἀποστέλλεσθαι Παῦλος φησὶ, διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν.

Πάσῃ τοίνυν τῇ κτίσει φιλίας ἐνέχυρον ἀῤῥαγὲς ἐδημιούργει τὸν ἄνθρωπον, διπλοῦν αὐτὸν ἐργασάμενος, ἵνα μὴ τῇ χρείᾳ μόνον ἐπ' αὐτὸν ἡ κτίσις συνάπτηται, ἀλλὰ γὰρ καὶ τῇ

τῆς φύσεως οἰκειότητι· ἤτε οὖν τῶν ὁρωμένων Cap. I.
ἐργασία χρησίμη λίαν αὐτῷ, αἵτε ἀόρατοι δυνάμεος οὐ τὰ τυχόντα πρὸς ὠφέλειαν εἰσφέρουσιν, ἅμα μὲν διὰ τὴν συγγένειαν, ἅμα δὲ τῆς τούτου θεραπείας εἰς τὸν θεὸν τεινούσης· ἐντεῦθεν αὐτὸν κατ' εἰκόνα ἔφη ποιεῖν οἰκεῖαν, ἐπειδὴ τάξιν τινὰ εἰκόνος παρείχετο τοῖς ὅλοις· ὥσπερ γὰρ οἱ κατὰ πόλεις ἀπόντος τοῦ βασιλέως τὴν εἰκόνα θεραπεύουσι τὴν ἐκείνου, οὕτω δὴ καὶ ὁ θεὸς ἀόρατος ὢν πάσῃ τῇ κτίσει, ἐν εἰκόνος τάξει τέθεικεν αὐτῇ τὸν ἄνθρωπον· ὡς ἂν ἐν τῇ τούτου θεραπείᾳ τιμῶσι τὸ θεῖον ἀόρατον ὑπάρχον αὐτοῖς· ταῦτα δὲ διὰ τὴν ἁμαρτίαν σεσαλευμένα, θεὸς διὰ τῆς κατὰ τὸν δεσπότην Χριστὸν οἰκονομίας ἀνέῤῥωσε, μᾶλλον δὲ καὶ πρὸς τὸ κρεῖττον ἀνήγαγε, κατὰ πάσης τῆς κτίσεως ὑπεροχὴν ἡμῖν παρασχόμενος· τὴν γὰρ ἡμετέραν φύσιν ἑνώσας ἑαυτῷ, καὶ νόμιμον πολιτείαν καὶ θάνατον, εἰς ἀθάνατον μὲν καὶ ἄτρεπτον μετέστησε φύσιν· καὶ παρὰ πάσης φασὶ προσκυνεῖται τῆς κτίσεως εἰκὼν ὥσπερ ὑπάρχουσα τῆς ἡνωμένης θεότητος· δι' ἧς ἀόρατον οὖσαν τὴν θείαν οὐσίαν φαντάζονται σὺν ἡμῖν ἀκτισθέντες εἰς τὴν ἀτρεπτότητα διὰ τῆς ἀναστάσεως· νῦν γὰρ εἰσὶ τρεπταὶ ὡς αἱ τῶν δαιμόνων μυριάδες σημαίνουσι· καὶ μάρτυρα παρά-

Cap. 1. γουσι Παῦλον λέγοντα ὅτι ἐν αὐτῷ ἐκτίσθη πάντα τά τε ἐν οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς· ἀντὶ τοῦ ἀνεκτίσθη· εἰκόνα τε τοῦ Θεοῦ τοῦ ἀοράτου φησὶν αὐτὸν, ὡς ἂν δεικνύντα τῇ κτίσει τὸ θεῖον πρωτότοκόν τε πάσης κτίσεως ὡς πρῶτον διὰ τῆς ἀναστάσεως εἰς τὴν καινὴν ἀποτεχθὲν κτίσιν.

Κάλλιστα δὲ τῷ κατ' εἰκόνα ἡμετέραν καὶ τὸ καθ' ὁμοίωσιν ἐπισυνῆφθαι φασί· δεῖ γὰρ τὴν εἰκόνα μίμησίν τινα φέρειν οὗπέρ ἐστιν εἰκὼν, κἂν πλεῖστον ἀπέχῃ κἀνταῦθα τὴν ἀνόμοιον ὁμοιότητα· κτίζει Θεὸς, κτίζει καὶ ἄνθρωπος· ὁ μὲν φύσει τὴν ἐπιστήμην ἔχων, ὁ δὲ χρόνῳ λαβών· ὁ μὲν παράγων οὐσίας, ὁ δὲ τὰς ὕλας κοσμῶν δι' ὧνπερ κόπτει τούτων τὰ πλείονα· γεννᾷ Θεὸς, γεννᾷ καὶ ἄνθρωπος· ὁ μὲν ἀχρόνως ἀΰλως ἀπαθῶς ἀμερίστως, ὁ δὲ πᾶν τοὐναντίον· ἀντιλαμβανόμεθα τῶν αἰσθητῶν κατὰ πάθος καὶ μεριστῶς, κἄν τι μάθωμεν· χρόνῳ τε καὶ παρ' ἑτέρων εἰς τὸ μαθεῖν τελειούμεθα· θεὸς δὲ ἀμερῆ τε καὶ ἀθρόαν καὶ συναΐδιον τὴν πάντων γνῶσιν ἐκτήσατο· ἀνιστᾷ Θεὸς τοὺς νεκροὺς ἀπορρήτῳ δυνάμει τε καὶ ῥιπῇ, ἀνιστώμεν καὶ ἡμεῖς τῇ τροφῇ κατὰ μικρὸν τὰ σώματα δαπανώμενα· καὶ θνήσκοντας τοὺς καρποὺς τῇ καταβολῇ τῇ εἰς γῆν δι' ἐπιμελείας ἀνιστῆ-

ναι παρασκευάζομεν, [ἃ] εἰκόνα φέρει τῆς ἀναστάσεως· ἐὰν γὰρ μὴ ὁ κόκκος, φησὶ, τοῦ σίτου ἐπὶ τὴν γῆν πεσὼν ἀποθάνῃ· οἷς παραπλήσια καὶ Παῦλος φησὶν ἐν τῇ πρὸς Κορινθίους· ἀπερίγραφος ὁ Θεὸς, πανταχοῦ ὢν καὶ ἀμερίστως πᾶσι παρὼν, τούτων ἀκαταλύπτων ὄντων, αἴνιγμά τι βραχὺ κατὰ τὸν ἡμέτερον παρέσχετο νοῦν· ᾧ περ ἐν ἡμῖν καθεστῶτι, τῶν ἐν οὐρανῷ λαμβάνομεν ἔννοιαν· καὶ τῶν ἀπανταχοῦ ἀλλαχόθεν ἀλλαχοῦ μεθιστάμενοι ταῖς ἐννοίαις, δέδωκεν ἡμῖν ὡς ἐν εἰκόνι καὶ βασιλείας ἀρχὴν, καὶ κρίσεως ἐξουσίαν, καὶ τὸ θεοὺς διὰ τοῦτο προσαγορεύεσθαι· θεοὺς γὰρ φησὶν οὐ κακολογήσεις· καὶ τοὺς ἄρχοντας τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς· οὕτω λέγων περὶ τὸν τοῦ ἄρχειν τε καὶ κρίνειν ἐν τῷ νόμῳ τὴν ἐξουσίαν ἐχόντων· ἔτι δέδωκεν αὐτῷ κἀκείνων ὡς ἐν ἰκόνει τὴν μίμησιν. Cap. I.

Δύο μὲν γὰρ ταύτας δυνάμεις ἐνυποστάτους ἀχωρίστους ἔχει ἐξ ἑαυτοῦ τε οὔσας καὶ ἐν αὐτῷ τυγχανούσας, τόν τε υἱὸν τὸν μονογενῆ καὶ τὸ πνεῦμα τὸ ἅγιον· ὧν ἑκάτερα κατ' ἰδιάζοντα λόγον ἐστὶν ἐξ αὐτοῦ, κἂν εἰ τῆς αὐτῆς οὐσίας ὑπάρχοιεν, ἅτε ἐκ μιᾶς καὶ τῆς αὐτῆς ὑπάρχουσαι οὐσίας· ἵνα δὲ μὴ μέλλοιμεν ὡς περὶ ἀδυνάτου τινὸς ἀπορεῖν, τῇ ψυχῇ τῇ ἡμετέρᾳ

Cap. 1. δύο παρέσχε δυνάμεις ἐξ αὐτῆς τε οὔσας καὶ ἐν αὐτῇ τυγχανούσας ἀχωρίστους τε αὐτῆς, καὶ ἀλλήλων οὔσας, τόν τε λόγον καθ' ὃν τὸ λογικὸν αὐτῆς συμπληροῦται, καὶ τὴν ζωτικὴν δύναμιν καθ' ἣν ἔμφυτόν τε καὶ ἀναφαίρετον ἔχει τὴν ἐνοῦσαν ζωὴν καὶ μεταδίδωσι ταύτης τῷ σώματι· προσάγειν γοῦν ἡμᾶς ἡ θεία γραφὴ τούτων ἐθέλουσα γνώσει, ἐκ τῶν ἐν ἡμῖν τὰς προσηγορίας παρέσχετο ἐν ἀρχῇ ἦν ὁ λόγος· ἵν' ἐκ τοῦ κατὰ τὴν ἡμετέραν ψυχὴν ἐμφύτου λόγου ὡσανεὶ δι' εἰκόνος τῇ περὶ τοῦ υἱοῦ προσαγοίμεθα γνώσει· τὸ δὲ πνεῦμα ἴδιον τοῦ θεοῦ, ὡς ὁ μακάριος λέγει Παῦλος· τίς γὰρ οἶδεν, ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ὂν ἐν αὐτῷ; οὕτως καὶ τὰ τοῦ θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τὸ ἐκ τοῦ θεοῦ ἐνάγων ἡμᾶς ἐκ τῶν παρ' ἡμῖν τῆς ἐκ θεοῦ ὑπάρξεως τοῦ θείου πνεύματος τὴν γνῶσιν λαβεῖν· τούτου δὲ καὶ ἐπὶ τῆς πρώτης δημιουργίας δέδωκεν ἡμῖν εἰκόνα· τὸ μὲν υἱὸν ἀκούειν θεοῦ ἐκ τῆς αὐτῆς ὄντα οὐσίας οὐ πανύ τι ξένον ἡμῖν ἐκ τῶν παρ' ἡμῖν κατεφαίνετο.

Ὁ δὲ τοῦ πνεύματος λόγος πᾶσιν ἄπιστος ἐδόκει, ὅτι δὴ ἐκ τῆς οὐσίας τοῦ θεοῦ ἐστὶν, υἱὸς οὐχ' ὑπάρχον· ὅθεν ὁμοίως τῷ ἄῤῥενι τὸ θῆλυ διαπλάσαι δυνάμενος, τοῦτο μὲν οὐ ποιεῖ

ὥσπερ ἐπὶ τῶν ἄλλων ζώων ὁμοῦ τὴν γένεσιν ἀμφοτέρων παραγαγών· ἀλλ' οὐδεχοῦν λαβὼν ὥσπερ ἐποίησε τὸν Ἀδὰμ, ἀλλὰ πλευρὰν ἐκ τοῦ ἄῤῥενος ἀφελὼν· καὶ ἐδημιούργησε τὸ θῆλυ οὔτε ἐκείνῳ λείποντος τοῦ ἀφαιρεθέντος, καὶ ταύτης τελείας οὔσης· ὡς καὶ μίαν ἀμφοτέρους εἶναι τὴν σάρκα· ἅ τε μιᾶς ὄντας οὐσίας καὶ ἑνός τινος ἐξ ἀμφοῖν γεννᾶσθαι μέλλοντος καὶ φίλτρῳ φυσικῷ διὰ τοῦτο συνδεθέντες· ὥστε οὐκ εἴ τι ὁμοούσιον υἱὸς, εἴ τι δὲ υἱὸς ὁμοούσιον· ἔτι κρίνει θεός τε καὶ ἄνθρωπος, εὐεργετεῖ τε ἑκάτερος, ἀγαπᾷ, χρηστεύεται, μακροθυμεῖ κύριος, ἐλεεῖ κύριος, ἐλεεῖ καὶ ἄνθρωπος· ἕκαστον δὲ τούτων μόριον τῆς εἰκόνος ἐστί· καὶ τὸ ὅσιος εἶναι τούτων ἄνθρωπος ἐκπίπτων καὶ τὴν εἰκόνα καταχωννὺς ἀκούει· καὶ καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, οὕτως φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου· ὁ δὲ γίνεσθε τέλειοι ὡς ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τέλειός ἐστι κατορθώσας, εἰκὼν γίνεται κατὰ πάντα τοῦ θεοῦ τοῦ ἀοράτου· τινὲς δὲ φασὶ τὸν μὲν υἱὸν τοῦ πατρὸς εἰκόνα εἶναι, ἡμᾶς δὲ κατ' εἰκόνα, δι' αὐτοῦ τῷ πατρὶ ὁμοιουμένους· τῆς δὲ εἰκόνος φασὶν ἐκπεσόντας ἡμᾶς, ὁ θεὸς βουλόμενος ταύτην πάλιν ἀναλαβεῖν, ἐπεὶ μὴ δυνατὸν ἦν ἀθρόως τούτου τυχεῖν, ὥσπερ ζωγράφος προετύπωσε

Cap. I. σκιᾷ γραφήσας αὐτὴν ἐν ἡμῖν διὰ τῆς τοῦ νόμου λατρείας· σκιὰν γὰρ φησὶν ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν· ἔτι δὲ πάλιν νοῆσαι ἐν μὲν τῷ σώματι ἡμῶν τὸ κατὰ τὴν σκιάν· σκιὰ γὰρ ὁ βίος ἡμῶν ἐπὶ τῆς γῆς· ἐν δὲ τῇ ψυχῇ τὸ κατ' εἰκόνα· ἐν δὲ τῷ πνεύματι τὸ καθ' ὁμοίωσιν· καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ ἐποίησεν, φησὶν, ὁ θεὸς τὸν ἄνθρωπον κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν.

Τέλος ἔχει ἡ τοῦ κατ' εἰκόνα γεγενημένου κτίσις· εἶτα ἐπανάληψιν ποιεῖται τοῦ κατὰ τὴν κατασκευὴν λόγου· καὶ φησὶν· ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτοὺς, ὅπερ ἔξω τοῦ πρωτοτύπου νοεῖται· ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε ἄῤῥεν οὔτε θῆλύ ἐστιν· οὐκοῦν διπλῆ τις φύσις ἥ τε πρὸς τὸν Θεὸν ὡμοιωμένη ἣν καὶ προέταξε· καὶ ἡ καθ' ἣν ἄῤῥεν καὶ θῆλυ γίνεται· ὅπερ ἀλλότριον τῶν περὶ Θεὸν νοουμένων ἐστί· δύο γὰρ ἀκροτήτων μέσον ἐστὶ τὸ ἀνθρώπινον τῆς τε θείας καὶ ἀσωμάτου φύσεως, καὶ τῆς ἀλόγου καὶ κτηνώδους ζωῆς, ὧν ἀμφοτέρων μετέχων, κατὰ μὲν τὸ λογικόν τε καὶ νοερὸν τὴν πρὸς ἄῤῥεν καὶ θῆλυ διαφορὰν ἀγνοεῖ· κατὰ δὲ τὴν σωματικὴν τοῦ ἀλόγου κατασκευὴν ταύτην προσίεται· καὶ προτερεύοντος ἐκείνου, τοῦτο ἐπὶ γενηματικὸν ἐπισυμβέβηκεν τῷ ἀνθρώπῳ ἡ πρὸς τὸ ἄλογον κοι-

νωνία τε καὶ συγγένεια· ἀγαθὸς γὰρ ὢν ὁ θεὸς Cap. I.
καὶ δι' ἀγαθότητα παραγαγὼν ἐκ τοῦ μὴ εἶναι τὸν ἄνθρωπον, προσέτι καὶ ἀνενδεᾶ τῶν ἀγαθῶν ἀπειργάσατο, ἑαυτοῦ ποιήσας εἰκόνα, ὃς ἀγαθῶν ἐστὶ τὸ πλήρωμα· ἓν δὲ τῶν ἀγαθῶν καὶ τὸ ἐλεύθερον ἀνάγκης εἶναι κατὰ τὰς αὐτεξουσίους ὁρμάς· ἀλλ' ἄκτιστον μὲν τὸ θεῖον· κτιστὸν δὲ πέφυκεν ἄνθρωπος· τὸ δὲ κτιστὸν ἀδύνατον ἀναλλοίωτον εἶναι· αὐτὴ γὰρ ἡ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι πάροδος, κίνησίς τίς ἐστι καὶ ἀλλοίωσις· ὅθεν ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν, εἰδὼς ὅτι συγγενῶς πρὸς τὴν τοιαύτην ἔχει τροπὴν, ἐπιτεχνᾶται τῇ εἰκόνι τὴν κατὰ τὸ ἄῤῥεν καὶ θῆλυ διαφορὰν ἥ τις τῇ ἀλογωτέρᾳ προσῳκείωται φύσει· εἰπὼν δὲ ὁ λόγος, ὅτι ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, τῷ ἀορίστῳ τῆς σημασίας ἅπαν ἐνδείκνυται τὸ ἀνθρώπινον· οὐ γὰρ συνωνομάσθη τῷ κτίσματι νῦν Ἀδάμ· ἀλλ' ὄνομα τῷ κτισθέντι ἀνθρώπῳ, οὐχ' ὁ τίς ἀλλ' ὁ καθόλου ἐστί· τῇ γὰρ θείᾳ προγνώσει τε καὶ δυνάμει πᾶσα ἡ ἀνθρωπότης ἐν τῇ πρώτῃ κατασκευῇ παρείληπται· οὐδὲν γὰρ ἀόριστον ἐν θεῷ, πᾶν δὲ γινόμενον τῇ τοῦ πεποιηκότος περιμετρεῖται σοφίᾳ· οὐ γὰρ ἐν μέρει τῆς φύσεως ἡ εἰκὼν· διὰ τοῦτο πᾶς ἄνθρωπος κατωνομάσθη τὸ πᾶν· ὅτι τῇ δυνάμει τοῦ θεοῦ οὔτέ τι παρ-

Cap. I. ῴχηκεν, οὔτε μέλλει, πᾶν δὲ πάρεστι τῇ περιεκτικῇ τοῦ παντὸς ἐνεργείᾳ· τὸ δὲ ἄῤῥεν καὶ θῆλυ προσκατεσκευάσθη τελευταῖον τῷ πλάσματι· πρῶτον γὰρ εἶδεν οὗ ἐν τῇ χειρὶ τὰ πέρατα τῆς γῆς ἐκπεριλαβὼν τῇ γνώσει ὅσον κατ' ἀριθμὸν ἐν τοῖς καθ' ἕκαστόν ἐστι τὸ ἀνθρώπινον.

Ὁ δὲ Ἀδὰμ οὔπω γεγένητο, ὃ πλάσμα γήϊνον ἑβραίων οἶδε φωνή· καὶ ὁ ἀπόστολος, διὰ τοῦτο χοϊκὸν ὀνομάζει τὸν ἐκ τῆς γῆς· διπλοῦν δὲ τὸ κατ' εἰκόνα θεοῦ γίνεσθαι· τὸ μέν τι τοῦ θεοῦ δημιουργοῦντος, τὸ δὲ ποιούσης τῆς προαιρέσεως· ὃ δηλοῦται διὰ τοῦ ἵνα γένησθε κατ' εἰκόνα τοῦ κτίσαντος· διὰ δὲ τοῦ παρόντος ῥητοῦ τὸ τῆς δημιουργίας σημαίνεται· ἀμφότερα δὲ ἐπὶ τοῦ πρώτου συνέδραμεν ἀνθρώπου, τελείου γεγενημένου, ὡς καὶ τὰ λοιπὰ πάντα δημιουργήματα· εἶτα προγνοὺς ἡμῶν τῆς φύσεως τὸ ὀλισθηρὸν, δοὺς ἡμῖν τὴν πρὸς τὸ ἄλογον κοινωνίαν ἄῤῥεν καὶ θῆλυ πεποίηκε· καθ' ὃ καὶ τὸ αὐξάνεσθε καὶ πληθύνεσθε· ὅπερ οὐκ εἶπεν ἐν τῇ τοῦ κατ' εἰκόνα κατασκευῇ· ἢ γὰρ ἂν οὐκ ἐδεήθημεν τοιαύτης γεννήσεως· διὰ τοῦτο καὶ τὸν σύμμετρον τῇ κατασκευῇ τῶν ἀνθρώπων χρόνον προκατενόησεν· ὥστε τῇ παρόδῳ τῶν προορισθεισῶν ψυχῶν συναπαρτισθῆναι τὴν τοῦ χρόνου παράτασιν· καὶ οὕτω τὴν τοῦ παντὸς ἀνα-

στοιχείωσιν Γενέσθαι· καὶ τῇ μεταβολῇ τοῦ χρόνου συναμειφθῆναι καὶ τὸ ἀνθρώπινον ἀπὸ τοῦ φθαρτοῦ καὶ γεώδους ἐπὶ τὸ ἀπαθὲς καὶ ἀΐδιον· τὸ δὲ παρὸν ῥητὸν ἐπεξήγησίς ἐστι τοῦ ποιήσωμεν ἄνθρωπον, ᾗ καὶ ἐπὶ τῶν ἄλλων ἐχρήσατο, δεικνῦσα τοῦ ἀνθρώπου τὸ καταίξερετον τῆς ποιήσεως, τὸ κατ' εἰκόνα γεγενῆσθαι φημι· καὶ ἡ τῶν ἄλλων γὰρ ἐπεξήγησις, τὸ κατεξαίρετον ἑκάστου παρίστησιν. Cap. 1.

Εἶτα, φασί τινες, πρὸς δήλωσιν ἀκριβεστέραν προσέθηκε τὸ, καὶ ἄῤῥεν καὶ θῆλυ ἐποίησεν αὐτούς· ὅπερ ἐν τῇ τοῦ θεοῦ φωνῇ κοινῶς ἐνοεῖτο λέγοντος ποιήσωμεν ἄνθρωπον, οἷον δή τι καὶ ἐπὶ τῶν φωστήρων πεποίηκεν· εἰρηκὼς γὰρ κατὰ κοινοῦ, γενηθήτωσαν φωστῆρες, ἐν τῇ ἐπεξηγήσει φησὶ, καὶ ἐποίησεν ὁ θεὸς τοὺς δύο φωστῆρας, καὶ τὰ ἑξῆς· διδάσκων τί μὲν τὸ εἰς ἀρχὰς γεγονὸς τῆς ἡμέρας, τί δὲ τὸ εἰς ἀρχὰς τῆς νυκτός· ἐπὶ δὲ τῶν ἀλόγων οὐκ εἶπεν ἄῤῥεν καὶ θῆλυ· κατὰ ταυτὸν γὰρ ἐξῆλθεν ἑκάτερον γένος, τῶν μὲν ἐξ ὑδάτων, τῶν δὲ ἐκ γῆς· ὧδε μέν τοι διῃρημένως, καὶ οὐ κατὰ τὸν ὅμοιον γεγονὸς τρόπον· δεικνὺς ὅτι κἂν ὁ τρόπος τῆς ποιήσεως διήλλαξεν, ἀλλὰ μία τις ἀμφοῖν ἡ οὐσία· καὶ ἔπλασεν ὁ θεὸς τὸν ἄνθρωπον χοῦν ἀπὸ τῆς γῆς, καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον

Cap. 1. αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν· οὐσία τοῦ ἀνθρώπου κατὰ μὲν τὸ ἐντὸς, εἰκὼν τοῦ θεοῦ· κατὰ δὲ τὸ ἐκτὸς, χοῦς ἀπὸ τῆς γῆς· εἷς δὲ καὶ ὁ αὐτὸς τῇ συνθέσει· καὶ γὰρ τὸ κατ' εἰκόνα θεοῦ τὸ ἄρσεν καὶ θῆλυ καὶ ἐκ γῆς τροφαὶ προσκειμέναι, τὸ σωματικὸν προσμαρτυροῦσι· καὶ τῷ ἐκ τῆς γῆς πλάττεσθαι λεγομένῳ πνοὴ ζωῆς ἐκ θεοῦ ψυχοῦσθαι προσβεβαιοῖ· τὸ γὰρ μεταδιδόμενον ἐκ θεοῦ, πρὸς ὁμοίωσιν ἄγει τοῦ μεταδιδόντος, ὡς οἱ παρὰ Χριστοῦ δεξάμενοι τοῦ ἁγίου πνεύματος τὴν ἐμφύσησιν εἰκόνα φοροῦσιν αὐτοῦ· ἀλλ' ὕστερον μὲν ἐπεὶ ψιλωθῆναι συνέβη τοῦ πνεύματος τὴν ψυχὴν, τὸ πνεῦμα εἰς τὴν ψυχὴν ἐμφυσᾶται· ἐξ ἀρχῆς δὲ τὸ ζωτικὸν ἅμα τῷ θείῳ συνεισῄει πνεύματι, ἵνα κατ' εἰκόνα θεοῦ τὸ ποίημα, ὡς ἓν ἑκάτερον δεξάμενον· τὸ γὰρ νοερὸν ἡμῶν ἀδύνατον χωρὶς τοῦ θείου πνεύματος εἰκόνα εἶναι θεοῦ· εἰ γάρ τις, φησὶ, πνεῦμα θεοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ· πρὸς τῷ ζωτικῷ τοίνυν ἐξ ἀρχῆς καὶ τὸ ἅγιον προσείληφεν ἡ ψυχὴ, ἐπεὶ καὶ προφητικὴ παραχρῆμα δείκνυται καὶ σύνεστι θεῷ· τὸ δὲ εἰς ψυχὴν ζῶσαν ταυτὸν τῷ ψυχὴ ζῶσα· ὥσπερ τὸ ἐγενήθη μοι εἰς γυναῖκα· ἡ δὲ ἔμπνευσις, μετάδοσις ἐκ τῆς οὐσίας τοῦ ἐμπνέοντος, οὐκ ἀποτομή τις οὐδὲ

γέννησις ἀπ' αὐτῆς· ἄνευ γὰρ τοῦ διαιρεῖσθαι καὶ τοῦ προβάλλειν ἐναπομάττεταί τινα ποιότητα τῷ μεταλαμβάνοντι τὸ μεταδιδόν. Cap. I.

Καὶ τοῦτό ἐστιν ὁ ἁγιασμὸς, ὡς ὁ σωτὴρ ἐνεφύσησεν ἅγιον πνεῦμα· δείκνυται δὲ ἡ ἐξ ἀρχῆς διὰ τοῦ λόγου δημιουργία εἰς τὴν ἀνακαίνωσιν ἀγομένη, οὐχ' ἑτέρως ἢ διὰ τῆς νῦν τοῦ σωτῆρος ἐμφυσήσεως, ὃς καὶ σωματικῶς ἐνήργησε τὸν τῆς σωματικῆς ἐμφυσήσεως τύπον· λόγος τε ὢν, καὶ πνεῦμα ἔχων ἀχώριστον, καὶ μόνος ἀποκαταστῆσαι τὸ ἐξ ἀρχῆς ἀγαθὸν ἀνθρώπῳ δυνάμενος, θεὸς δὲ καὶ τὸν ἀπὸ γῆς ἐξοικειούμενος χοῦν, χερσὶ πλάττειν αὐτὸν λέγεται· χεῖρες δὲ θεοῦ ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον· κατὰ γὰρ τὸν Ἰὼβ, σὺ λαβὼν ἐκ τῆς γῆς πηλὸν ἔπλασας ζῶον καὶ λαλητὸν αὐτὸν ἔθου· φυσήματι δὲ αὐτὸν δοξάζει· τοῦτο δέ ἐστι φασὶ τοῦ ἁγίου πνεύματος ἡ ὑπόστασις, ζωήν τε χαριζομένη καὶ τὸν ἁγιασμόν· ὥστε οὐ τὸ ἐμφύσημα ψυχὴ ἀλλ' ἀθανάτου ψυχῆς ποιητικόν· θεῖον γὰρ πνεῦμα ἐκ μὴ ὄντων ἐπορίσατο τὴν οὐσίαν αὐτῆς, ἁγίαν τῇ μετουσίᾳ πεποιηκός· πνεῦμα γὰρ θεῖον τὸ ποιῆσαν με φησί· πνοὴ δὲ παντοκράτορος ἡ διδάσκουσά με· καὶ ἐξαποστελεῖς τὸ πνεῦμα σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς· πρόσωπον δὲ γῆς

Cap. 1. λέγει οὐκ ἄλλου ἢ τοῦ Ἀδάμ· μετὰ γοῦν τὴν παράβασιν καὶ τὸ ἐξουθενωθῆναι ἡμῶν τὴν εἰκόνα ἀπὸ πόλεως τοῦ κυρίου, τὸ πρόσωπον τῶν μαυρωθεισῶν ψυχῶν ἀνακτώμενος ὁ σωτὴρ, εἰς τὸ τῶν μαθητῶν πρόσωπον ἐνεφύσησεν· οὐ ψυχὴν λέγων λάβετε· εἶχον γάρ· ἀλλὰ πνεῦμα τὸ ἅγιον· προὔλεγε γὰρ λόγιον· βοηθήσει αὐτῇ ὁ θεὸς τῷ προσώπῳ τῷ ἀντὶ θείου ἐμφυσήματος πληρωθέντι ἀτιμίας· σχεδόν τι λέγων, κτήσασθε διὰ τῆς ἐμῆς ὑπακοῆς ὃ διὰ τῆς ὑμετέρας παρακοῆς ἀπολέσατε· εἰ τοίνυν τὸ στόμα τοῦ θεοῦ πατρὸς πηγή ἐστι τοῦ πνεύματος τοῦ τοὺς οὐρανοὺς δυναμοῦντος, οὐκ ἄπιστον ὅτι περ τὸ ἐμφύσημα τοῦ θεοῦ λόγου ἐν τῷ Ἀδὰμ τὴν ψυχὴν ἐδημιούργησε· στόμα γὰρ πνεύματος ὁ υἱός· ἐπεὶ καὶ σοφία, αὐτὸς γάρ μοι, φησὶν, ὁ σωτὴρ ἔδωκέ τι εἴπω καί τι λαλήσω.

Τὸ πνεῦμα τοίνυν δημιουργῆσαν τὴν ψυχὴν, ἀΰλῳ σχέσει τοῦ ἐμφυσήματος ἀνακουφίζεσθαι ποιεῖ πρὸς τὸν οὗ ἐστιν ἐμφύσημα, καὶ ἀναβάσεις ἐν τῇ καρδίᾳ ποιεῖν, ταῖς ἀρεταῖς ὥσπερ κρηπῖσι χρησάμενον· ὥσπερ γὰρ τῆς ἡλιακῆς ἀκτῖνος πολλῷ πόῤῥω ὄντες τοῦ ἡλίου συναπτόμεθα, καὶ σύνεσμεν ἡλίῳ τῶν ἄκρων συναπτομένων διὰ τῆς μεσολαβούσης ἀκτῖνος, οὕτω διὰ τοῦ ἐμφυσήματος ὁ θεὸς τὸν ἄνθρωπον εἰς ἑαυ-

τὸν ἐπεσπάσατο, τῆς ἀχράντου φύσεως ὥσπερ Cap. 1.
ἀκτῖνα χαλάσας εἰς τὸ πρόσωπον τῷ Ἀδὰμ,
τοῦ ἀτρέπτου ἐμφυσήματος τὴν ὑπόστασιν, ὡς
ἂν δύναιτο γεννητὸν ἀγεννήτῳ συνάπτεσθαι, τοῦ
Θεοῦ μακρὰν καὶ ἐγγὺς ἐπινοουμένου διὰ πολλὴν
φιλανθρωπίαν· εἰς δὲ πρόσωπον ἐμφυσᾷ,
ἔνθα ἡ τῶν αἰσθήσεων ξυνωρὶς καθάπερ ἐν πύργῳ
τὴν οἴκησιν ἔλαχεν· εἰπὼν δὲ τὸ ἐποίησεν ὁ
Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν
αὐτὸν, οὐκ ἔτι προσήθηκε, τὸ καθ' ὁμοίωσιν·
ὁ γὰρ νῦν προσελθὼν τῇ Θεοσεβείᾳ, τυποῦται
μὲν κατὰ τὴν εἰκόνα τοῦ Θεοῦ, ὕστερον δὲ διὰ
προκοπῆς τῆς ἐπὶ τὴν τελειότητα, καθ' ὁμοίωσιν
γίνεται Θεοῦ· ὅπερ παριστὰς ὁ μακάριος
Ἰωάννης φησὶν· ἀγαπητοὶ νῦν τεκνία Θεοῦ ἐσμὲν·
καὶ οὔπω ἐφανερώθη τί ἐσόμεθα· οἴδαμεν δὲ ὅτι
ἐὰν φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα· ἤδη γὰρ
κατ' εἰκόνα ὄντες, ἐλπίζουσι καὶ καθ' ὁμοίωσιν
γίνεσθαι· σημειωτέον δὲ φασὶν ὅτι ἕνα φησὶν
ἄνθρωπον καὶ οὐ τρεῖς, χοϊκὸν καὶ ψυχικὸν
καὶ πνευματικὸν, ὥς τινες ὑπενόησαν.

Καὶ εὐλόγησεν αὐτοὺς ὁ Θεὸς, λέγων· αὐ- v. 28.
ξάνεσθε, καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν
Γῆν, καὶ κατακυριεύσατε αὐτῆς· καὶ ἄρχετε τῶν
ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ
οὐρανοῦ, καὶ πάντων τῶν κτηνῶν, καὶ πάσης

Cap. 1. τῆς γῆς, καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς· κατὰ τὴν τάξιν τῆς δημιουργίας ἡ τάξις τῆς δεσποτείας· πρῶτον γὰρ ἰχθύες καὶ πετεινὰ, εἶτα τετράποδα καὶ τὰ λοιπὰ· καὶ οἱ τρεῖς δὲ παῖδες εὐλογοῦντες ἐν τῇ καμίνῳ, τὴν τάξιν φυλάττουσιν· εὐλογεῖτε πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ· εὐλογεῖτε κήτη καὶ πάντα τὰ κινούμενα ἐν τοῖς ὕδασιν· εὐλογεῖτε τὰ θηρία καὶ τὰ κτήνη· εὐλογεῖτε υἱοὶ τῶν ἀνθρώπων. Ἀναγκαῖον δὲ πρὸς σημείωσιν ὅτι τῶν μὲν πετεινῶν καὶ τῶν νηκτῶν εἰρηκὼς τὴν ποίησιν, ἐπήγαγε· καὶ εὐλόγησεν αὐτὰ ὁ Θεός· τῶν δὲ ἑρπετῶν τε καὶ τετραπόδων θηρίων τε καὶ κτηνῶν τὴν ποίησιν ἐπὶ τῆς ἕκτης εἰρηκὼς ἡμέρας, οὐκ ἔτι ἐπήγαγε τὸ καὶ εὐλόγησεν αὐτὰ ὁ θεός· καί τοι γε δῆλον ὅτι τῇ τοῦ Θεοῦ βουλήσει κατὰ τὸ γένος ἐπιδίδωσιν ὁμοίως τοῖς ἄλλοις· ἐπειδὴ τοίνυν ἐν ἡμέρᾳ πεποίηκεν αὐτὰ ἐν ᾗ καὶ τὸν ἄνθρωπον, ὡς ἀναγκαῖα λίαν αὐτῷ, τὴν ἀνθρώπου ποιήσιν ἐπισυνάψας τῇ τούτων, καὶ ταῦτα τῇ ἐκείνου συνείληφεν εὐλογίᾳ κατὰ τὴν αὐτὴν ἡμέραν γενόμενα.

Ὁ δὲ τοῦ μὴ εὐλογῆσθαι τὰ [χερσαῖα] τοιαύτην αἰτίαν ἀπέδωκεν, ὅτι σώματα μὲν τῶν ἐν τοῖς ἐνύδροις ψυχῶν καὶ τῶν κτηνῶν ἐξαγαγεῖν κελεύει ὁ θεὸς τὰ ὕδατα· ἐπὶ δὲ τῶν χερσαίων

οὐ τὰ σώματα ἀλλὰ ψυχάς· δοκεῖ γὰρ ἁρμόζειν τοῖς σώμασι τὸ αὐξάνεσθε καὶ πληθύνεσθε· οὐκ ἂν ἐπὶ τῶν ψυχῶν τῶν ἀλόγων ζώων, τῷ μὴ ψυχὴν ἀπὸ τῆς ψυχῆς γίνεσθαι, καλῶς τούτου λεχθησομένου· ἐπὶ δὲ τοῦ ἀνθρώπου τὸ αὐξάνεσθε καὶ πληθύνεσθε οὐ μόνον ἐπὶ τοῦ σώματός ἐστι λαβεῖν, ἀλλὰ καὶ ἐπὶ ψυχῆς λογικῆς, μεγεθυνομένης μὲν τῷ λόγῳ καὶ τῇ ἕξει τῇ νοερᾷ, πληθυνομένης δὲ ἀριθμῷ θεωρημάτων καὶ ἀληθείας δογμάτων· κατὰ τοῦτο εὐλογημένα ἔκγονα τῆς κοιλίας τῶν τηρούντων τὰς ἐντολὰς τοῦ κυρίου· ὅπερ οὐκ ἀληθὲς ἐπὶ τῶν σωματικῶν τέκνων, ἁμαρτολῶν ἐκ δικαίων γεννωμένων, καὶ τοὐναντίον· καὶ τὸ οἱ υἱοί σου ὡς νεόφυτα ἐλαιῶν, ἐπιφερομένου καὶ ἰδοὺ οὕτως εὐλογηθήσεται ὁ φοβούμενος τὸν κύριον κατ' εἰκόνα πλήρης τὴν ἐν αὐτῷ γῆν ἀγαθὴν ποιοῦσαν ἑκατονταπλασίονα· καὶ ἀγρὸν ὃν εὐλογεῖ κύριος. Διὰ τί δὲ φασί τινες ἐν τῷ ἀρχέτωσαν, παρέλιπε τὰ κήτη καὶ τὰ θηρία; ἐπεὶ φασὶ μὴ δὲ πάντα τὰ ζῶα διὰ τὸν ἄνθρωπον γέγονεν, ἀλλὰ ταῦτα ὧν ἄρχειν λέγεται· καὶ τὰ ἑρπετὰ γὰρ φασὶν ἀναγκαῖα διὰ τὰς ἐξ αὐτῶν φαρμακώδεις χρείας· τὸ δὲ τῶν ὄφεων γένος οὐκ ἐν ἑρπετοῖς τάττεται κατὰ συνήθειαν γραφικὴν, ἀλλ' ἐν θηρίοις· φρονιμώτατος γὰρ πάντων λέ- Cap. I.

Cap. 1. γεται τῶν θηρίων· καὶ οἱ δὲ βάρβαροι ἰδόντες κρεμάμενον τὸ θηρίον, περὶ τῆς δακούσης τὸν Παῦλον ἐχίδνης· ἐν δὲ τῷ λευϊτικῷ ταῦτα φησὶ φάγεσθε ἀπὸ τῶν ἑρπετῶν καὶ τὰ ἑξῆς· οὐκ ἄρα ἄρχει ἄνθρωπος οὔτε κητῶν τῶν μεγάλων, οὔτε τῶν θηρίων τῆς γῆς, τῶν δὲ ἄλλων ὧν ἐνταῦθά τε φησὶ· καὶ ἐν τῷ η ψαλμῷ, ἀνακοινοῦται δέ πως αὐτοῖς τὴν εὐλογίαν αὐξάνεσθε, ὥστε μὴ δὲ αὐτοὺς ἀγνοεῖν ὅτι ηὐλόγηνται.

v. 29. sq. Ἰδοὺ δέδωκα ὑμῖν πάντα χόρτον· τουτέστιν οὐ μόνον τῶν ζώων ἀπέφηνα κυρίους, ἀλλὰ καὶ πάντων τῶν ἐν φυτοῖς τε καὶ σπέρμασι· φασὶ δὲ τὰ μὲν γεωργίας δεόμενα τοῖς ἀνθρώποις· περιττὸς οὖν ὁ " καὶ „ ἐν τῷ καὶ πάντα χόρτον χλωρὸν εἰς βρῶσιν· οὕτω γὰρ ἐκδεδωκέναι καὶ Σύμμαχον, χωρὶς τοῦ " καὶ „ ὥστε ἀπὸ ἄλλης ἀρχῆς ἀναγνωστέον τὸ καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς πρὸς τὰ ἑξῆς· ζητήσωμεν δὲ περὶ τῶν θηρίων καὶ τῶν πετεινῶν καὶ τῶν ἑρπετῶν, τίνος ἕνεκεν πολλῶν ἐν τοῖς γένεσι τούτοις σαρκοβόρων τυγχανόντων, πᾶσι φησὶν ὁ λόγος δοῦναι τὸν χόρτον; μή ποτε οὖν ἐν τῇ ἀρχῇ τῆς κοσμοποιΐας ὥσπερ τῷ ἀνθρώπῳ οὐδὲν ἐδέδοτο πλὴν τῶν ἀπὸ γεωργίας; ὕστερον γάρ ποτε ἀκούει ὁ Νῶε τὸ ὡς λάχανα χόρτου δέδωκα ὑμῖν πάντα· πάντα δὲ τὰ ζῶα· οὕτω

καὶ ἐπὶ τῶν ἀλόγων ἡ ἀρχὴ οὐ περιεῖχε σαρκοφαγίαν, ἀλλ' ὕστερόν ποτε κἀκείνοις ἐπηκολούθησε· πῶς γὰρ ἂν ἐστράφη κατὰ τὴν ἀρχὴν οἷον τὸ τῶν γυπῶν γένος; οὐ γὰρ εἰκὸς ἅμα τῷ γενέσθαι τὰ ζῶα τεθνηκέναι τινὰ ὡς ἂν ἀπ' αὐτῶν τράφοιντο· ἀλλ' οὐδὲ ἄτροφα μένειν αὐτά. Καὶ ἰδοὺ καλὰ λίαν· οὐ πρόσκειται τὸ λίαν ἐν τοῖς κατὰ μέρος ἐπαίνοις· ἐφ' ἅπασι γὰρ ἀναγκαῖον ζῶον ποιήσας τὸν ἄνθρωπον, ὡς οὐδενὸς ἔτι λείποντος, τοῦτο φησὶ παριστῶν τῆς δημιουργίας τὸ τέλειον· τοιγαροῦν ἐπάγει. Cap. I. v. 31.

ΚΕΦ. Β.

Καὶ συντελέσθησαν ὁ οὐρανὸς καὶ ἡ γῆ· οὐρανὸν λέγων τὸν πρῶτον, καὶ διὰ τῶν ἄκρων τὰ μέσα περιλαβὼν, κόσμον αὐτῶν λέγων ὃν ἐφεξῆς διηγήσατο· πολλαχοῦ δὲ φασὶν ἐν τοῖς κατὰ μέρος προσκεῖσθαι τὸ καὶ εἶδεν ὅτι καλὸν, πλὴν τῆς δευτέρας ἡμέρας, τοῦτο γὰρ μὴ ἔχειν ἐπὶ αὐτῆς τὸ ἑβραϊκόν· οὔπω γὰρ φασὶν ἐκεκόσμητο οὔτε τὸ στερέωμα οὔτε ἡ ξηρά· πάντα δὲ μετὰ πάντων πεπληρωμένα καλὰ λίαν· καὶ τὸ καθ' ἑαυτὸ γὰρ οὐ καλὸν, μετὰ τοῦ παντός ἐστι καλόν· ἐπεὶ καὶ ὁ διάβολος καὶ οἱ δαίμονες μὴ ὄντες καλοὶ διὰ τὴν ὑπόστασιν, οὐ Cap. II. v. 1.

Cap. 2. τὴν τυχοῦσαν χρείαν παρέχονται τῷ παντί· ὅθεν καὶ ὁ τοῦ Σιρὰχ μὴ προσκόπτειν ἡμᾶς τοῖς κατὰ μέρος βουλόμενος, φησὶ, μὴ εἴπῃς τί τοῦτο; εἰς τί τοῦτο; πάντα γὰρ ἐν καιρῷ αὐτῶν ζητηθήσεται.

v. 2. Καὶ συνετέλεσεν ὁ θεὸς ἐν τῇ ἡμέρᾳ ἕκτῃ τὰ ἔργα αὐτοῦ· περὶ τῶν ἓξ ἡμερῶν φασὶ πάλιν τινὲς, ὡς οὐ χρονικῆς παρατάσεως ἕνεκα παρελήφθησαν ἀλλ' οἰκείου λόγου τῆς τοῦ θεοῦ δημιουργίας καὶ τῆς τοῦ ἀριθμοῦ δυνάμεως· πρῶτος γὰρ ὁ ἓξ τέλειός ἐστι· τελείους δὲ τοὺς ἐκ τῶν ἑαυτῶν μερῶν ἀπαρτιζομένους φασί· μόνοι δὲ τυγχάνουσι τέσσαρες· πρῶτος οὖν ἐστὶν ὁ ἕξ· οὗ τὸ ἥμυσι τρία· τὸ δὲ τρίτον δύο· τὸ δὲ ἕκτον ἕν· ὧν συντεθέντων, ὁ ἓξ ἀποτελεῖται· ὁμοίως καὶ ὁ κη, οὗ τὸ ἥμυσι ιδ, τὸ τέταρτον ζ, τὸ ἕβδομον δ, τὸ τεσσαρεσκαιδέκατον δύο, τὸ εἰκοστὸν ὄγδοον α· ὧν ἡ σύνθεσις ποιεῖ τὸν κη· οἱ δὲ παρὰ τοὺς τελείους ἀριθμοὺς συντιθέμενοι, ἢ λείπουσιν ἢ ὑπερβάλλουσι· καὶ καλοῦσιν ἀτελεῖς μὲν τοὺς λείποντας, ὑπερτελεῖς δὲ τοὺς πλεονάζοντας· ἔδει οὖν τὸν κόσμον τέλειον ὄντα ἐν τῷ πρώτῳ τελείῳ γενέσθαι τῶν ἀριθμῶν· τοῦτο δὲ καὶ Μωϋσέα δηλοῦν λέγοντα δι' ὧν ἀκεφαλαιοῦται τὸ πᾶν· αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ καὶ γῆς ὅτε ἐγένετο, ᾗ ἡμέρᾳ

ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· ὅλως Cap. 2.
γὰρ οὔτε ἐν ἡμέρᾳ γέγονεν ὁ οὐρανὸς καὶ ἡ γῆ,
ἀλλ' ἐν ἀρχῇ· οὔτε τὰ πάντα ἐν μιᾷ ἡμέρᾳ· ἀλλὰ δῆλον ὡς ἅμα τῶν πάντων γεγενημένων, τάξεως ἕνεκα καὶ ἁρμονίας ὁ ἀριθμὸς οὗτος παρείληπται· τὸ δὲ συνετελέσθη ὁτὲ μὲν τὴν φθορὰν σημαίνει, ὁτὲ δὲ τὴν συμπλήρωσιν· ἐνταῦθα οὖν ἀντὶ τοῦ ἐπληρώθη· ἐμφαίνει δὲ τὸ ῥητὸν ὡς περὶ μόνων ὧν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγε τὴν συμπλήρωσιν φησίν· εἰσὶ γὰρ ἔργα καὶ ἃ μὴ δέπω γέγονε, προαναπεφώνητο δὲ ὡς ἐσόμενα· οἷον ἀνάστασις τῶν νεκρῶν, καὶ ὅλως τὰ κατὰ τὴν πρόνοιαν ἔσεσθαι μέλλοντα, ἅπερ τῇ οἰκείᾳ ἀκολουθίᾳ παρὰ θεοῦ γίνεται· καλῶς οὖν ἡ προσθήκη ὧν ἐποίησεν ἔργων πρόσκειται· τινὲς δὲ ἔργων φασὶ τῶν τοῦ κόσμου συμπληρωτικῶν φύσεων· ἅπερ ἐξ ἀρχῆς γεγονότα μέχρι τῆς ἕκτης ἡμέρας, οὐχ' ἡ φύσις εἰργάζετο ἀλλὰ ταύτην παρῆγεν ὁ θεός· ἀπὸ δὲ τῆς ἕκτης ἡ φύσις τὸν ἑαυτῆς δρόμον πληροῖ προνοίᾳ θεοῦ ἕως συντελείας τοῦ κόσμου· ἀπὸ τῶν τοιούτων οὖν ἔργων καταπαύει τῇ ζ̄· ἐπεὶ ὅτι θεὸς οὔποτε παύεται τοῦ ἐργάζεσθαι, μαρτυρεῖ Χριστὸς ἐν τῷ κατὰ Ἰωάννην εὐαγγελίῳ· ὁ πατήρ μου λέγων ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι.

Cap. 2. Καὶ κατέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ· τῇ κατὰ τὴν ἡμέραν ἁγίᾳ πέρας ἔδειξεν εἰληφέναι τὴν κτίσιν· ὅθεν καὶ ἐν ἑπτὰ ἡμέραις τὸν πάντα κύκλον τῶν ἡμερῶν περιέγραψε, δυνάμενος καὶ ἐν ταῖς ἓξ τοῦτο ποιῆσαι ἐν αἷς συνεπλήρωσε τὴν κτίσιν, ἵνα μὲν αἱ ἓξ δηλώσεις ὦσι τῶν γεγονότων, ἡ δὲ ἑβδόμη τοῦ πάντα πέρας εἰληφέναι· καὶ ὡς ἂν μὴ ἄχρηστος καὶ βδελυκτή τις νομίζοιτο, μὴ δὲ μιᾶς θείας ἐργασίας ἠξιωμένη, καθό τινες τὰς φαυλοτέρας ἀπράκ-
v. 3. τους νομίζουσιν, ἐπήγαγε· καὶ εὐλόγησεν ὁ θεὸς τὴν ἡμέραν τὴν ζ̄· οὐ γὰρ ἄχρηστον εἰς τὸ ποιεῖν ἡγήσατο, ἀλλ' ἁρμοδίαν ἔθετο εἰς ἀνάπαυσιν πεπληρωμένων τῶν ἔργων· εὐλόγησεν οὖν καὶ αὐτὴν, ἅτε τὰς μὲν λοιπὰς τῷ τί ποιῆσαι ἐν αὐταῖς τιμήσας, ταύτην δὲ τῷ ἔλεγχον εἶναι συμπεπληρῶσθαι τὴν κτίσιν· καὶ τὸ ἡγίασεν οὖν ἀντὶ τοῦ ἀφώρισεν αὐτὴν πρὸς τοῦτο· ὥσπερ οὖν καὶ τῶν ἑορτῶν ἡμέρας ἁγίας φαμὲν ἐπειδὴ μνήμην ἔχουσι ἀγαθοῦ τινος ὑπάρξαντος ἡμῖν ἐκ θεοῦ· τοιοῦτον καὶ τὸ ἁγιάσατε νηστείαν, ἀντὶ τοῦ ἀφορίσατε τοῦ νηστεύειν καιρόν· ὅθεν καὶ Ἰουδαίοις ἀφορίσαι τῇ τοῦ θεοῦ θεραπείᾳ τὴν ἡμέραν προσέταξεν, ἵνα πρὸς λήθην ἐλθόντες θεοῦ, ἄκοντες ὑπὸ τῆς ἀργίας ἔννοιαν λάβωσι τοῦ πεποιηκότος τὰ πάντα καὶ τῇ ἑβδόμῃ παυσαμένου ἡμέρᾳ.

Καὶ ἐγένετο οὕτως· ἔδει τοῦτο κἀκεῖ κεῖσθαι Cap. 2. μετὰ τὸ ποιήσωμεν ἄνθρωπον καὶ τὰ ἑξῆς, ὥσπερ ἐπὶ τῶν ἄλλων, καὶ οὕτως ἐπενεγκεῖν τὸ καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον· ἀλλ' εὔδηλον φασὶν ὡς τῆς μὲν προστακτικῆς φράσεως περιεχούσης τὸ ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, τῆς δὲ ἀνταποδοτικῆς σιωπώσης τὸ καθ' ὁμοίωσιν, φησὶ γὰρ καὶ ἐποίησεν τὸν ἄνθρωπον κατ' εἰκόνα θεοῦ, οὐ προστίθησι δὲ καὶ τὸ καθ' ὁμοίωσιν, οὐκ εὔλογον ἦν γεγράφθαι ἐν τῇ οἰκείᾳ χώρᾳ τὸ καὶ ἐγένετο οὕτως· ἴσως δὲ οὐ περὶ τοῦ ἀνθρώπου μόνου εἴρηται, ἀλλὰ ἐπὶ πάντων τῶν προειρημένων· ὥσπερ τὸ εἶδεν ὁ Θεὸς ὅτι καλὸν, σιωπηθὲν ἐπὶ τῆς δευτέρας, ἐπὶ τέλει κοινῶς ἀποδέδοται μετὰ προσθήκης τοῦ λίαν· ἴσως δέ τις φησὶ καὶ πρὸς ὅλα τὰ προειρημένα περὶ τοῦ ἀνθρώπου ἀποδεδόσθαι, ἢ πρὸς τὸ ἰδοὺ δέδωκα ὑμῖν πάντα χόρτον σπόριμον καὶ τὰ ἑξῆς· ὥστε ὁρᾶσθαι τῷ μὲν ἀνθρώπῳ τάδε τινὰ δεδομένα, τοῖς δὲ λοιποῖς χερσαίοις ζώοις τάδε· τινὲς δὲ φασὶν ἐπὶ μὲν τῶν ἄλλων καλῶς προσκεῖσθαι κατὰ πρόσταξιν γεγονότων Θεοῦ, πρὸς τὸ δεῖξαι ὡς οὐδὲν παρὰ τὸ βούλημα τοῦ προστάξαντος γέγονεν· ἐπὶ δὲ τοῦ ἀνθρώπου περιττὸν τὸ τοιοῦτον, αὐτουργοῦντος Θεοῦ· καὶ ἄλλως δὲ

Cap. 2. παρεῖλκεν· εἰ γὰρ διὰ τὸν ἄνθρωπον γεγονότα καλὰ, πολλῷ μᾶλλον αὐτὸς δι' ὃν κἀκεῖνα γεγένηται· ἄλλως τε μήπω πλαστουργηθέντος τοῦ ἀνθρώπου ἀπὸ τῆς γῆς, χώραν οὐκ εἶχεν, μετὰ δὲ τὸ προσθῆναι τῇ ποιήσει τὴν πλάσιν.

Καθ' ὅλου δὲ τῇ τοῦ ἀνθρώπου ποιήσει καὶ τάδε πρὸς τρανοτέραν γνῶσιν προσθήσωμεν· οἱ μὲν ὑπὸ τοῦ θείου ἐμφυσήματος τὴν ψυχὴν δεδημιουργῆσθαι φασὶν, ὡς ὑπὸ τῶν χειρῶν τὸ σῶμα· οἱ δὲ ὅτι τὸ ἐμφύσημα ἐκεῖνο ψυχὴ γέγονεν αὐτῷ· οἱ δὲ ὅτι τῷ κτισθέντι ἀνθρώπῳ ὁλοκλήρῳ ζωτικὴν ἔδωκε δύναμιν τὸ ἐμφύσημα· ἄλλοι δὲ ὅτι νοῦς ἐστὶ, καὶ διώρισται τῆς ψυχῆς, καὶ τοῦτό ἐστι τὸ κατ' εἰκόνα· ὡς ἐκ τριῶν τούτων συνίστασθαι τὸν ἄνθρωπον, νοῦ καὶ ψυχῆς καὶ σώματος, ἰδιαζόντως ἐν ἑνώσει· καὶ ζητεῖ εἰ ἰδιότης ἐστὶ τῆς οὐσίας τοῦ θεοῦ ἢ ἀλλότριον τουτὶ τὸ ἐμφύσημα· πρὸς δὲ ταῦτα πάντα τινὲς ἀπεκρίναντο· ἐκ γῆς τὸ σῶμα διαπλάσας θεὸς καὶ ψυχώσας ὡς οἶδε ψυχῇ τε ζώσῃ καὶ νοερᾷ, τῶν ἀγαθῶν ἔφεσίν τε καὶ γνῶσιν φυσικὴν αὐτῷ κατεβάλλετο· πρὸς ὃ εἴρηται τὸ φῶς τὸ ἀληθινὸν ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον· τίκτεται γὰρ τὸ ζῶον φυσικὴν ἔχον πρὸς τὸ ἀγαθὸν ἐπιτηδειότητα, αὐτοῦ γάρ ἐσμεν ποίημα, φησὶν ὁ Παῦλος, κτι-

σθέντες ἐπὶ ἔργοις ἀγαθοῖς οἷς προητοίμασεν ὁ θεὸς, ἵνα ἐν αὐτοῖς περιπατήσωμεν· καθ' ὃ οὖν αὐτεξουσίαις ὁρμαῖς, ἀγαθόν τε καὶ δίκαιον πέφυκεν εἶναι τὸ ζῶον, λέγεται κατ' εἰκόνα καὶ ὁμοίωσιν γενέσθαι θεοῦ· ἅπερ οὐκ ἔστι διάφορα· τὴν πρὸς θεὸν γὰρ ὁμοίωσιν ἔλαβεν ἐν τῇ πρώτῃ κατασκευῇ· καὶ ἐσμὲν εἰκόνες θεοῦ· τοῦτο γὰρ ἔχων καὶ τραπεὶς ἐξ ἀγαθοῦ γέγονε χείρων, ἀλλ' οὐ τοὐναντίον· συνεσπάρη γὰρ ἡμῖν ἡ πρὸς ἀγαθὸν ἔφεσίς τε καὶ προθυμία καὶ γνῶσις· καὶ τοῦτο Παῦλος φησίν· ὅταν γὰρ ἔθνη τὰ μὴ μόνον ἔχοντα φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες ἑαυτοῖς εἰσι νόμος, οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν· εἰ δὲ τοῖς ἔθνεσι τοῖς ἔξω τοῦ νόμου ταῦτα προσῆν, δῆλον ὅτι δικαία καὶ ἀγαθὴ γέγονεν ἐξ ἀρχῆς ἡ τοῦ ἀνθρώπου φύσις τὴν εἰκόνα φέρουσα τοῦ θεοῦ· ἀλλ' ἐπειδήπερ ἐχρῆν μὴ ταῦτα μόνον ἔχειν ἀλλὰ καὶ ἁγίου πνεύματος μέτοχον εἶναι, καὶ λαμπροὺς φέρειν τῆς θείας φύσεως τοὺς χαρακτῆρας, ἐνεφύσησεν αὐτῷ πνοὴν ζωῆς· τοῦτο δέ ἐστι τὸ δι' υἱὸν τῇ λογικῇ κτίσει χορηγούμενον πνεῦμα, καὶ διαμορφοῦν αὐτὴν εἰς εἶδος τὸ ἀνωτάτω, τουτέστι τὸ θεῖον· οὐ μὴν εἰς ψυχὴν ἀνθρώπου τὸ ἐμφυσηθὲν αὐτῷ γέγονε πνεῦμα, οὔτε μὴν εἰς Cap. 2.

Cap. 2. νοῦν· εἰ γὰρ ὁ ἐμφυσήσας Θεὸς, τὸ δὲ ἐμφυσηθὲν ἐξ αὐτοῦ, πάντως καὶ ἴδιον αὐτοῦ, ἤτοι τῆς οὐσίας αὐτοῦ· πῶς οὖν μετέβαλεν εἰς φύσιν ψυχῆς, ἢ καὶ γέγονε νοῦς; ἄτρεπτον γὰρ τὸ Θεῖον· δεδόσθω δὲ καὶ τοῦτο· πῶς οὖν οὐκ ἔμεινεν ἡ ψυχὴ καὶ ὁ νοῦς ἀνεπίδεκτος ἁμαρτίας; ἔσται γὰρ οὐ μόνον τὸ Θεῖον πνεῦμα τρεπτὸν, ἀλλὰ καὶ δεκτικὸν ἁμαρτίας· πῶς δὲ μὴ παρὰ πᾶσιν ἴση καὶ ὁμοία τυγχάνει ψυχὴ, ἀλλὰ τοσαῦται διαφοραὶ καταστάσεων, τοῦ θεοῦ λέγοντος ἐγώ εἰμι, καὶ οὐκ ἠλλοίωμαι, εἰ ἐξ αὐτοῦ ἡ ψυχὴ, καὶ ἑαυτὸν κρίνει ὁ Θεός;

Ἡγιάσθη τοίνυν τὸ ζῶον διὰ τοῦ ἐμφυσήματος ὃ καὶ δι' ἁμαρτίαν ἀπέβαλεν· οὐ μὴ γὰρ φησὶν ὁ θεὸς καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις διὰ τὸ εἶναι σάρκας, τουτέστι μόνα φρονεῖν τὰ σαρκός· ἐπειδὴ δὲ ηὐδόκησεν ὁ θεὸς καὶ πατὴρ ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν τῷ Χριστῷ, τουτέστιν εἰς τὸ ἀρχαῖον ἀναγαγεῖν, ἐνεφύσησε τοῖς ἀποστόλοις τὴν ἀρχαίαν ἀνανεῶν δωρεὰν· καὶ γέγονεν ἁγία πάλιν ἡ φύσις ἀναμορφουμένη πρὸς αὐτὸν δι' ἁγιασμοῦ καὶ δικαιοσύνης κατὰ τὸ εἰρημένον· ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν καθάπερ ἀπὸ

κυρίου πνεύματος· ὁ δὲ κύριος τὸ πνεῦμα ἐστίν· Cap. 2.
ὥστε κἂν λέγῃ τὸ γράμμα τὸ ἱερὸν ὅτι πεποίηκε μὲν ὁ Θεὸς τὸν ἄνθρωπον κατ' εἰκόνα ἑαυτοῦ, σεσίγηκε δὲ τὸ καθ' ὁμοίωσιν, ὡς ἀρκοῦντος πρὸς δήλωσιν ἀμφοτέρων τοῦτο πεποίηκεν, ὡς οὐδὲν ἕτερον δηλοῦντος τοῦ καθ' ὁμοίωσιν, ἀλλ' οὐχ' ὡς τετηρημένου πρὸς αἰῶνα τὸν μέλλοντα· ὅμοιοι γὰρ τότε γενησόμεθα τῷ Χριστῷ κατὰ τὴν ἀφθαρσίαν καὶ τὸ ἀθάνατον, καὶ τὴν δόξαν ἣν ἂν ἡμῖν αὐτὸς χαρίσαιτο· γράφει γὰρ ὁ ἀπόστολος ποτὲ μὲν, ὅτι ἀπεθάνεσθε γὰρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ θεῷ· ὅταν δὲ ὁ θεὸς φανερωθῇ ἡ ζωὴ ὑμῶν, σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ· ποτὲ δὲ, ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ· ἐπεὶ καὶ νῦν οὐκ ἐσμὲν ἔξω τοῦ εἶναι καθ' ὁμοίωσιν αὐτοῦ· εἴπερ ἐστὶν ἀληθὲς ὡς ἐν ἡμῖν μορφοῦται διὰ τοῦ ἁγίου πνεύματος· γράφει γὰρ πάλιν ὁ Παῦλος· τεκνία οὓς πάλιν ὠδίνω ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν· ὅταν γὰρ ἑαυτοὺς ἀξίους τηρήσωμεν, τότε καὶ ἐν ἡμῖν ὁρᾶται μορφούμενος, ταῖς ἡμετέραις διανοίαις τοὺς ἐν αὐτῷ χαρακτῆρας νοητῶς ἐναστράπτων.

Πρὸς δὲ τὸ εἰρημένον ὡς οὐκ εἴρηται ἐποίησε τὸν ἄνθρωπον εἰκόνα, ἀλλὰ κατ' εἰκόνα, ὡς

Cap. 2. εἶναι εἰκόνα μὲν τὸν υἱὸν, εἰκόνα δὲ εἰκόνος τὸν ἄνθρωπον, λεκτέον ὡς ὁ πατὴρ ἐν τῷ υἱῷ ἐστι, καὶ ὁ υἱὸς ἐν τῷ πατρὶ, καὶ ὁ τὸν υἱὸν ἑωρακὼς ἑώρακε τὸν πατέρα· ὁρᾶται δὲ καὶ ὁ υἱὸς ἐν τῷ ὁμοουσίῳ πνεύματι· γέγραπται γάρ· ὁ δὲ κύριος τὸ πνεῦμα ἐστίν· ὅπου δὲ ὅλως οὐσίας ταυτότης, τὸ παραλλάττον οὐδέν· ἀλλ' ὅπερ νοεῖται πατὴρ, τοῦτό ἐστι καὶ ὁ υἱὸς, δίχα μόνον τοῦ εἶναι πατήρ· καὶ ὅπέρ ἐστιν ὁ υἱὸς, τοῦτο τὸ πνεῦμα, δίχα τοῦ εἶναι υἱός· ὑπόστασις μὲν γὰρ τούτων ἕκαστον· ἡ δὲ οὖν ὁμοιότης τῆς ἁγίας τριάδος ἀπαραλλάκτως ἔχει· ὥστε κἂν εἰ γέγονε κατ' εἰκόνα τοῦ υἱοῦ ὁ ἄνθρωπος, καὶ οὕτως ἐστὶ κατ' εἰκόνα θεοῦ· ὅλοι γὰρ αὐτῷ τῆς ὁμοουσίου τριάδος οἱ χαρακτῆρες ἐλλάμπουσιν· ἅτε δὴ καὶ μιᾶς οὔσης τῆς κατὰ φύσιν θεότητος ἐν πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι· ὅθεν καὶ τὸ κατ' εἰκόνα ἡμετέραν οὐχ' ἑνὸς ἔχει δήλωσιν προσώπου. Ἐν δὲ τῇ ἐπαναλήψει τοῦ προκειμένου ῥητοῦ καὶ τὰ δοκοῦντα τοῖς ἄλλοις περὶ τούτων ἐκθήσομαι.

v. 4. Αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ καὶ γῆς, καὶ τὰ ἑξῆς· τουτέστι τοῦτο τὸ βιβλίον διδασκαλίαν περιέχει τοῦ γεγονέναι τόν τε οὐρανὸν καὶ τὴν γῆν ἐν πρώτοις, καὶ ὅσα σὺν αὐτοῖς ἢ ἐπ' αὐτοῖς ὕστερον ἐγένετο· καὶ ὅτι συνέβαινε

τὴν γῆν καλυπτομένην τοῖς ὕδασι μηδὲν ἔχειν Cap. 2.
τῶν ὕστερον ἐπ' αὐτῆς γεγονότων· τοιοῦτον καὶ
τὸ, βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ, ἀντὶ τοῦ
τὴν διδασκαλίαν σημαίνουσα τῆς γενέσεως· καὶ
νῦν δὲ τὰ μετ' οὐρανοῦ γεγονότα, καὶ σεσιώ-
πηκεν ὡς διὰ τῶν περιεχόντων δηλούμενα· τὸ δὲ
ᾗ ἡμέρᾳ ἐποίησεν τὸν οὐρανὸν καὶ τὴν γῆν, ἵνα
εἴπῃ· πρότερα δὲ πάντων πεποίηκε τὸν οὐρανὸν
καὶ τὴν γῆν καὶ τὰ σὺν αὐτοῖς κατὰ τὸν και-
ρὸν καθ' ὃν ἐγένετο· ὅπέρ ἐστι πρὸ πάντων· ἰσο-
δυναμεῖ γὰρ τῷ ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν
οὐρανὸν καὶ τὴν γῆν· τὸν καιρὸν οὖν καθ' ὃν
ἐποίησεν, οὕτω καλεῖ· ὃν οὐκ ἄν τις ἁμάρτοι
καὶ ἀρχὴν τῆς πρώτης εἶτ' οὖν μιᾶς ἡμέρας εἰ-
πὼν, ἅτε τὴν ἀρχὴν λαβούσης ἀπὸ τῆς οὐρανοῦ
καὶ γῆς ποιήσεως.

Εἶτα φησὶν· οὐ γὰρ ἔβρεξεν ἐπὶ τῆς γῆς, v. 5.
καὶ ἄνθρωπος οὐκ ἦν ἐργάζεσθαι τὴν γῆν· τουτ-
έστιν οὐκ ἦν ὁ μετὰ ταῦτα γενόμενος τῆς τῶν
σπερμάτων γενέσεως νόμος διὰ γηπονίας καὶ
ὄμβρων ἰὼν, ὅτε θεοῦ προστάγματι τῆς γῆς εὐ-
θὺς ἀνεδίδοτο μὴ πρότερον ὄντα· εἶτα τὴν αἰ-
τίαν φησὶ δι' ἣν ὁ νῦν οὔπω νόμος ἐτύγχανε,
μήτε γεγονότος ἀνθρώπου καὶ τῆς γῆς καλυ-
πτομένης τοῖς ὕδασι· πηγὴ γὰρ, φησὶν, ἀνέβαι- v. 6.
νεν ἐκ τῆς γῆς, καὶ ἐπότιζε πᾶν τὸ πρόσωπον

Cap. 2. τῆς γῆς· οὕτω, φασὶν, λέγων τὸ τὸ ὕδωρ ἐπικεῖσθαι τῇ γῇ· ὥσπερ οὖν καὶ ἡμεῖς πολλάκις πολυομβρίας γενομένης, λέγειν εἰώθαμεν ὅτι πηγάζει ἡ γῆ, οὐχ ὡς ἐκδιδούσης, ἀλλὰ τὸ πλῆθος ἐμφαίνοντες· οὐ γὰρ δὴ πηγὴ φασί τινες ὅλην ἤρδευε τὴν γῆν πηδῶσα τὰ ὄρη καὶ εἰς τὰ βάθη καταδυομένη· ἄλλος γὰρ ἂν οὗτος ὑπῆρχε κατακλυσμός· τινὲς μὲν γὰρ ἔφασαν ὅτι τὴν ἐν τῷ παραδείσῳ λέγει πηγὴν, ἀρδεύουσαν τὸν παράδεισον καὶ εἰς τέσσαρας διαιρουμένην ἀρχάς· ἣν ὕστερον δευτεροῖ· τί οὖν; ὅτι πρὸ τοῦ ἀνατεῖλαι χόρτον ταῦτα ἐγένετο.

Τρίτη δὲ ἦν ἡμέρα τότε, ἐν ᾗ καὶ ὁ χωρισμὸς τῶν ὑδάτων, καὶ ἡ τῶν καρπῶν ἀνάδοσις· ἐν αὐτῇ οὖν τῇ ἡμέρᾳ ἐν ᾗ τὰ ὕδατα ἐχωρίσθη, ἐδεῖτο ἀρδείας ἡ γῆ; οὐδαμῶς· τί οὖν τὸ λεγόμενον, ἄρτι τοῦ ὕδατος χωρισθέντος, πρὶν ἀναδοθῆναι καρποὺς πανταχόθεν νενοτισμένη ἔβρυε, καὶ ὥσπερ ἱδροῦ ἡ γῆ, καὶ ἐκάλυπτεν αὐτῆς τὸ πρόσωπον, ὅπερ ἐπὶ τῆς πολυομβρίας φιλεῖ γίνεσθαι; ἵνα ᾖ τὸ ἐπότιζεν ἀντὶ τοῦ ἐκάλυπτεν· ἑβραῖος δέ τις φησὶν ὅτι οὐ λέγει τὸ ἑβραϊκὸν πηγὴ δέ τις ἀνέβαινεν ἐκ τῆς γῆς, ἀλλὰ τὶ εἶδος, φησὶν, ἀχλύος ἢ ἀέρος συνεστῶτος παχυτάτου, οὗ τὴν ἀνάδοσιν ἀπὸ τῆς γῆς ἔφησε γίνεσθαι καὶ καλύπτειν τὸ πρόσωπον τῆς γῆς· εἴ-

τε ἀπὸ τῆς νοτίδος ἐγίνετο, εἴτε Θεοῦ οἰκονομοῦντος, φησὶ, λέγειν οὐκ ἔχω· τινὲς δὲ φασὶ, μή ποτε ὡς ἵππος λέγεται βασιλέως πᾶσα ἱππικὴ δύναμις, οὕτω καὶ πηγὴ πᾶσα φλὲψ τῆς γῆς πότιμον ὕδωρ πηγάζουσα; εὖ δὲ φασὶ καὶ τὸ φάναι μὴ πᾶσαν, ἀλλὰ τὸ πρόσωπον τῆς γῆς νοτίζεσθαι, τὸ ἄριστον καὶ ἡγεμονεῦον μέρος καὶ καρποφορεῖν δυνάμενον, ὃ καὶ τῆς ἀπὸ τῶν πηγῶν ἐπικουρίας δεῖται. Cap. 2.

Δεῖ δὲ παρατηρεῖσθαι τὰς τοιαύτας ἀναλήψεις ἀσάφειαν πολλάκις ἐργαζομένας· πᾶσαν γὰρ καὶ νῦν τὴν κοσμοποιΐαν εἰπὼν καὶ ὅτι ἔπλασεν τὸν ἄνθρωπον ὁ Θεὸς καὶ ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτοὺς, ἔπλασε δὲ τῇ ἕκτῃ καὶ ἀνεπαύσατο τῇ ἑβδόμῃ· ἐπαγαγὼν αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ καὶ γῆς ὅτε ἐγένετο, ἐντεῦθεν ἀναλαμβάνει μὲν τὰ ἐν τῇ τρίτῃ ἡμέρᾳ γενόμενα· ἀναλαμβάνει δὲ καὶ τὰ ἐν τῇ ἕκτῃ· μή ποτε δὲ φασί τινες ἀπὸ τῶν ὑπεροχόντων καὶ διαφερόντων πάντα εἴρηται; ἀφηγήσατο γὰρ οὐ μόνον οὐρανοῦ καὶ γῆς ποίησιν ἔν γε τοῖς φθάσασιν, ἀλλὰ καὶ πάντων τῶν ἄλλων· τὸ δὲ ὅμοιόν ἐστι, καὶ ἐπὶ τοῦ αὕτη ἡ βίβλος γενέσεως ἀνθρώπων· ἐν γὰρ τοῖς μεταξὺ καὶ φυτεύσεως παραδείσου καὶ πλάσεως ἄλλων ζώων καὶ περὶ τῆς ἀπάτης τοῦ ὄφεως ἀνα-

Cap. 2. γέγραπται· πῶς οὖν πᾶσα ἡ κτίσις ἐν ἡμέρᾳ λέγεται γεγονέναι; οἶδεν ἡ γραφὴ πολλὰς ἡμέρας μίαν προσαγορευομένην· ἐντελλόμενος γὰρ Ἰησοῦς ὁ τοῦ Ναυῆ τῷ λαῷ φησὶ μὴ ἀποστῆτε ἀπὸ κυρίου ἐν ταῖς σήμερον ἡμέραις· ὁ γὰρ παρὼν αἰὼν σήμερον λέγεται· καὶ ἐνταῦθα τοίνυν αἱ πλείους ἡμέραι ὡς εἰς μίαν παραληφθεῖσαι τοῦ κόσμου συντέλειαν, εἰκότως εἴρηται μία.

v. 7. Καὶ ἔπλασεν ὁ θεὸς τὸν ἄνθρωπον χοῦν ἀπὸ τῆς γῆς· καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς· τὰς τοιαύτας ἐπαναλήψεις ἐπ' αναπληρώσει τῶν παρειμένων ἡ θεία ποιεῖται γραφή· μηδὲν λέγουσα τοῖς φθάσασιν ἐναντίον· ὅπερ ἐλέγομεν πρὸς τοὺς λέγοντας ἐπανάληψιν εἶναι τῆς οὐρανοῦ ποιήσεως τὴν τοῦ στερεώματος· εἰπὼν οὖν πρόσθεν κατ' εἰκόνα θεοῦ καὶ ἄρσεν καὶ θῆλυ πεποιῆσθαι τὸν ἄνθρωπον, ἐνταῦθα καὶ τὸν τρόπον προστίθησι τῆς ποιήσεως καινὸν παρὰ τὰ λοιπὰ ζῶα τυγχάνοντα· ὥσπερ ἐπὶ Χριστοῦ λέγει μὲν ἐφεξῆς τὴν γενεαλογίαν πῶς ἐκ Δαβὶδ καὶ Ἀβραὰμ κατῆγε κατὰ σάρκα τὸ γένος· τὸν δὲ τρόπον βουληθεὶς εἰπεῖν τῆς γεννήσεως ὄντα καιρὸν, ἐπήγαγεν ὕστερον· τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ γέννησις οὕτως ἦν· μνηστευθείσης τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰωσὴφ, πριν ἢ συνελθεῖν αὐτοὺς εὑρέθη ἐν γαστρὶ ἔχου-

σα ἐκ πνεύματος ἁγίου· λείπει δὲ τῷ χοῦν ἀπὸ τῆς γῆς, τὸ λαβὼν· παρῆκεν δὲ αὐτὸ ὡς ἂν μὴ νομίζωμεν εἰληφότα πρότερον τὸν χοῦν, οὕτω προσθῆναι τὴν διάπλασιν· ἀλλ' ἐν τῇ διαπλάσει νοήσωμεν αὐτὸν πεποιῆσθαι τὴν λῆψιν ἀμφοῖν κατὰ ταὐτὸν γεγονότων· χοῦν δὲ καλεῖν εἴωθε τὸ ἐπιπόλαιον καὶ κονιορτῶδες· ὡς ἐπὶ τοῦ Σεμεΐ τῷ χωὶ πάσσων φησὶ τὸ πρόσωπον τοῦ Δαβίδ· δηλοῖ οὖν ὁ λόγος ὡς οὐ τὸ κράτιστον μέρος λαβὼν τῆς γῆς τὸν ἄνθρωπον ἔπλασεν, ἀλλὰ τὸ περιττόν τε καὶ ἄχρηστον· ὡς φαίνεσθαι τὸν θεὸν ἐθελήσαντα μὲν συγχρήσασθαι γῇ, τὸ δὲ πᾶν ἐκ τῆς οἰκείας προστεθεικότα δυνάμεως· ἐξ ἧς καὶ τὸ γεγονὸς ἕτερον παντελῶς τοῦ ὅθεν ἐγένετο· ἵνα καὶ γνῶμεν μηδὲν εἰς κάλλος εἰληφότες ἀπὸ τῆς γῆς ἐκ τοῦ ἀτιμοτάτου ταύτης γενόμενοι· τοιγαροῦν ἡ γραφὴ, τὸ μηδὲν ὑπάρχειν ἡμᾶς ἐθέλουσα παραστῆσαι, ἐμνήσθη, φησὶν, ὅτι χοῦς ἐσμὲν, πνεῦμα πορευόμενον καὶ οὐκ ἐπιστρέφον· ὅτι θανάτῳ λυόμενοι οὐδὲ μίαν πρὸς τὸ ζῆν ἐπάνοδον ἐκ τῆς οἰκείας ἀναμένομεν φύσεως. Cap. 2.

Καὶ ἄλλος δὲ φησὶν ὡς χοῦν ἀλλ' οὐ βῶλον ἔλαβεν· ἐξ αὐτῶν γὰρ τῶν προοιμίων ἡ ἐλπὶς ἐπάγη τῆς ἀναστάσεως· ἐπεὶ γὰρ ἤμελλεν εἰς χοῦν ἀναλύεσθαι κατὰ εἰρημένον, καὶ εἰς

Cap. 2. χοῦν θανάτου κατήγαγές με, ἵνα μή τις τὸν ἐν τοῖς τάφοις χοῦν θεασάμενος ἀπαγορεύσῃ τὴν ἐλπίδα τῶν ἀνθρώπων, ἐν αὐτῇ τῇ δημιουργίᾳ ἔπηξεν ἐλπίδα τῆς ἀναστάσεως· ἐκεῖ χοῦς, καὶ ὧδε χοῦς· ἐκεῖνος τῇ δυνάμει τοῦ τεχνίτου μετεποιήθη, καὶ οὗτος τῇ σοφίᾳ τοῦ δημιουργοῦ μεταβάλλεται· καὶ οὐ ποιεῖ τὴν ψυχὴν πρὸ τοῦ σώματος, ἵνα μὴ γένηται αὐτόπτης τῶν γινομένων· οὐ ποιεῖ τὴν ψυχὴν παρεῖναι τῇ δημιουργίᾳ, ἵνα μὴ καυχήσεται ὡς συνεργὸς τοῦ θεοῦ· ἐπὶ δὲ τῶν ἀλόγων προέρχονται μετὰ τῶν σωμάτων καὶ αἱ ψυχαί· οἵα γὰρ ἡ πλάσις, τοιαύτη καὶ ἡ λύσις· διὰ τοῦτο ἀνάστασιν οὐκ ἔχει· ἡ δὲ τοῦ ἀνθρώπου ψυχὴ ἰδιάζουσαν ὑπόστασιν ἔχει· ἐνεργεῖ δὲ καὶ τὴν ζωὴν ἐν σαρκὶ ὡς φυσικῷ κρατουμένην δεσμῷ, ἐκ θεοῦ λαβοῦσα ταύτην, οὐκ οἴκοθεν ἔχουσα, οὐ χρήζει φαγεῖν· ἄνευ δὲ ταύτης οὐ δύναται ἡ σὰρξ ἐσπιᾶσθαι· οὐκ ἄλλη ψυχὴ ἐν αἰσθητοῖς, ἑτέρα δὲ ἐν νοητοῖς ἐνεργεῖ, συγγεννᾶται οὐ συσπείρεται· ἡ φύσις ἐστὶν ὁ δεσμὸς ἡ καὶ συσπειρομένη τῷ σώματι· ὁ σπόρος ἐκ συνουσίας· ἡ δὲ πλάσις ἐκ θείου νεύματος· κτίζεται ἡ ψυχὴ ὅτε καὶ τὸ σῶμα εἰκονίσθη, θεοῦ τὴν πλάσιν παρέχοντος· πρὸ τοῦ γάρ με πλάσαι σε ἐν κοιλίᾳ, ἐπίσταμαί σε· φύσις γὰρ ἄνευ θεοῦ ποιεῖν οὐκ οἶδε τὸν

ἄνθρωπον· ἡ γὰρ φύσις ὕλης μόρφωσις, τὸν δη- Cap. 2.
μιουργὸν προκαλουμένη εἰς χορηγίαν τῆς ὑποστάσεως· ἐμφυσᾷ δὲ Θεὸς εἰς πρόσωπον τοῦ Ἀδὰμ· ἐκ τοῦ κυρίου μέρους τῆς ὄψεως δεικνὺς τὸ ἀξίωμα τῆς ψυχῆς ὅτι ἡγεῖται πάσης αὐτοῦ τῆς ὑποστάσεως.

Καὶ ἐγένετο φησὶν εἰς ψυχὴν ζῶσαν· δῆλον ὅτι τότε γέγονε καὶ οὐ πρότερον· ἕτερον δέ ἐστι πνοὴ ζωῆς ἡ καὶ ψυχικὸν ἀπεργαζομένη τὸν ἄνθρωπον· καὶ ἕτερον πνεῦμα ζωοποιοῦν τὸ καὶ πνευματικὸν αὐτὸν ἀποτελοῦν· ὅθεν Ἡσαίας φησίν· οὕτως λέγει κύριος· ὁ ποιήσας τὸν οὐρανὸν καὶ στερεώσας αὐτόν· ὁ πήξας τὴν γῆν καὶ τὰ ἐν αὐτῇ· καὶ διδοὺς πνοὴν τῷ λαῷ τῷ ἐπ' αὐτῆς καὶ πνεῦμα τοῖς πατοῦσιν αὐτήν· τὴν μὲν πνοὴν κοινῶς παντὶ τῷ ἐπὶ τῆς γῆς λαῷ φήσας δεδόσθαι· τὸ δὲ πνεῦμα ἰδίως τοῖς καταπατοῦσι τὰς γεώδεις ἐπιθυμίας· διὸ καὶ πάλιν ὁ αὐτὸς Ἡσαίας διαστέλλων τὰ προειρημένα φησί· πνεῦμα γὰρ παρ' ἐμοῦ ἐξελεύσεται καὶ πνοὴν πᾶσαν ἐγὼ ἐποίησα· τὸ πνεῦμα ἰδίως ἐπὶ τοῦ θεοῦ τάξας τοῦ ἐπ' ἐσχάτων ἐκχέοντα αὐτὸ διὰ τῆς υἱοθεσίας ἐπὶ τὴν ἀνθρωπότητα· τὴν δὲ πνοὴν κοινῶς ἐπὶ τῆς κτισέως, καὶ ποίημα ἀναγορεύσας αὐτήν· ἕτερον δέ ἐστι τὸ ποιηθὲν τοῦ ποιήσαντος· ἡ οὖν πνοὴ πρόσκαιρος, τὸ δὲ πνεῦμα

Cap. 2. αέννάον· καὶ ἡ μὲν πνοὴ ἀκμάσασα πρὸς βραχὺ, καιρῷ τινι παραμείνασα μετὰ τοῦτο πορεύεται, ἄπνουν ἐγκαταλιποῦσα ἐκεῖνο περὶ ὃ ἦν τὸ πρότερον· τὸ δὲ περιλαβὸν ἔνδον καὶ ἔξωθεν τὸν ἄνθρωπον ἅτε ἀεὶ παραμόνιμον, οὐδέ ποτε ἐκλείψει αὐτὸν· θεοῦ δὲ ἐνέργειαν δηλοῖ καὶ τὸ ἔπλασε καὶ τὸ ἐνεφύνησεν, οἰκείως ἑκατέρῳ πρὸς τὴν διάφορον φύσιν χρησαμένου τοῦ λόγου· τὸ μὲν γὰρ διαπλαττόμενον, ἔξωθεν γίνεται, τὸ δὲ ἐμφύσημα ἔνδοθεν ἐκπέμπεται, ἐπεὶ καὶ ἐν ἡμῖν ἔξωθεν μὲν τὸ σῶμα, ἔνδον δὲ ἡ ψυχὴ· πλεῖστον οὖσα τῷ θεῷ οἰκειοτέρα τοῦ σώματος· γινώσκει τε γὰρ αὐτὸν καὶ παιδεύεται παρ' αὐτοῦ· κἀκεῖνο διὰ ταύτην ἀπολαύει τῆς ἀναστάσεως· τοιγαροῦν καὶ οἰκείωσις περὶ ταύτην μείζων ἐμφαίνεται ἔνδοθεν ἐκπεμπομένῳ κτιζομένην τῷ ἐμφυσήματι· καλῶς δὲ καθάπερ εἴρηται πρότερον οὐ πνεῦμα ζωῆς ἀλλὰ πνοὴν ζωῆς εἶπε.

Περὶ μὲν γὰρ τῆς μελλούσης καταστάσεως καθ' ἣν ἀθάνατοί τε καὶ ἄτρεπτοι γινόμεθα διὰ τῆς ἀναστάσεως, τῆς τοῦ πνεύματος χάριτος ἐν ἀμφοτέροις κρατούσης ἡμᾶς, φησὶν ὁ μακάριος Παῦλος· ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἐν τῷ Χριστῷ Ἰησοῦ ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου· πνεῦμα ζωῆς, τοῦ πνεύματος τὴν χάριν εἰπὼν· καὶ

πάλιν, σπείρεται σῶμα ψυχικὸν, ἐγείρεται σῶμα πνευματικόν· τοῦτο μὲν εἰπὼν ψυχικὸν ὡς τῇ τῆς ψυχῆς κινούμενον παρουσίᾳ· πνευματικὸν δὲ ἐκεῖνο ὡς τῇ τοῦ πνεύματος περικρατούμενον χάριτι· ὡς γὰρ θεὸν ἐλέους καλεῖ τὸν ἐλεεῖν εἰωθότα τε καὶ δυνάμενον, οὕτω καὶ τὸ πνεῦμα ζωῆς τὸ ταύτην οἷς ἂν ἐθέλῃ δωρούμενον· ἐνταῦθα δὲ πνοὴν εἶπε ζωῆς, ἅτε μὴ τῆς ψυχῆς ἐχούσης τοῦ πνεύματος τὸ ἀξίωμα, ἐκ δὲ θεοῦ λαβούσης τὸ διὰ τῆς οἰκείας παρουσίας πρὸς ἀναπνοήν τε κινεῖν τὸ σῶμα καὶ τὴν ἐντεῦθεν ζωήν· καὶ ἐγένετο φησὶν ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν· τουτέστι τῆς ψυχῆς ἐγγεγονίας τῷ σώματι, τὸ σύμπαν εἰς τὸ ζῆν κατέστη· ὅθεν ὁ μακάριος Παῦλος φησίν· ἐγένετο ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ εἰς ψυχὴν ζῶσαν, ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν· ὁ καὶ διὰ τῆς ἀναστάσεως εἰς ἐκείνην φέρων ἡμᾶς τὴν κατάστασιν· κοινωνεῖ γὰρ τὸ πνεῦμα τῇ δημιουργίᾳ τῆς τε ψυχῆς καὶ τοῦ σώματος· μία γὰρ ἐνέργεια τῆς ἁγίας τριάδος· εἰ μὴ γὰρ ὑπὸ τῆς τριάδος ἐκτίσθημεν, πῶς ἐκ τῆς τριάδος ἀναγεννώμεθα βαπτιζόμενοι; καὶ τὸ σῶμα δὲ τοῦ Χριστοῦ τὸ πανάγιον καὶ προσκυνητὸν ἔργόν ἐστι τοῦ ἁγίου πνεύματος· τινὲς δὲ φασὶ τὸ πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, αὐτὸ τὸ πνεῦμα· δύναμις δὲ Cap. 2.

Cap. 2. ὑψίστου ἐπισκιάσει σοι, τὸν υἱὸν λέγειν· καί τοι
ὥσπερ ὁ Χριστὸς δύναμις ὑψίστου καλεῖται,
Χριστὸς γὰρ θεοῦ δύναμις, οὕτω καὶ τὸ πνεῦ-
μα τὸ ἅγιον· λέγει γοῦν τοῖς ἀποστόλοις ὁ κύ-
ριος· μείνατε εἰς Ἱεροσόλυμα ἕως ἂν ἐνδύσησθε
δύναμιν ἐξ ὕψους· ἀθάνατον δὲ, φασὶ, τὸν ἄν-
θρωπον ὁ θεὸς ποιῆσαι βουλόμενος, αὐτὸς αὐ-
τὸν αὐτουργεῖ· ἠπίστατο γὰρ ὅτι πάντως ὅπερ
ἂν τῇ ἑαυτοῦ τεχνάσηται χειρὶ, ἐξ ἀνάγκης
ἔσται ἀθάνατον, ἅτε δὴ ἀθανασίας ἔργον· ἀθα-
νασίᾳ γὰρ ἀθάνατα γίνεται· καθάπερ καὶ τὰ
κακὰ κακίᾳ κακά· ἄνθρωπος δὲ κυρίως τὸ συν-
αμφότερον· ἀλλ' οὐδέτερον κατ' αὐτὸ τῶν συν-
τιθέντων τὸν ἄνθρωπον.

v. 8. Καὶ ἐφύτευσεν ὁ θεὸς παράδεισον ἐν Ἐδὲμ
κατὰ ἀνατολὰς, καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον ὃν
ἔπλασεν· ὅτι, φασὶν, ὁ παράδεισος ἐν τῇ γῇ
ἐστὶ καὶ πεφύτευται, ἐδήλωσεν ἡ γραφὴ λέγου-
v. 9. σα· καὶ ἐξανέτειλεν ἔτι ὁ θεὸς ἐκ τῆς γῆς· τὸ
γὰρ ἔτι καὶ τὸ ἐκ τῆς γῆς καὶ τὸ κατὰ ἀνα-
τολὰς εἰποῦσα, σαφῶς διδάσκει τὸν παράδεισον
ὑπὸ τοῦτον τὸν οὐρανὸν ὑφ' ὃν ἀνατολαί τε καὶ
γῆ· ἐὰν δὲ τὸν παράδεισον μὴ τοῦ κόσμου μέ-
ρος εἶναι λέγοις, μὴ δ' ἐν αὐτῷ γεγονέναι, μὴ
δὲ σὺν τοῖς ἄλλοις, καὶ περὶ αὐτοῦ κατέπαυ-
σε, γεγράφθαι, ἀλλ' ὑπερκόσμιον εἶναι χωρίον,

πῶς τὸν ἐκεῖνον ἐκεῖ καὶ πλαστὸν ἄνθρωπον εἰσ- Cap. 2.
ήγαγε; πῶς δὲ ἐκεῖ ἔπλασεν ἔτι ἐκ τῆς γῆς ὁ Θεὸς πάντα τὰ Θηρία τοῦ ἀγροῦ καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅπου τὸν ἄνθρωπον καὶ τὴν γυναῖκα, ὅπου ξύλον θανατηφόρον, καὶ ἀπατεῶν ὄφις ἐκεῖ; πῶς δὲ πάντων ἐν ὀφθαλμοῖς οἱ ἐκεῖθεν ἐκπορευόμενοι ποταμοί; οὐκοῦν ἐπὶ γῆς ὁ παράδεισος, θεοῦ τὴν πρὸς ἄνθρωπον ἐνδεικνυμένου σπουδὴν, καὶ μὴ τοῖς ἄλλοις ζώοις ὁμοίως αὐτὸν συγχωρήσαντος νέμεσθαι, ἔκκριτον δὲ χωρίον πρὸς κατοίκησιν ἀπονείμαντος, ὅπερ πρότερον ἀνανίσχων ὁ ἥλιος καταλάμπει, ὃς ἡδὺ ποιεῖ τοῖς ἀνθρώποις τὸ ἐπὶ γῆς οἰκητήριον ταῖς ἀκτῖσι φαιδρύνων τὴν γῆν· ἐφύτευσε δὲ φησὶ, τὸ ἐξαίρετον τῆς περὶ τὸν τόπον ἐπιμελείας δεικνὺς τοῦ θεοῦ ἢ πρὸς τὴν ἀνθρώπου συνετέλει τιμήν· ὥσπερ καὶ τὸ ἔπλασεν εἶπε, δηλούμενος ὅτι πεποίηκεν αὐτὸν ὁ Θεός· τῷ δὲ τῆς φωνῆς ἰδιώματι τὸ ἔκκριτον ἐπιδεικνὺς τῆς ποιήσεως· ἐπεὶ πρόδηλον ὡς βουλῇ καὶ προστάγματι τοῖς φυτοῖς ἐκεκόσμητο.

Ἐδὲμ δὲ ὁ τόπος ἐν ᾧ περ ἦν ὁ παράδει- v. 10.
σος, ὅπερ ἐστὶ τρυφὴ καθ' ἑλλήνων φωνὴν, τουτέστι ἐν τρυφερῷ καὶ καλῷ τόπῳ τοῦτον ἐφύτευσεν· οὐ μικρὸν δέ τι τοῦτο μέρος τῆς γῆς, ἀλλὰ τοσοῦτον, ὡς τὸν ἐν αὐτῷ κείμενον παράδει-

Cap. 2. σον καὶ οἷον μέρος αὐτοῦ, τοῦτον εἶναι ὡς τὸν ἄρδοντα ποταμὸν αὐτὸν μετὰ τὴν ἐκείνου χρείαν ἔξω φερόμενον, τέσσαρας μεγίστους ἀποτελεῖν ποταμούς· λέγονται δὲ, φασὶ, τοῦ Τίγριος αἱ πηγαὶ καὶ τοῦ Εὐφράτου ῥεῖν ἀπὸ τῶν κατ' Ἀρμενίαν ὀρῶν· κἀκεῖ παράδεισος οὐκ ἔστιν· ἀλλ' οὐδὲ τῶν δυεῖν ἑτέρων αἱ πηγαὶ ποταμῶν παράδεισον ἔχουσι παρακείμενον· μή ποτε οὖν ὁ μὲν παράδεισος ποῤῥωτάτω τῆς καθ' ἡμᾶς οἰκουμένης ἐστίν; ποταμὸν δὲ ἔχει ῥέοντα ὑπὸ γῆς, ὃς πολλὰς καὶ μεγάλας ἄρδει φλέβας; ἀλλ' αἱ μὲν πλημμύρουσαι στέγουσι, καὶ ὥσπερ εἰς ἄλλας ἀποχετεύονται φλέβας· αἱ δὲ τῷ κύματι θλιβόμεναι τῆς ἐντὸς βίας ἀνεστομώθησαν, τῇ μὲν ἐν τοῖς ἀρμενιακοῖς ὄρεσι, τῇ δὲ ἑτέρωθι; καὶ ταῦταί εἰσιν αἱ νομιζόμεναι πηγαὶ τῶν ποταμῶν; ἀπόῤῥοιαι μᾶλλον ἢ πηγαὶ προσηκόντως ἂν ὑποληφθεῖσαι διὰ τὸ ἐν ἅπασιν ἀψευδὲς τῶν ἱερῶν γραμμάτων, ἐν οἷς μηνύεται τῶν τε τεσσάρων ποταμῶν ἀρχὴ ποταμὸς ἀλλ' οὐ πηγή· οἱ ποταμοὶ τοίνυν οἱ τέσσαρες, ἐκ τοῦ παραδείσου δι' ἑτέρου μέσου προέρχονται ποταμοῦ· ὁ δὲ παράδεισός ἐστι κατὰ ἀνατολὰς, ὥς φασί τινες, θεοῦ τὸ μέλλον μηνύοντος· ὡς γὰρ οἱ φωστῆρες ἀνατέλλοντες τρέχουσιν εἰς δύσιν, οὕτως ἔδει καὶ τὸν ἄνθρωπον ἐν

τούτῳ τεθέντα, δραμεῖν εἰς θάνατον ἐκ ζωῆς, Cap. 2.
καὶ λαβεῖν ἐξ ἀναστάσεως νεκρῶν ἑτέραν ἀνατολήν· Χριστὸς γὰρ ἐλθὼν ἐποίησεν ἀνατεῖλαι τὸν δύναντα· ὅθεν εἴρηται ἀνατολὴ ὄνομα αὐτῷ, καὶ ὑποκάτωθεν αὐτοῦ ἀνατέλλει τουτέστιν ἐκ τάφων· ὥσπερ δὲ οἱ φωστῆρες ἀλλαχοῦ γεγονότες ἐτέθησαν ἐν οὐρανῷ, οὕτως Ἀδὰμ πλασθεὶς ἔξω, εἰς τὸν παράδεισον εἰσενήνεκται· φησὶ γάρ· καὶ ἐξέβαλεν ὁ θεὸς τὸν Ἀδὰμ ἐκ τοῦ παραδείσου τῆς τρυφῆς ἐργάζεσθαι τὴν γῆν ἐξ ἧς ἐλήφθη· τὸν δὲ παράδεισον οἱ μὲν ἀπὸ τῆς τρίτης ἡμέρας ἐξηνθηκέναι φασὶν ὅτε περ ἡ γῆ] βλαστῆσαι προστέτακται· οἱ δὲ καὶ τὸ " ἔτι " προσκείμενον ἐν τῷ παρόντι ῥητῷ, παρέλκειν φασὶ, διὰ τὸ πέρας εἰληφέναι πάντα ὅσα πεποίηκεν ὁ θεός· τοιγαροῦν καὶ περὶ θηρίων ἐπιφέρει ποιήσεως καὶ πετεινῶν, περὶ τῶν ἤδη γεγονότων τὸν λόγον ποιούμενος, ἐπαναλαβὼν αὐτὰ διὰ τὸ προκείμενον· οἱ δὲ τῷ " ἔτι " προσέχοντες, νῦν τοῦτον βεβλαστηκέναι φασίν.

Ἐτέθη δ' οὖν ὁ ἄνθρωπος ἐν αὐτῷ· τί δὲ v. 15.
καὶ ἤμελλεν ἐργάζεσθαι πᾶσι τοῦ παραδείσου βρύοντος ἀγαθοῖς, ἢ δῆλον ὡς τὴν ἐντολὴν τοῦ θεοῦ τὴν εἰς τὸν δημιουργήσαντα πίστιν; ταῦτα γὰρ φυλάττων εἰργάζετο· τὴν γὰρ ἐντολὴν καὶ ὁ σωτὴρ ἔργον φησὶ, λέγων, τουτέστι τὸ

Cap. 2. ἔργον τοῦ θεοῦ, ἵνα πιστεύσητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος· καὶ ὁ Παῦλος· τὸ ἔργόν μου ὑμεῖς ἐστε ἐν κυρίῳ· φυλάττειν γὰρ ἀπό τινος ἤμελλεν ἑτέρου, μὴ ὄντος λῃστοῦ ἐπιβουλεύοντος; ἀλλὰ τὴν ἐντολὴν φυλάττων, ἐφύλαττεν ἑαυτῷ τὸν παράδεισον ἵνα μὴ παραβὰς ἀπολέσῃ αὐτόν· ἤγουν φυλάττων ἑαυτὸν ἀπὸ τῆς παραβάσεως· ἴσως δὲ φυλάττεσθαι φησὶ τοῦ διαβόλου, ὃς εἰσελθὼν λάθρα τὴν ἀπάτην εἰργάσατο· εἰ δὲ τὴν ἐντολὴν ἐτήρησεν, οὐκ ἂν ἠνέσχετο παραβάσεως ἐξ οἵου δὴ τρόπου γινομένης αὐτῷ· ὅτι δὲ τὸ ἐφύτευσε τῆς περὶ τὸν ἄνθρωπον ἐπιμελείας ἐμφατικὸν, δηλοῖ τὸ ἐπαγόμενον· ἐξανέτειλεν ἔτι· δηλοῖ γὰρ ὡς μόνῳ προστάγματι τὴν ἐκ τῆς γῆς ἀνάδοσιν ἐποιήσατο· καὶ τὸ ξύλον τῆς ζωῆς ἐν μέσῳ τοῦ παραδείσου· καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ τε καὶ πονηροῦ, διὰ τί μὴ ἐν ἐσχάτῳ φασίν; ἵνα μὴ συνεχῶς ὁρῶντες ἐρεθισθέντες ἁμάρτωσιν· ἐπειδὴ περὶ ταῦτα στρέφεσθαι ἡ περὶ τὸν Ἀδὰμ ἤμελλεν ἐντολὴ, ἀναγκαίως ἐν τῷ μέσῳ τοῦ παραδείσου καθειστήκει, ὡς καὶ τοῦ τὴν ἐντολὴν δεχομένου, μέλλοντος ὡς εἰκὸς κατὰ τὸ μεσαίτατον εἶναι κατὰ τὴν τοῦ παντὸς ἀπόλαυσιν ἕξοντος.

Ζητοῦμεν δὲ πότερον τῇ φύσει τῶν δένδρων

ἔκειτο τοῦ μὲν ζωοποιεῖν, τοῦ δὲ τὴν γνῶσιν ἐντιθέναι καλοῦ τε καὶ πονηροῦ, ἢ ἑτέρως θεωρητέον· ὅτι μὲν οὖν τῷ ξύλῳ τῆς ζωῆς ἐνέκειτο ἀθανατίζειν φυσικῶς τὸν ἐσθίοντα, δηλοῖ τὸ ἐκβληθῆναι τὸν Ἀδὰμ παραβάντα τὴν ἐντολὴν, ἵνα μὴ τούτου φαγὼν ζήσεται εἰς τὸν αἰῶνα· οὐ γὰρ περὶ τοῦ ζῆν ἁπλῶς λέγει, ἔζων γὰρ καὶ μὴ φάγοντες, ἀλλὰ περὶ ἀθανασίας· τὸ δὲ ἕτερον ξύλον οὐκ εἶχεν ἐν τῇ φύσει τῶν ἀντικειμένων τὴν γνῶσιν· ὅτε γὰρ προσετάχθησαν μὴ φαγεῖν ἢ ἀποθανεῖσθαι, ᾔδεσαν κακὸν τὸ φαγεῖν καὶ ὡς ἀντὶ τιμωρίας ὁ θάνατος παραβαίνουσιν, ἢ οὔ; ἀγνοοῦσι μὲν οὖν ἡ ἐντολὴ περιττὴ, καὶ ἄτοπος τοῖς ἐν ἀγνοίᾳ παραβᾶσιν ὁ θάνατος· ἐπισταμένοις δὲ, περιττὸν τὸ ξύλον τοῖς ἔχουσι τὴν γνῶσιν πρὶν ἅψονται· περιττὴ δὲ καὶ ἡ παραγγελία τοῦ μὴ γνῶναι ἅπερ ἠπίσταντο· εἰ δὲ τὸ ξύλον εἶχε τὴν γνῶσιν, φθονερὸς μὲν ὁ κωλύων, περιττὴ δὲ ἡ κώλυσις· ἔδει γὰρ πρότερον διὰ τῆς βρώσεως τὴν γνῶσιν λαβεῖν ἢ τῷ αὐτεξουσίῳ δίδωσι χώραν, καὶ τότε λοιπὸν εἰδόσιν νομοθετεῖσθαι τὴν τῶν κακῶν ἀπαγόρευσιν. Cap. 2.

Πῶς οὖν αὐτὸ νοητέον; εἶχον μὲν λογισμὸν δεκτικὸν καλοῦ τε καὶ κακοῦ, τὴν δὲ γνῶσιν οὐκ εἶχον· ὁ δὲ θεὸς χώραν δοῦναι τῷ αὐτεξουσίῳ βουλόμενος, καὶ τῶν ἐναντίων τὴν γνῶσιν, δέν-

Cap. 2. δρον ὑποδείξας ἀπαγορεύει τὴν βρῶσιν, ἀπειλήσας τὸν θάνατον παραβαίνουσιν, ὡς ἂν εἰδεῖεν τὸ παρακοῦσαι κακὸν καὶ τὸ πειθαρχεῖν ἀγαθόν· τὸ οὖν δένδρον δι' οὗ τούτων ἑκάτερον ἐγινώσκετο, ἐκ τούτων εἰκότως ἐκάλεσε, τουτέστιν ὑπακοῆς τε καὶ παρακοῆς· τοῦτο γὰρ δηλοῖ τὸ, καλόν τε καὶ πονηρόν· ὡς ἂν εἰ καὶ τόπος ἀπὸ συμβεβηκότος κληθείη, οἷον βουνὸς μάρτυς, σημεῖον τῶν συνθηκῶν ἃς πρὸς Λάβαν Ἰακὼβ ἐποιήσατο· καὶ φρέαρ ὅρκου οὐ τοῦτον τὸν ὅρκον γεννήσαντος, ἐκ δὲ τοῦ περὶ αὐτὸν γεγονότος ὅρκου, καὶ ἄλλο ἐχθρίας, καὶ ἀδικίας, ἑκάτερον γὰρ τούτων τὴν ὕλην ἔσχε περὶ τὰ φρέατα· πάλιν οἱ ὑπηρέται τοῦ Ἰωὰβ καὶ τοῦ Ἀβεννὴρ περὶ τὴν κρήνην ἀλλήλους συναντήσαντες ἐπεβούλευσαν, καὶ ὁ τόπος ἐπιβουλῶν· καὶ ὥσπερ ὁ νόμος ὁ δοθεὶς ἰουδαίοις θάνατος κέκληται οὐκ ἐν τῇ φύσει τὸν θάνατον ἔχων, ἀλλὰ δι' ὧν παρεβαίνετο· τὸ ἄρα ξύλον οὐκ εἶχε τὸν θάνατον, οὔτε θεὸς τοῦτον εἰργάσατο· ὁ γὰρ θεὸς ἔκτισε τὸν ἄνθρωπον ἐπὶ ἀφθαρσίᾳ, καὶ εἰκόνα τῆς ἰδίας ἀϊδιότητος ἐποίησεν αὐτόν· καὶ ὁ θεὸς θάνατον οὐκ ἐποίησεν οὐδὲ τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων· φθόνῳ δὲ τοῦ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον, ὡς ἡ σοφία Σολομῶντος δηλοῖ· τοιγαροῦν πρὸ τῆς

παραβάσεως προτρέπεται αὐτὸν τοῦ ξύλου μεταλαβεῖν τῆς ζωῆς· ἓν γὰρ ἦν τῶν πάντων περὶ ὧν φησὶν ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φάγῃ, καὶ μέσον ὂν πλέον τῶν ἄλλων τῶν αὐτῷ προκειμένων. Cap. 2.

Τινὲς δὲ ἐν τῷ καρπῷ τοῦ ξύλου τὴν γνῶσιν ὑπέθεντο· καὶ ἣν φασὶ καλὴ τῷ χρωμένῳ κατὰ τὸν καιρόν· ὁ δὲ Ἀδὰμ νήπιος ἦν· στερεὰ γὰρ τροφὴ τοῖς νεωστὶ τεχθεῖσιν ἀνάρμοστος· ἐπεὶ καὶ παρθένος φθαρεῖσα πρὸ γάμου, αὐτὸν μὲν πάσχει ταῖς γαμουμέναις, ἀλλὰ παρὰ τὸν γάμον καὶ τὸν καιρὸν τὸν ἀρέσκοντα τῷ πατρί· καὶ τιμωρεῖται οὐ διὰ τὴν φύσιν τοῦ πράγματος, ἀλλὰ διὰ τὸν τρόπον τῆς παραβάσεως· οὕτω καὶ Ἀδὰμ ὑπεύθυνος γίνεται τιμωρίᾳ, οὐχ' ὡς ἀπηγορευμένου τινὸς ἁψάμενος, ἀλλ' ὡς τὸ ἐντολῇ ἀπηγορευμένου σφετερισάμενος· ἅμα δὲ καὶ δι' ὑπακοῆς αὐτὸν ὁ θεὸς δοκιμάζειν ἠβούλετο· ὅθεν παραβάντι, πρὸς ἐπιστροφὴν ὁ θάνατος εὕρηται· παραβὰς γὰρ εναπεμάξατο τὴν κακίαν ἣν ὁ ταύτης εὑρετὴς διάβολος ἀπεκύησε, πόνον κατὰ τὴν γραφὴν συλλαβών· ὅθεν οὐ συγχωρεῖται τοῦ τῆς ἀθανασίας ξύλου μεταλαβεῖν· τοὺς δερματίνους δὲ χιτῶνας ἐνέδυσε νέκρωσιν ῥίσας αὐτοῖς· τούτους γὰρ οὐ τὰ σώματα νοητεόν· καὶ πρὶν γὰρ τούτους ἐνδύσασθαι

Cap. 2. φησὶν ὁ Ἀδάμ· τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου· εἰ δὲ πρὸς τιμωρίαν ὥς φασιν ἐνεδοῦντο τὰ σώματα, οὐκ ἔσται τούτων ἀνάστασις· καὶ λοιπὸν ἐντεῦθεν νοητὰς ὑποτίθενται σάρκας· καίτοι φησὶν ὁ σωτὴρ, ἀπ' ἀρχῆς ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτοὺς, ὅπερ σωμάτων ἴδιον.

Πῶς δὲ ἐπὶ ψυχῶν ἁρμόσει τὸ αὐξάνεσθε καὶ τὸ πληθύνεσθε; πῶς δὲ ἔλαβεν χοῦν ἀπὸ τῆς γῆς καὶ ἔπλασεν ἄνθρωπον, ὅπέρ ἐστι τοῦ σώματος; τίς δὲ καὶ ἡ γύμνωσις ἡ τοῦ σώματος; τί δὲ τὰ δὲ φύλλα τῆς συκῆς περιέσκεπεν; οὐκοῦν πρόδηλον ὡς δὴ σεσωματοποίηται πρὸ τῶν δερματίνων χιτώνων ὁ ἄνθρωπος· ἀναπλασθεὶς οὖν κακίας, ἔξω γέγονε τοῦ παραδείσου, ὅπως μὴ τοῦ ξύλου μεταλαβὼν τῆς ζωῆς, ἔχῃ ταύτην ἀθάνατον ἐν ἀθανάτῳ σώματι, ἅπαξ ἐν αὐτῷ διὰ τῆς παραβάσεως ἐμφωλεύσασαν· οὐ γὰρ ὡς φθονήσας αὐτῷ τῆς ζωῆς ὁ θεός· ἢ διά τι Χριστὸς ἐξ οὐρανῶν ἀπεστέλλετο, εἰ τὸν ἄνθρωπον ἤθελε διὰ παντὸς ἀπεστερῆσθαι ζωῆς; ἔδει τοίνυν νεκρωθῆναι θανάτῳ τὴν ἁμαρτίαν, ἵν' ἐκτακείσης ὁ ἄνθρωπος φάγῃ λοιπὸν τῆς ζωῆς· ὁ δὲ τὴν σάρκα τῆς ἀθανασίας ἀνεπίδεκτον ὁριζόμενος, ὑπὸ τοῦ ῥητοῦ διελέγχεται, λέγοντος καὶ μετὰ τὴν τῶν δερ-

ματίνων χιτώνων κατασκευὴν ἐκβεβλῆσθαι τὸν Cap. 2.
Ἀδὰμ ἵνα μὴ φαγὼν αἰωνίου μεταλάβῃ ζωῆς, ὡς δυνάμενος δηλαδὴ μὴ ἀποθανεῖν εἰ μεταλάβοι τῆς βρωσέως· οὐκοῦν ἠκολούθη διὰ τοῦ θανάτου τὴν ῥίζαν τῆς ἁμαρτίας ἐξαφανισθῆναι τοῦ σώματος, ἵνα μὴ δὲ βραχύτατον αὐτῆς ἀπομένον, νέους ἁμαρτημάτων ἀναδιδοίη βλαστούς· τοῦτο πολλάκις καὶ ἐν ναῶν οἰκοδομήμασι γίνεται· συκῆς γὰρ τυχὸν ἐν αὐτοῖς γεννηθείσης, καὶ ταῖς τῶν λίθων ἁρμονίαις ῥίζας παραπεμψάσης ἀφανεῖς τε καὶ φανερὰς, λύσις τούτων ἐξ ἀνάγκης ἀκολουθεῖ· οὐ γὰρ παύεται τῆς ἐκφύσεως μὴ πάσης ῥίζης ἀνῃρημένης· οὗ δὴ γεγονότος οἱ λίθοι λοιπὸν ἀβλαβῆ τὴν ἐξ ἀρχῆς ἁρμονίαν ἐκτήσαντο· οὕτως οὖν ἡ σὰρξ ἀνίσταται τελέως ἐκ βάθρων ἀνῃρημένης τῆς ἁμαρτίας· νῦν γὰρ διὰ ταύτην καὶ νουθεσίας ὑπερορᾷ, καὶ μετὰ τὸ βάπτισμα πλημμελεῖ, καὶ μόνης τῆς ἐκ θανάτου δέδεκται διορθώσεως· ἐν τῇ ἀναστάσει, τοῦ θεοῦ δίκην κεραμέως αὐτὴν ἀναπλάττοντος συντριβεῖσαν διὰ τῆς πτώσεως· νῦν δέ τις οὕτω καθαρὸς ὡς μὴ δὲ ῥυπαρὸν ἀναδέχεσθαι λογισμὸν, εἰ καὶ τούτους ἐκκόπτειν σπουδάζομεν; ἵνα μή τις ῥίζα πικρίας ἀναφύουσα ἐνοχλήσῃ.

Δέδωκε δὲ φασί τινες νόμον οὔτε βαρὺν, καὶ

Cap. 2. τῷ καιρῷ κατάλληλον· ἀποχὴ γὰρ ἑνὸς ὑπῆρχε φυτοῦ τοσούτων ὄντων ἑτέρων ἐκπρεπῶν ὄψει καὶ βρώσει· μηδενὸς γὰρ πλὴν Ἀδὰμ τότε τυγχάνοντος, ποίαν εἶχε χώραν τὸ ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν; ποίαν δὲ τὸ, οὐ φονεύσεις, οὐ κλέψεις; ἢ τὸ περὶ ἀθανασίας μελλούσης ἢ ἀτρεπτότητος, νηπίου τούτου τυγχάνοντος; οὐκ εἶχεν οὖν παραβὰς ἐξ ἀμελείας, αἰτιᾶσθαι τὴν τοῦ προστεταγμένου βαρύτητα, λαβὼν τὴν ἐντολὴν ὡς ἂν ἔχοι ἐν ἑαυτῷ τὸ λογικὸν ἐνεργὸν, οὗ καὶ τὴν δύναμιν ἤμελλεν ἀγνοεῖν, καλοῦ καὶ πονηροῦ γνῶσιν ἐμποιοῦσαν αὐτῷ, μὴ τῆς ἐντολῆς δεδομένης· ὥσπερ δὲ φασὶ τὸ δένδρον τοῦ εἰδέναι καλὸν καὶ πονηρὸν οὐκ τῆς φύσεως ἐκ δὲ συμβεβήκοτος οὕτως ἐλέγετο, οὕτω καὶ τὸ τῆς ζωῆς· ἀνόητον γὰρ ξύλῳ τοιαύτην περιθεῖναι δύναμιν, φθαρτῷ δηλονότι τυγχάνοντι καὶ τοιοῦτον ἔχοντι τὸν καρπόν· μᾶλλον δὲ μειζόνως· πᾶν γὰρ δένδρον τῶν ἰδίων καρπῶν μᾶλλόν ἐστι παραμόνιμον· ὥσπερ δὲ ὥρισε παραβαίνοντι τιμωρίαν Ἀδὰμ, ἐπιμελέστερον αὐτὸν ἐργαζόμενος πρὸς ἀποτροπὴν τῆς παραβάσεως, οὕτω πρὸς τὴν ταύτης φυλακὴν προτρεπόμενος, βασιλείαν μὲν οὐρανῶν παρῆκεν εἰπεῖν, μεῖζον ὂν ἢ κατὰ τὴν τοῦ ἀκούοντος δύναμιν· ὅπου γε οὐδὲ τοῖς ἰουδαίοις μετὰ τοσοῦ-

τον χρόνον ταύτην ὑπέσχετο, ἀλλ' ὡς ἔτι νη- Cap. 2.
πιάζουσι γῆν μέλι καὶ γάλα ῥέουσαν ἐπαγγέλλεται· ἕτερον δὲ ξύλον πλησίον ὑπέδειξεν, ἐκπρεπὲς μεγέθει καὶ ὄψει, τὸν τούτου καρπὸν εἰ φυλάττοι τὴν ἐντολὴν ὑποσχόμενος· οὗ δὴ κερδάνας τὸν θάνατον καὶ ἐν ζῶσιν ἐξεταζόμενος, μεθέξει διὰ παντὸς, ὅπερ καὶ ζωῆς ἐκάλεσε ξύλον· ὡς ἂν ἐπὶ ζωῆς ἀπολαύσει διηνεκοῦς τὴν βρῶσιν αὐτῷ ὑποσχόμενος· συκῆ δὲ, φασὶ, τῶν δένδρων τὸ ἕτερον ἄλλοις τε εἴρηται, καὶ παρίστησιν ἡ γραφή.

Ὄνομα τῷ ἑνὶ Φισῶν, οὗτος ὁ κυκλῶν· οὐ v. 11.
καλλιγραφίας ἕνεκα καθάπερ οἱ ἔξω γράφοντες τὰς ἱστορίας, ἡ γραφὴ ταῦτα παρήγαγε· τὸ δὲ κάλλος εἰποῦσα τοῦ παραδείσου, καὶ τὸ μέ-
γεθος διὰ τούτων παρίστησι· τί οὖν βούλεται v. 12.
τὸ ἐκεῖ γίνεται τὸ χρυσίον τὸ καλὸν καὶ ὁ ἄνθραξ καὶ ὁ λίθος ὁ πράσινος; ἔδει γὰρ εἰ γεωγραφεῖν ἤθελε, τῶν ἄλλων κατὰ χώραν μεμνῆσθαι καλῶν· ἀλλ' ἐπιλέγεται χρυσίον καὶ δύο λίθους, τὰς ἀπαρχὰς τῆς ἱεροσύνης· ὁ γὰρ ἱερεὺς ἐφόρει πέταλον χρυσοῦν καὶ δύο λίθους ἐπὶ τοῦ στήθους· τούτων ὁ πράσινος ἀφώρισται τῇ ἱερατικῇ φυλῇ θεωρίαν ἐχούσῃ τὴν ἐπουράνιον· ὁ δὲ ἄνθραξ τῇ βασιλικῇ, ἐπειδὴ πυρός τε ἴδιον τὸ καίειν καὶ φωτίζειν, καὶ βασιλέως

Cap. 2. εὐεργετεῖν καὶ κολάζειν· ὅθεν ἐν τούτῳ τὸν Ἰούδαν ἐξέθετο ἐξ οὗ ὁ Χριστός· ὅθεν Ἡσαίας ποιεῖ πρὸς Ἱερουσαλὴμ λέγοντα τὸν θεόν· ἐπὶ τῶν χειρῶν μου ἐζωγράφησά σου τὰ τείχη· ἰδοὺ ἑτοιμάζω ἄνθρακα τὸν λίθον σου, τὸν σωτῆρα λέγων· καὶ πάλιν ἰδοὺ τίθημι λίθον ἐν Σιὼν, καὶ τὰ ἑξῆς.

v. 17. Ἧι δ' ἂν ἡμέρᾳ φάγησθε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε· νεκρὸς γὰρ ἦν ὑπὸ τὴν ἀπόφασιν κείμενος, κἂν εἰ ζῆν ἔτι δοκοίη· ὥσπερ ὁ Παῦλος τοὺς ἀποθανόντας ἐπ' ἐλπίδι τῆς ἀναστάσεως, κοιμωμένους ὠνόμασεν, ὕπνον λοιπὸν οὐ θάνατον ἐκεῖνον ἡγούμενος· ἀλλ' ὁ μὲν θεὸς μετὰ τὴν παράβασιν εἰς ἐννακοσία τριάκοντα ἔτη τὸ ζῆν ἐξέτεινε τοῦ Ἀδὰμ, συστῆναι τὸ γένος τῶν ἀνθρώπων βουλόμενος· τὴν δὲ τῆς ἀπειλῆς τιμωρίαν οὐκ εἰς τὸ ἀποθανεῖν, ἀλλ' εἰς τὸ γενέσθαι θνητὸν ἐξεπλήρωσε, βαρυτέραν τῆς τιμωρίας ἤπερ ἤμελλεν αὐτὴν ἐπὶ τῶν ἔργων ποιεῖν, ἐνδειξάμενος· ὅπερ ἔθος αὐτῷ πρὸς σωφρονισμὸν τῶν παιδευομένων ποιεῖν· ἀπειλῶν γὰρ μείζονα, ἀγαθότητι περικόπτει τὴν τῆς τιμωρίας βαρύτητα· ἐπεὶ καὶ τὸν θανάτον αὐτὸν, σωφρονίζων Ἀδάμ τε καὶ μετ' αὐτὸν ἀνθρώπους, ἠπείλησεν· ἦν γὰρ, φασὶν, οὐ κατὰ τὸ ἀληθὲς τιμωρία, πρᾶγμα δὲ ἄνωθεν αὐτῷ δεδογμένον εἰς

ὄφελος οἰκονομηθὲν τῆς κτίσεως· οὐ γὰρ ἀθανάτους ποιήσας ἐσχάτην γνώμην ὀργῇ τῆς ἁμαρτίας μετέβαλεν· ἀπαθές τε γὰρ τὸ θεῖον, κἂν θυμοῦσθαι πρὸς ὠφέλειαν ἡμετέραν δοκῇ· καὶ οὐκ ἂν ὠργίσθη τοσοῦτον ὡς διὰ τὴν βρῶσιν μίαν αὐτὸν ἡμαρτηκότα μόνον καὶ πάντας δὲ τοὺς μήπω γεγονότας κατέκρινεν, ὅς γε καὶ τοσούτων παρανομιῶν καὶ πάσης ἀσεβείας καταδραμόντων τοῦ γένους ἡμῶν μέχρι τῆς Χριστοῦ παρουσίας, ἁπάντων ἄφεσιν ἐποιήσατο· πῶς δ' ἂν καὶ ὀργίζοιτο ὁ πρὶν γενέσθαι πάντα σαφῶς ἐπιστάμενος οὐχ' ἧττον ἢ μετὰ τὸ γενέσθαι; ἀθανάτους δὲ γενέσθαι βουλόμενος οὐκ ἂν παρέσχε τὴν ἐντολὴν ἀφ' ἧς ἁμαρτάνειν ἠμέλλομεν, καὶ παρὰ τὴν αὐτοῦ κρίσιν τοιαύτῃ τιμωρίᾳ περιπεσεῖν· ἀλλὰ φιλάνθρωπος ὢν καὶ βουλόμενος ἄτρεπτα πάντα ποιῆσαι τὰ λογικὰ, ἵνα μὴ τῇ ἑαυτῶν ἐπιγράψωσι φύσει τὴν τοιαύτην κατάστασιν, εἰδεῖεν δὲ χάριν τῷ μετὰ τοῦ εἶναι καὶ τὸ εὖ εἶναι δωρησαμένῳ, ὥσπερ γυμνάσιον καὶ διδασκαλίαν τοῦ μέλλοντος τὸν παρόντα βίον κατεσκευάσατο· ἐπιῤῥίψας δῆθεν τῇ ἁμαρτίᾳ τὸν θάνατον, ἵνα τὴν ἡμετέραν ἐγνωκότες ἀσθένειαν ἡμεῖς τε αὐτὸ καὶ δι' ἡμῶν αἱ νοεραὶ δυνάμεις τοῦ θεοῦ τὴν μέλλουσαν δωρεὰν ἔτι μειζόνως ποθήσωμεν, πνεύματος ἁγίου Cap. 2.

Cap. 2. δυνάμει, ψυχῇ τε καὶ σώματι τὴν ἀτρεψίαν δεχόμενοι.

v. 18. Οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον, ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν· πάλιν ἐπανάληψις, οὐκ ἐπ' ἀναιρέσει τῶν πρόσθεν, ἀλλὰ ἐπ' ἀναπληρώσει τοῦ λείποντος τρόπου τῆς γυναικείας κατασκευῆς, τῶν περὶ τοῦ παραδείσου μέσων ἐμβεβλημένων· ἁρμόσει γὰρ τὰ περὶ τῆς γυναικὸς ἐφεξῆς ἀποδίδοσθαι τῷ καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν· ἐξήρτησε δὲ ἐπίτηδες τοῦ ἀνδρὸς τὴν γυναῖκα, τὸ κρεῖττον ἀποδεικνὺς τῆς τοῦ ἄῤῥενος φύσεως· γυνὴ γὰρ ἐκτίσθη διὰ τὸν ἄνδρα· καθὰ καὶ Παύλῳ δοκεῖ· αἰτιατοῦ γὰρ κρεῖττον τὸ αἴτιον, ὡς καὶ τοῦ σαββάτου ὁ ἄνθρωπος, φησὶν ὁ σωτήρ· αἴτιον δὲ οὐ ποιητικὸν ὡς θεὸς ὁ ἀνὴρ, ἀλλ' ὡς τελικὸν ὤν περ καὶ γέγονεν· ἅμα δὲ καὶ τὸν Ἀδὰμ πεῖσαι τῇ πείρᾳ βουλόμενος δι' ὁμοίου παραδείγματος ὡς καὶ αὐτοῦ δημιουργός ἐστι καὶ ποιητής· ὅτι δὲ ἐπανάληψις τὸ παρὸν, δῆλον· κοινῶς γὰρ ἀμφότεροι τὴν περὶ τοῦ μὴ φαγεῖν ἔλαβον ἐντολὴν, καὶ ὡς παραβάντες ἐτιμωρήθησαν· τινὲς δὲ τὰ πρῶτα κατὰ προαναφώνησιν λέγοντες, φασὶ τιμωρηθῆναι καὶ τὴν γυναῖκα ὡς μαθοῦσαν τὴν ἐντολὴν ἐξ Ἀδάμ· ὡς καὶ οἱ ὕστερον Ἰουδαῖοι τῶν πατέρων δεξαμένων τὸν

νόμον· ὅρα δὲ ὡς κἂν τῇ πλάσει τῆς γυναικὸς Cap. 2.
βουλὴν ὁμοίως προτέθεικε, καὶ τὸ ποιήσωμεν ὡσαύτως φησίν· ἐπειδὴ τὰ πρὸς διδασκαλίαν ὁμοίως ἦν ἀναγκαῖα τῷ θήλει· μηδὲν ἐλαττωμένῳ τοῦ ἄῤῥενος ἐν τοῖς τῆς εὐσεβείας διδάγμασί τε καὶ λόγοις· φησὶ γὰρ ὁ μακάριος Παῦλος· πλὴν οὔτε ἀνὴρ χωρὶς γυναικὸς, οὔτε γυνὴ χωρὶς ἀνδρὸς ἐν κυρίῳ· εἰ γὰρ καὶ δευτερεύει τῷ σώματι, ἀλλ' οὖν κατὰ ψυχὴν ἀθάνατόν τε οὖσαν καὶ λογικὴν, οὐδὲν τοῦ ἄῤῥενος διενήνοχεν, οὐδὲ κατὰ τὸν τῆς οὐσίας λόγον· βοηθὸν δὲ φησὶ κοινωνὸν τῶν κατὰ τὸν βίον ἁπάντων· καὶ τὸ κατ' αὐτὸν δὲ, τὴν τῆς φύσεως ὁμοτιμίαν παρίστησιν· ἔστη γὰρ παρὰ κρείττονος καὶ παρ' ἐλάττονος ἔσθ' ὅτε βοηθεῖσθαι, ὡς παρὰ τῶν ἀλόγων ζώων· ἀλλ' ὅτι μηδέν ἐστι τούτων κατὰ τὸν Ἀδὰμ μὴ δὲ τῆς ὑπὸ θεοῦ κοινωνεῖν ποιήσεως, μειζόνως ἐστὶ δοῦλα καὶ τοῖς ποσὶν ὑποτέτακται αὐτοῦ κατὰ τὸν ψαλμῳδόν.

Ἀναγκαίως οὖν ἐπαναλαβὼν τὸν περὶ αὐτῶν v. 19.
λόγον ἤδη πεποιημένων, φησὶν ὡς ποιήσας αὐτὰ, τῷ Ἀδὰμ ὡς ἂν δεσπότῃ προσήγαγε· δεσπότου γὰρ τὸ τοῖς κτίσμασι τιθέναι προσηγορίας· προστάξας ἐπιθεῖναι τούτοις ὀνόματα· ὁ δὲ ταῦτα σοφῶς καθ' ἣν ἐκ θεοῦ δύναμιν εἴληφε πρὸς τὰς οὐσίας τούτων ἐτίθετο, ὡς καὶ

Cap. 2. τῇ γυναικὶ διττὴν προσηγορίαν ἐτίθετο, τὴν μὲν ἀπὸ τῆς σχέσεως τοῦ ἀνδρὸς ἐξ οὗ περ εἴληπτο· ὅθεν τὶς ἑρμηνεύσας, ἀνδρίδα ταύτην παρωνύμως ἐξέδωκε, τὴν δὲ ὡς μητέρα τῶν ζώντων καλέσας ζωήν· ὡς φυσικῶς δὲ τὰ θέντα πάντα ἅπερ ὠνόμασε θεὸς ἐβεβαίωσεν· ὥσπερ δὲ διὰ τοῦ πρώτου ἀνθρώπου τούτων ἄρχει οἱ ἐφεξῆς πάντες εἰλήφαμεν, οὕτω καὶ τὸ τιθέναι τούτοις προσηγορίας γλῶτταν ἕκαστος τὴν ἰδίαν· ἅμα δὲ καὶ διὰ τοῦτο τὸν περὶ τῶν ἀλόγων προὔλαβε λόγον· ἵνα κατὰ καιρὸν εἴπῃ διὰ τοῦτο τῶν εἰς ἄῤῥεν καὶ θῆλυ διῃρημένων παραδείγ-
v. 20. ματος, τῷ δὲ Ἀδὰμ οὐχ' εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ· καὶ ἅμα δεικνὺς ὡς οὐ κατὰ τὸν αὐτὸν τρόπον ἐκείνοις τὸ ἄῤῥεν τε καὶ θῆλυ γεγένηται· καί τοι δὲ δυνάμενος καὶ ἐπὶ ταύτῃ λαβεῖν μὲν χοῦν ἀπὸ γῆς, διαπλάσαι δὲ κατὰ τὸν ἴσον τρόπον καθ' ὃν τὸν Ἀδὰμ, τοῦτο μὲν οὐ ποιεῖ· ἴσως μὲν καὶ ὅτι οὐκ ἦν θεοῦ χειρῶν δευτερεῖον τι ποιεῖν καὶ τοῦ ἀνδρὸς καταδεέστερον· ἀκρότατα γὰρ αἱ θεοῦ χεῖρες ἐργάζονται, οἷον ἐποίησαν τὸν Ἀδάμ· οὐκ ἦν δὲ πάλιν ἀλόγων δίκην ἐκ γῆς ἐξενεχθῆναι προστάγματι κατὰ τὸν ἄνδρα μέλλουσαν γίνεσθαι· ὅθεν καινότερον τρόπον ποιήσεως ἐπινοεῖ τὸν ἀπὸ τῆς διαιρέσεως, καὶ ἅμα τῷ ἀνδρὶ τὴν ἐπ' αὐτῇ διάθε-

σιν ἐμφυτεῦσαι βουλόμενος, βραχύ τι παρὰ Cap. 2.
τούτου λαβὼν καὶ προσφήνας τὸ λεῖπον, εὖ μάλα διηρτισμένην προσήγαγε· νυμφαγωγοῦ τινος τρόπον ἐκ φιλανθρωπίας ἀναλαβών· τοιγαροῦν ἐξ ἐμφύτων κινημάτων ἀρθεὶς πρὸς ἀγάπησιν καὶ μόνον οὐ περιφὺς, τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου φησίν· εἰκὼν γὰρ ὑπῆρξεν θεοῦ· ὅθεν εἰκότως ἄνδρες κἂν μυρίων φροντίδων πλήρεις ὑπάρχοιεν, ὁρῶντες μόνον τὰς γυναῖκας τῶν λυπούντων ἐπιλανθάνονται· καὶ βοηθὸς εἰκότως ὠνόμασται, διοικοῦσα καὶ τ' ἄνδον ὥσπερ ἐκεῖνος τὰ ἔξωθεν.

Ἔκστασις δὲ, τὸ ἔξω γενέσθαι τῆς συνήθους v. 21.
αἰσθήσεως, οἷα φιλεῖ θεὸς οἰκονομίας χάριν ποιεῖν· οὕτω καὶ τῷ Ἀβραὰμ ἐπέπεσεν ἔκστασις εἰς τὸ δέξασθαι τῶν ἀποκαλυπτομένων τὴν θεωρίαν· εἴτε γὰρ νήφοντος ἀνεπαισθήτως παρείλετο τὴν πλευρὰν, τὸ πρᾶγμα φαντασίαν ἐνόμιζεν· εἴτε γέγονεν αἴσθησις, τὴν ὀδύνην οὐκ ἔφερεν· εἰκότως οὖν ἐκστὰς τῆς συνήθους καταστάσεως, διὰ τῆς ἀποκαλύψεως θείας, ὡς δι' ὀνείρου τοῦ γεγονότος τὴν γνῶσιν ἐδέξατο· τὸ γὰρ ὕπνωσεν οὐχ' ὕπνον, φασὶν, ἀκαριαῖον δηλοῖ ἐν ᾧ τὴν γυναῖκα θεὸς ἅμα τῷ θέλειν ἐποίησεν, ἀλλὰ τῆς ἐκστάσεως τὸ εἶδος δηλοῖ· τοιαῦται γὰρ καὶ παρὰ τοῖς προφήταις ἀποκαλύψεις ἐγίνον-

Cap. 2. το ἐγρηγόροσι μὲν πολλάκις κατὰ δὲ θείαν
ἐνέργειαν, ὡς ἐν ὀνείρῳ δεχομένοις τὴν θεω-
v. 22. ρίαν ὧν αὐτοῖς ἀποκαλύπτειν ἠβούλετο· ᾠκοδό-
μησε δέ φησιν, ἐπεὶ καὶ τῆς οἰκοδομίας ὁ νό-
μος, ἀπὸ μικροῦ τινος ἀρχομένης πρὸς τέλειον
πέρας ἐκφέρεσθαι ταῖς κατὰ μέρος προσθήκαις·
βραχεῖ γὰρ ὁ θεὸς τῷ ληφθέντι τὸ λεῖπον αὐ-
τίκα προσέθηκεν· ἐπὶ μὲν οὖν τοῦ Ἀδὰμ διῃρη-
μένως εἶπε τοῦ σώματος καὶ τῆς ψυχῆς μετὰ
τοῦτο τὴν ποίησιν· ἐπὶ δὲ τῆς Εὔας τοῦ σώμα-
τος μόνον εἶπε καθ' ὃ καὶ διήλλατται· δηλῶν
ὡς τῶν ὁμοουσίων ἡ αὐτὴ δημιουργία καὶ κατὰ
θείαν ἐνέργειαν ἡ ψυχὴ γεγονότι ἐνῳκίσθη τῷ
σώματι· ὅπερ γέγονεν ἐπ' Ἀδὰμ, καὶ νῦν δὲ
γίνεται, διαμορφουμένων ἐν γαστρὶ τῶν σωμά-
των, καὶ κατὰ τὸν θεῖον ὅρον ἐνοικιζομένων εὐ-
θὺς αὐτοῖς τῶν ψυχῶν· καὶ ἐπ' Ἀδὰμ γὰρ ἐνε-
φύσησεν εἶπε, δηλῶν τὴν θείαν ἐνέργειαν· ὅθεν
ὁ ἐκτρῶσαι ποιήσας ἀμόρφωτον ἔμβρυον φόνου
δίκην κατὰ νόμον τὸν θεῖον οὐ δίδωσιν ὡς οὔ-
πω γενόμενον ἄνθρωπον.

Ὅμοιον δὲ τοῖς ἀλόγοις ζώοις τὸ, καὶ ἤγα-
γεν αὐτὴν πρὸς Ἀδάμ· ἀλλ' ἐκεῖ μὲν ἰδεῖν τι
καλέσει αὐτὰ ᾠκείωσεν αὐτὰ ὡς ἂν αὐτῶν κατὰ
v. 23. τὴν ἰδίαν χρείαν κρατοῖεν, ἐνταῦθα δὲ τοῦτο νῦν
ὀστοῦν ἐκ τῶν ὀστῶν μου, διαφόρῳ οἰκειότητι

τὸ ὁμοούσιον τῆς γυναικὸς παριστῶν· τὸ δὲ ὅλον Cap. 2.
τοῦτο κατὰ θείαν εἶπεν ἐπίπνοιαν· οὐ γὰρ ἂν ἐξ ἑαυτοῦ ὅθεν τε καὶ εἰς ὅ τι γέγονεν ἔγνω· τοιγαροῦν ὁ κύριος μὴ προσήκειν εἰπὼν γυναῖκα τοῦ ἀνδρὸς ἀποζεύγνυσθαι, τῷ θεῷ φωνὴν τὴν παροῦσαν ἀνέθηκεν, εἰπὼν, ὁ γὰρ ποιήσας ἐκ τῆς ἀρχῆς ἄῤῥεν καὶ θῆλυ ἐποίησεν αὐτοὺς, καὶ εἶπεν· ἕνεκεν τούτου καταλείψει ἄνθρωπος, καὶ τὰ ἑξῆς· διὰ δὲ τούτων ἐδήλωσεν ὅτι ὅλη ἐξ ὅλης αὐτοῦ γέγονε τῆς οὐσίας· σοφῶς δὲ λίαν ἀπὸ ἑνὸς πλάττει δύο· ὅπως ἕνα πάλιν ἀπὸ τῶν δύο ποιήσειε συναπτομένων ἀλλήλοις τῷ γάμῳ· καὶ ἐπειδὴ ἐκ τῆς πλευρᾶς ταύτης ἀφορμὴ προῆλθε τῆς διὰ τῆς γυναικὸς παραβάσεως, ἡ γὰρ γυνὴ γέγονεν ἐκ τῆς πλευρᾶς, θεραπεῦσαι βουλόμενος τὴν πληγὴν ὁ σωτὴρ, πλευρὰν ἀντιτίθησι, ζωὴν πηγάσας ὅθεν προῆλθεν ὁ θάνατος· καὶ μιμεῖται τὸν Ἀδὰμ μετὰ κοίμησιν ταύτην νυττόμενος· καὶ ὥσπερ ἐκεῖνος φλογίνῃ στρεφομένῃ ῥομφαίᾳ τοῦ παραδείσου ἐκβέβληται· τὸ δὲ στρεφόμενον στρέφεται μέχρι τύχῃ τινὸς ἀντερείδοντος, τὴν ἰδίαν πλευρὰν ὥσπερ ἔρεισμα τῇ λόγχῃ παρέσχετο, τὸν παράδεισον ἀνοίγων δι᾽ ἧς κεκλεῖσθαι συνέβαινεν· ἔδει γὰρ ἐν τῷ σταυρῷ πάντα λυθῆναι τὰ κατὰ τοῦ Ἀδάμ· τῇ οὖν αἰσθητῇ ῥομφαίᾳ τὴν φλογίνην κατέπαυσεν, πρὸς ἣν οὐδεὶς ἀντιστῆναι στρεφομένην ἠδύνατο.

Cap. 2. v. 23. Ἐπιστατέον δὲ ὅτι οὐχ' ὥσπερ εἶπε, τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου, οὕτως καὶ ψυχὴ ἐκ τῆς ψυχῆς μου· μεριστὴ μὲν γὰρ τῶν σωμάτων ἡ φύσις, ἀμέριστος δὲ ἡ τῶν ἀσωμάτων οὐσία· οὐ γὰρ ψυχὴ ψυχὴν εἰς τὴν οὐσίαν γεννᾷ καθάπερ τὰ σώματα· ὅθεν ὁμοιότης ἐπ' αὐτῷ διασώζεται· ἐγέννησε γὰρ φησὶν Ἀδὰμ κατὰ τὴν ἰδέαν αὐτοῦ καὶ κατὰ τὴν εἰκόνα αὐτοῦ· ἐπὶ δὲ τῶν ψυχῶν ἀνομοιότης· οὐ δίκαιος γὰρ ἐκ δικαίου, οὐδ' ἄδικος πάντως ἐξ ἀδίκου προέρχεται· τοιγαροῦν Ἀδὰμ Ἄβελ καὶ Κάϊν γεννᾷ, καὶ Ἰσαὰκ Ἡσαῦ τε καὶ Ἰακώβ· ἀμέριστος γὰρ ἡ εἰκὼν ὡς καὶ τῶν νοητῶν τὸ πρωτότυπον· τὸ δὲ αὐτεξούσιον αὐτῆς τροπὰς δεχόμενον προαιρέσεων ἀλλοίωσιν κατ' οὐσίαν οὐκ ἐπιδέχεται· καλῶς δὲ καὶ τὸ τοῦτο νῦν ὀστοῦν· τὸ γὰρ γυναῖκα φησὶν ἐκ τοῦ ἀνδρὸς πλασθῆναι, νῦν μόνον συνέβη. Σύμμαχος δὲ καὶ Θεοδοτίων ἀντὶ τοῦ νῦν τὸ " ἅπαξ ,, ἡρμήνευσαν. Αὕτη κληθήσεται γυνὴ ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη· οὐκ ἐπειδὴ ἐλήφθη κέκληται, φασὶν, ἀλλ' ἔστι τὸ μὲν γυνὴ τῆς γαμικῆς συναφείας σημαντικόν· τοιγαροῦν ἀντιδιαιρεῖ Παῦλος τὴν γυναῖκα τῇ παρθένῳ λέγων· μεμέρισται καὶ ἡ γυνὴ καὶ ἡ παρθένος, περὶ ἀγάμων καὶ γεγαμημένων τὸν λόγον ποιού-

μενος· αὐτὸ δὲ τὸ γαμικὸν καὶ ἡ πρὸς τὸν ἄν- Cap. 2.
δρα σχέσις διὰ τοῦτό ἐστιν ἐπειδήπερ ἐστὶν ἐξ
αὐτοῦ· εἰκότως γὰρ αὐτῷ συνάπτεται τῆς αὐ-
τῆς οὐσίας ὑπάρχουσα. Λοιπὸν τὸν ἐξ ἐκείνου
διατρέχοντα νόμον δηλῶν, ἕνεκα τούτου φησὶ v. 24.
καταλείψει ἄνθρωπος, καὶ τὰ ἑξῆς· καὶ ἐπειδὴ
τῆς γαμικῆς συναφείας ἡγεμὼν ὁ ἀνὴρ, ἐπ' αὐ-
τοῦ τὸν λόγον ἐξήτασε· καὶ ἐπεὶ ἐκ τοῦ γάμου
κέκληνται καὶ γονεῖς, καὶ δεῖ κατὰ τὸν θεῖον
ὅρον συνεστάναι τὸ γένος, ἀναγκαίως προτιμᾶ-
ται γονέων γυνή· εἰς σάρκα δὲ μίαν φησίν· ἅμα
μὲν διὰ τὸ κοινὸν τῆς οὐσίας, ἅμα δὲ διὰ τὴν
ἐξ ἀμφοῖν εἰς γονὴν τέκνων συντέλειαν.

Τέλος δὲ λοιπὸν ὁ προφήτης τῶν περὶ τῆς
κτίσεως ποιησάμενος λόγων, ἐντεῦθεν τῶν περὶ
τοῦ Ἀδὰμ πολιτείαν ἐκτίθεται, σκοπὸν ἔχων
καὶ ἐν τοῖς καθεξῆς τὰ περὶ τοὺς ἀνθρώπους
ποικίλως οἰκονομηθέντα παρὰ τοῦ θεοῦ δῆλα
διὰ τῆς οἰκείας ποιῆσαι γραφῆς. Καὶ ἦσαν οἱ v. 25.
δύο γυμνοὶ ὅ τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ καὶ
οὐκ ᾐσχύνοντο· ἔδει μὴ γινώσκειν τὴν γύμνωσιν,
ἵνα μὴ τῆς πρὸς θεὸν ἀτενίσεως ὁ ἄνθρωπος
ἀφελκόμενος περισπᾶται περὶ τὴν τοῦ ἐλλείπον-
τος ἀναπλήρωσιν· οὐ συγκατεσκευάσθη δὲ αὐτῷ
τὰ ἐνδύματα, ὅτι οὔτε φυσικὰ ἔπρεπεν εἶναι
ταῦτα οὔτε τεχνητά· τὰ μὲν γὰρ ἴδια τῶν ἀλό-

Cap. 2. γων ἐστὶν, οἷον πτερὰ καὶ τρίχες καὶ δερμάτων παχύτητες· αἱ δὲ ἐκ τέχνης ἐπιτηδεύσεις ἀσχολίας ἐγίνοντο πρόξενοι· ὃ δὴ μάλιστα βλαβερὸν τοῦ κυρίου πρὸς τὴν ἐν παραδείσῳ ζωὴν ἡμᾶς ἀνακαλουμένου, δι᾽ ὧν μὴ μεριμνῆσαι περὶ τούτων φησίν· ἕτερα γὰρ ἦν αὐτῷ ηὐτρεπισμένα ἐνδύματα τετηρηκότι τὴν ἐντολὴν, οἷα τὰ τῶν ἀγγέλων ἐκ θεοῦ χάριτος περιαστράπτειν τὸν ἄνθρωπον μέλλοντα, ἅπερ ἆθλα τυγχάνοντα τῆς ἀρετῆς κεκώλυκεν ὁ διάβολος· ἄλλως τε φασίν τινες ἀθανάτοις οὖσιν, ἡ φαινομένη περιβολὴ περιττή· τοιγαροῦν ἀθάνατον εἶχον τὸ φρόνημα, μηδὲν γυμνώσεως αἰσθανόμενοι· ὅθεν τοῖς ἐνδυομένοις ἐν ἀναστάσει τὴν ἀφθαρσίαν περιττὰ τὰ ἐνδύματα.

Ἀλλ᾽ εἰ ἄφθαρτοι, οὐδ᾽ ἂν τροφῆς ἐδεήθησαν Ἀδάμ τε καὶ Εὔα· καὶ πῶς αὐτοῖς ταύτην παρέσχεν θεός; ἅμα μὲν διὰ τὴν ἐντολὴν καὶ τὸν ἐκ ταύτης μισθὸν, ἅμα δὲ καὶ προειδὼς τῆς τε προαιρέσεως καὶ φύσεως τὴν τροπὴν, προέδωκε τὴν τροφήν· τί οὖν μὴ καὶ τὰ ἐνδύματα; ὅτι ὥσπερ ἡ τροφὴ μὴ χρήζουσι προεδόθη διὰ τὴν ἐκ ταύτης δοκιμασίαν, οὕτως ἐτηρεῖτο καὶ τὰ ἐνδύματα ἵνα μετὰ τὴν παράβασιν εἰς τὸ θνητὸν αὐτοῖς μεταβληθείσης τῆς φύσεως συμμεταβληθῇ καὶ τὸ περὶ τῆς φύσεως

φρόνημα, καὶ αἴσθωνται τῆς γυμνότητος, ἣν ἐξ Cap. 2.
ἀπειθείας ὑπέστησαν αἴσθησιν, ὅπως ἂν αἰσχυνομένοις καὶ κρυπτομένοις ὁ ἔλεγχος ἐπιγένηται· ἀφθάρτοις γὰρ οὐκ ἔστιν αἰσχύνη ἡ γυμνότης· παραβάντες δέ φησι τὴν ἐντολὴν, εἰς φύσιν θνητὴν κατηνέχθητε, καὶ γυμνωθέντες τῆς ἀφθαρσίας ἐνεδύσασθε αἰσχύνην· διὰ τοῦτο τὴν πρώτην αὐτῶν διηγεῖται κατάστασιν· τοῦτο γὰρ συμβάλλεται πρὸς τὰ μέλλοντα· τινὲς δὲ φασὶν ὡς τέλειοι τὴν ἡλικίαν ὄντες, βραχύ τι παίδων κατὰ τὴν γνῶσιν διήλλαττον· οἱ μὲν γὰρ ἠδύναντο μαθεῖν, οἱ δὲ παῖδες ἐν τῷ νηπιάζειν ἀδύνατοι· ὅθεν οὐδὲ γυμνοὶ ὡς οὐδὲ παῖδες ᾐσχύνοντο, λογισμοῦ μόνον τὴν αἰσχύνην εἰδότος· διὸ μὴ δὲ τοῖς ἀλόγοις παρεῖναι ταύτην συμβαίνει· θεὸς δὲ ταύτην ἐνθεῖναι τοῖς περὶ τὸν Ἀδὰμ τελείοις οὖσι τὴν ἡλικίαν δυνάμενος, οὐκ ἄξιον αὐτὸς ταύτην ἐπάγειν ἐνόμισε, μέλλουσιν ἐκ τῆς ἁμαρτίας ταύτην λαβεῖν· ἁμαρτίας γὰρ αἰσχύνη βοήθημα παρὰ θεοῦ τοῖς ἀνθρώποις πεποίηται, τὴν ἐκ τῶν ἁμαρτημάτων ὁρμὴν ἀνακόπτουσα· ὅσον γάρ τις ταύτης ὑπερορᾷ, πλημμελεῖ· διόπερ ἁμαρτίας ἀναιρουμένης ἐπὶ τοῦ μέλλοντος αἰῶνος, καὶ τὴν αἰσχύνην ἀναιρεθῆναι συμβήσεται· τί γὰρ ἰατρείας δεήσει, μηκέτι παρενοχλοῦντος τοῦ πάθους;

ΚΕΦ. Γ.

Cap. III. v. 1. Ὁ δὲ ὄφις ἦν φρονιμώτατος πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς· ἐχέτω μὲν οὖν ἀλόγου φρόνησιν, ἀλλ' οὐ δήπου καὶ συλλογιστικὴν οὐ δὲ λόγῳ χρωμένην προφορικῷ· ἀνάγκη ἄρα πρὸς τὸν ἐν αὐτῷ λαλήσαντα γίνεσθαι τὴν ἀναφορὰν· καὶ πόθεν; ὅτι σατανὰς ἐλάλησε δι' αὐτοῦ· ἐπειδὴ λέγει ἐν τῷ εὐαγγελίῳ· ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς· οὐ διὰ τὸν Ἄβελ ἁπλῶς· οὐδὲ γὰρ τοῦτον ἀνῃρηκὼς γέγραπται, οὐδ' ἂν ἠδυνήθη μὴ πρότερον θνητὸν ποιήσας τὸν ἄνθρωπον· τὸ γὰρ ἀνθρωποκτόνος κοινὴν ἐπιβουλὴν τοῦ γένους δηλοῖ· ὅθεν φασὶ καὶ θηρίον αὐτὸν εἶπε, καί τοι ἑρπετοῦ ὄντος τοῦ ὄφεως· τινὲς δὲ λέγουσιν ὡς διὰ τὴν ἔμφυτον αὐτοῦ φρόνησιν ἐπιτήδειον αὐτὸν ὄργανον ἐποιήσατο, καὶ τὸ λαλεῖν ὅπερ ἔλειπε τούτῳ προσέθηκεν· ἆρ' οὖν ὁ διάβολος ἀνοῖξαι στόμα πρὸς τὸν λόγον ἠδύνατο καὶ μεταπλάσαι τὴν φύσιν; τοῦτο γὰρ ἴδιον ἐστὶ θεοῦ· ἀλλ' ἰδὼν αὐτὸν ὁ θεὸς, ὁ διὰ τοῦ αὐτεξουσίου στεφάνους παρασκευάζων τοῖς ἀθληταῖς, σκοποῦντα ὡς εἰ δυνατὸν ἦν τοῦτο γενέσθαι, προσῆλθον ἂν εἰς ἀπάτην αὐτοῖς, συνεχώρησε τοῦτο, παρασκευάσας λαλῆσαι τὸ ἴδιον

δημιούργημα, ἐπεὶ καὶ ἐπὶ τοῦ Ἰὼβ τῶν τοσ- Cap. 3.
ούτων ἀναίρεσιν συνεχώρησεν· ἐκείνου σκοποῦντος ὡς εἰ συνεχωρήθην, ἤλεγχον αὐτοῦ τὴν ἐπίπλαστον ἀρετὴν, ἣν ἔχειν διὰ τὸν πλοῦτον δοκεῖ· διάλογος τοιαύτην ἔχει τὴν δύναμιν, σαφηνείας ἕνεκα τῆς γραφῆς τῷ σχήματι τοῦ λόγου τὰς ἐννοίας λογοποιούσης· ὅπέρ ἐστι νοεῖν καὶ ἐπὶ τῶν πειρασμῶν τοῦ κυρίου· μαθὼν γὰρ ἐκείνου τὴν ἔννοιαν, ἀνῆλθεν εἰς τὴν ἔρημον· ἐπείνησεν ἑκὼν, ἐκείνου νομίζοντος διὰ τροφῆς αὐτὸν δύνασθαι καθάπερ τὸν Ἀδὰμ ἀπατᾷν εἰ πεινάσειε· καὶ πρὸς τὴν ἔννοιαν ἐκείνου πάλιν ἀνῆλθεν εἰς τὸ πτερύγιον· εἰ δὲ καὶ εἰς τὸ ὄρος φησὶν ἀνήνεγκα τοῦτον, ἐδείκνυον αὐτῷ πάσας τὰς βασιλείας τῆς γῆς· ὅθεν ἀνῆλθεν ἑκών· οὕτω καὶ νῦν ὁ θεὸς ὁρῶν αὐτοῦ τὰς ἐννοίας, ἤνοιξε τὸ στόμα τοῦ ὄφεως· καθάπερ τῆς ὄνου Βαλαάμ· προειδὼς δὲ ὁ θεὸς ὅτι ἐπιθυμήσει Ἀδὰμ γενέσθαι θεὸς προηπείλησέ τε τὸν θάνατον, καὶ παραβάντος ἐπήνεγκεν.

Ἦν δὲ φασὶν ὁ ὄφις κεχαρισμένος τῇ γυναικί· δι' ὑπερβάλλουσαν εὐφυΐαν πρὸς τὸ πᾶν, ὅ τι οὖν καὶ δὴ καὶ πρὸς μίμησιν· ὡς γὰρ τῶν ξύλων τρεῖς ἦσαν διαφοραὶ, καὶ τὰ μὲν ἀφώριστο πρὸς τροφήν τε καὶ ζωὴν, τὸ δὲ πρὸς δοκιμασίαν τοῦ εὖ ζῆν, τὸ δὲ φυλαττόμενον αὐτῷ

Cap. 3. εἰς τὸ ἀεὶ ζῆν, οὕτω τῶν ἀλόγων τρεῖς ἦσαν διαφοραί· μία μὲν εἰς βρῶσιν τῷ γένει, μία δὲ εἰς ὑπηρεσίαν, μία δὲ πρὸς ψυχαγωγίαν· ὧν ἡδεῖαι φωναὶ καὶ μιμήσεις διάφοροι· δεῖται γὰρ ψυχὴ συνεχῶς πονοῦσα καὶ τοιαύτης παραμυθίας· μόνῳ οὖν ὄντι τῷ Ἀδὰμ ὁ θεὸς τὰ ζῶα πρὸς παραμυθίαν εἰσήγαγεν· ἧς τὸ πλεῖστον εἶχεν ἀπὸ τοῦ ὄφεως, καὶ μιμουμένου καὶ ὑποσαίνοντος· εἰ καὶ νῦν ἐστιν ἐχθρός τε καὶ φευκτὸς, θεοῦ τοῦτο ποιήσαντος, ὅθεν τῷ μὲν διαβόλῳ ἔδοξεν εἰς ὄργανον ἐπιτήδειος· ἀεὶ γὰρ διὰ τῆς τῶν οἰκειοτάτων ὑποφθορᾶς ἡ τῶν οἴκων ἀνάστασίς τε γίνεται καὶ καταστροφή· ὅθεν εἴρηνται ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκειακοὶ αὐτοῦ· ὑπέλαβεν οὖν ἡ γυνὴ ὡς πάντα μιμούμενος, ἠδυνήθη καὶ ἀνθρωπίνην μιμεῖσθαι φωνήν· ὁ δὲ Ἀδὰμ σοφίαν ἔχων παρὰ θεοῦ, καθ' ἣν ἔθετο τὰς προσηγορίας, ἔτι δὲ καὶ πρόγνωσιν, οὐκ ἂν τοῦτό γε πέπονθε.

Σιωπᾷ δὲ Μωϋσῆς τὸν ἐν αὐτῷ λαλήσαντα· Χριστὸς δὲ μόνος γυμνῶς ἀπεκάλυψεν· ὁ γὰρ Παῦλος μόνον ᾐνίξατο, τὸ γράμμα δόξας τηρεῖν, φοβοῦμαι λέγων μή ποτε ὡς ὁ ὄφις ἠπάτησεν Εὔαν ἐν τῇ πανουργίᾳ αὐτοῦ· καὶ οὐκ εἶπεν, οὕτως ὁ διάβολος, οὐδὲ λύει τῶν γραφῶν τὴν τάξιν, ἀλλὰ τῇ ἐννοίᾳ τὴν ἀπορίαν ἔλυσεν,

οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν· ὁ δὲ Χριστὸς Cap. 3.
τὸν σατανᾶν ἀνθρωποκτόνον καὶ ψεύστην φησί·
πῶς γὰρ οὐ ψεύστης; τοῦ Θεοῦ εἰπόντος ἀπὸ
παντὸς φάγεσθε, αὐτὸς λέγων αὐτὸν εἰρηκέναι,
ἀπ' οὐδενὸς φάγεσθε· καὶ εἰπόντος ἀποθανεῖσθε, τἀναντία λέγων αὐτός· καὶ ἄλλο ψεῦδος·
ᾔδει γὰρ ὅτι ᾗ ἂν ἡμέρᾳ φάγητε διανοιχθήσονται
ὑμῶν οἱ ὀφθαλμοὶ, καὶ ἔσεσθε ὡς θεοὶ, καὶ τὰ
ἑξῆς· καὶ ψευδῆ καὶ φθονερὸν τὸν εἰρηκότα δεικνύς· διὸ καὶ διάβολος κέκληται· ἐξ οὗ καὶ ἡ
τῶν Ὀφιανῶν συνέστηκεν αἵρεσις, θεοποιούντων
τὸν ὄφιν ὡς ἂν ἀγαθόν τι προξενεῖν ἡμῖν ἐθελήσαντα· καί τοι πρὸς ἐντρέχειαν αὐτῶν καλῶς
κεκλεισμένους ἀνέωξεν τοὺς ὀφθαλμοὺς, οἵ τινες τῆς ἀρετῆς ἐνεργουμένης οὐκ ἀνοίγονται, τύφλωσιν ὠφέλιμον ὑπομένοντες· εἶχεν οὖν ὁ ἄνθρωπος πρὸ παραβάσεως ὀφθαλμοὺς πρὸς τὸ
ταύτην φυλάττεσθαι μετ' ἐπιστήμης ὁρῶντας τὰ
πράγματα· ὧν προσβαλλόντων τοῖς κατ' ἀλλήλοις θεάμασιν, οὐκ ἐγίνωσκεν ὁ ἄνθρωπος τὸ
κακὸν, ἀντὶ τοῦ πεῖραν αὐτοῦ οὐκ ἐδέχετο· κατὰ τὸ εἰρημένον, ἔγνω δὲ Ἀδὰμ τὴν γυναῖκα
αὐτοῦ· ᾔδει γὰρ αὐτὴν καὶ πρότερον· τούτων δὲ
τυφλωθέντων, ἠνοίχθησαν οἱ ἐπὶ τὸ κακὸν ῥέποντες· ὅθεν ὁ διάβολος τὴν γυναῖκα σοφίζεται· τὸν μὲν Θεὸν διαβάλλων, ἐπάρας δὲ ταῖς

Cap. 3. ἐπαγγελίαις τοῦ γενέσθαι ὡς θεοὺς· αἰνιττόμενος τοὺς συναποστάντας ἀγγέλους αὐτῷ· καὶ τῆς πολυθείας ἄνωθεν καταβαλὼν τοῖς ἀνθρώποις τὰ σπέρματα, ἣν ἔπρεπεν ἐξ ὄφεως τὴν ἀρχὴν προφέρεσθαι στόματος ὡς ἂν ὁ ταύτης ζηλῶν . . . ἐκείνῳ γενήσεται· προσποιεῖται δὲ φασὶ κακοήθως τὴν ἄγνοιαν· ἅμα μὲν πρόφασιν λαβεῖν ἐθέλων τῆς πρὸς αὐτὴν ὁμιλίας, ἅμα δὲ ὡς ἂν μὴ προδήλως ἐπίβουλος φανῇ, τῷ θεῷ τἀναντία φθεγγόμενος· ὅθεν αὐτὸν καὶ ἡ γυνὴ ἐκείνου διωρθώσατο· ὁ δὲ ὡς δὴ μαθὼν ὃ οὐκ ᾔδειν, ἀνυπόπτως εἰσήγαγε τὴν ἐπιβουλήν.

Θεὸς δὲ κατ' ἀρχὰς οὐδὲν ἀσώματον πλὴν αὐτοῦ τοὺς ἀνθρώπους ἐδίδαξεν· ἄνωθεν τὴν τῆς πολυθείας ὑπόνοιαν ἐκκρουόμενος· ἀλλ' οὐ δὲ ἡ Γραφὴ πρὸ τοῦ κατακλυσμοῦ τοιούτου τινὸς ἐμνημόνευσε, πρῶτον ἀγγέλων ἐπὶ τῆς καθ' Ἀβραὰμ διηγήσεως μνημονεύσασα, ἡνίκα λοιπὸν ἱκανῶς ἐπαιδεύθησαν ἄνθρωποι μόνον ἐκεῖνον ἡγεῖσθαι θεὸν, τῇ τε προνοίᾳ καὶ τῇ τῶν ὀπτασιῶν ποικιλίᾳ· ὅθεν ὁ Μωϋσῆς παρῆκε τοῦ διαβόλου τὴν μνήμην, οὗ τὴν γνώμην οὐκ εἶχον οἱ τὴν ἀπάτην δεξάμενοι· ὅπερ ἑώρων ὄργανον μόνον εἰπών· εἰ καὶ τὰ μάλιστά τινες ὄφιν τροπικῶς ἔφασαν τὸν διάβολον χωρὶς ὀργάνου τῇ γυναικὶ τοὺς τοιούτους ἐνεσπαρκέναι λέγοντες λογι-

σμοὺς ἄνευ φωνῆς αἰσθητῆς· οἱ δὲ φασὶν ὡς πάντων εὐτελεστέρῳ συνεχώρησεν ὁ Θεὸς ὀργάνῳ χρῆσθαι τῷ ὄφει ἅτε ἕρποντι καὶ ἐν γῇ τεταγμένῳ φωλεύειν· ὡς ἂν ἔλεγχος ἀκριβὴς τοῦτο γένηται τῆς διὰ τὴν κακίαν ἐκδεξαμένης αὐτὸν ἀσχημοσύνης· ὅθεν εἰς ἀνάγκην ἐλθὼν ὁ διάβολος, ἀνορθώσας παρὰ τὴν οἰκείαν φύσιν τὸν ὄφιν ὡς εἰκὼς ἀντιπρόσωπον στήσας, τῇ γυναικὶ δι' αὐτοῦ διελέγετο, ὅπερ αὐτὴν οὐκ ἐπτόησεν ἀπείρως ἔχουσαν ὡς ἄρτι γεγενημένην, καὶ ἀγνοοῦσαν ὡς οὐ πέφυκεν ἑρπετὸν ἐνάρθρῳ κεχρῆσθαι φωνῇ, οὐδ' ὅτι μόνον ἕρπειν τέτακται. Cap. 3.

Καὶ προσελθὼν ὁ διάβολος, προδήλως ἐναντία τοῖς προστεταγμένοις φησίν· ὡς δῆλον φασὶν ἐντεῦθεν ὡς οὔπω βρώσεως οὐδεμιᾶς οἱ περὶ τὸν Ἀδὰμ ἦσαν γευσάμενοι· ἢ γὰρ ἂν ἐσθίοντας εἶδεν αὐτοὺς ὁ διάβολος, καὶ οὐκ ἂν ὡς πάντων ἀπηγορευμένων αὐτοῖς ἀφῆκε φωνήν· ἐσκόπει δὲ μόνον ὡς εἰκὸς καὶ τούτους ὑπὸ νόμον γενέσθαι, ὡς καὶ πάντα τὰ λογικὰ τάγματα καὶ πάντα τὰ ὄντα καθ' ὃν εἶναι παρὰ θεοῦ διατέτακται· ἠγνόει δὲ τοῦτον· οὐ γὰρ ἂν αὐτὸν εἰδὼς, τοὐναντίον ἔλεγεν, ὅπως εὐθὺς ἀπίθανος γένηται πρὸς ἀπάτην τὴν μέλλουσαν· οὐ γὰρ διὰ φωνῆς αἰσθητῆς ὁ νόμος ἐδέδοτο, τοῦ θεοῦ δὲ τοῦτον τῇ διανοίᾳ τυπώσαντος· ὡς εἰ καὶ διὰ

Cap. 3. φωνῆς ἀκούσας ἐτύγχανεν, οὕτω διατεθέντος Ἀδάμ· ὅπερ καὶ ἐπὶ τῶν προφητῶν, ἀκοῆς ἐν αὐτοῖς καὶ θέας ἐνεργουμένης ὡς ἐν ὕπνοις ἐντυπουμένων καὶ δοκούντων ἀκοῦσαί τε καὶ ἰδεῖν· ἐδόκει τοίνυν Ἀδὰμ τὸν θεὸν ὁρᾶν τοιαῦτα διαλεγόμενον· ἅπερ εἰκότως τῷ διαβόλῳ γέγονεν ἄγνωστα.

Οἱ δὲ περὶ τὸν Ἀδὰμ οὔπω βεβρώκεισαν, οὕτω τοὺς κατὰ φύσιν ἀνθρώπους τάξαντος τοῦ θεοῦ, ὥστε μὴ παραπλησίως τοῖς ἀλόγοις ἀεὶ πρὸς βρῶσιν ὁρμᾶν, ἔχειν δὲ τούτου καιρόν. Ἰδὼν οὖν ὁ διάβολος πάντα τὰ ζῶα πλὴν τούτων ἐσθίοντα, καὶ τὴν παρὰ θεοῦ διαφορὰν οὐκ εἰδὼς, ᾤετο νόμῳ κεκωλῦσθαι τῆς βρώσεως· ὅθεν ὡς διαβάλλων τὸν νομοθέτην, πυνθάνεται ὡς
v. 2. οὐκ ἐπ' ἀγαθῷ τοῦτο νομοθετήσαντα· ὅθεν αὐτὸν ἡ γυνὴ διωρθώσατο εἰποῦσα πάντων ἐπιτε-
v. 3. τράφθαι τὴν βρῶσιν, πλὴν τοῦ ἐν μέσῳ τοῦ παραδείσου· εἰποῦσα πάντως καὶ τὸ τοῦ εἰδέναι καλὸν καὶ πονηρὸν, εἰ καὶ παρῆλθεν ὁ Μωϋσῆς· ἐν μέσῳ γὰρ ἦν καὶ τὸ τῆς ζωῆς, ὅπερ οὐκ ἀπηγόρευτο· πῶς γὰρ ἂν μὴ ἀκούσας ὁ διάβολος παρὰ τῆς Εὔας εἶπε τὸ ἔσεσθε ὡς θεοὶ γινώσκοντες καλὸν καὶ πονηρόν; τοῦτο δὲ οὐκ ἦν ὁ προφήτης εἰπὼν ἐν μέσῳ τῷ παραδείσῳ ἐν τῇ δόσει τῆς ἐντολῆς· καίτοι τοῦτο λέξας ἔν τε

τῇ τοῦ παραδείσου· ἔφη γὰρ ἐκεῖ· καὶ τὸ ξύλον Cap. 3.
τῆς ζωῆς ἐν μέσῳ τῷ παραδείσῳ· καὶ τὸ ξύλον —
τοῦ εἰδέναι γνωστὸν καλῶν καὶ πονηρῶν, διηγήσει μετὰ τοῦ ξύλου τῆς ζωῆς εἰπὼν αὐτὸ μέσον· καὶ ὅτε πάλιν, λέγει γὰρ ἐκρύβησαν· ἀλλ' οὐδὲ τὸ μὴ ἅψηθε αὐτοῦ φαίνεται λέγων ἐπὶ τῆς ἐντολῆς· δῆλον οὖν ὡς εἴρηται· οὐ γὰρ ἂν ἀφ' ἑαυτῆς εἶπεν, εἰ καὶ ὁ προφήτης παρέδραμεν· οὐδ' ἂν ἐντολὴν λέγουσα θείαν, τὸ μὲν εἰρημένον τὸ τοῦ καλοῦ καὶ πονηροῦ παρῆκε· τὰ δὲ μὴ εἰρημένα προσέθηκε, τό τε ὃ ἐστὶν ἐν μέσῳ τῷ παραδείσῳ, καὶ τὸ οὐ μὴ ἅψησθε αὐτοῦ· ἀλλ' εἴρητο πάντως τὸ μὲν ἐν μέσῳ, παριστῶν τὸ ἐξαίρετον· τὸ δὲ μὴ ἅψησθε, πρὸς τὴν ἀσφάλειαν πλείονα, ὥσπερ οὖν καὶ τὸ γινώσκειν καλὸν καὶ πονηρὸν εἰς δήλωσιν τοῦ χρησίμου τῆς ἐντολῆς.

Δύο δὲ ταῦτα ἐξάγει τε ἡμᾶς τοῦ χείρονος καὶ προσάγει τοῖς κρείττοσιν, ἐπαγγελία καὶ φόβος· ὅθεν καὶ τιμωρίαν ἠπείλησεν ὁ θεὸς, καὶ
τὸ ξύλον τῆς ζωῆς ἐπηγγείλατο· ὁ δὲ διάβο- v. 4.
λος τὸν μὲν φόβον ἀφεῖλεν, οὐ θανάτῳ ἀποθα-
νεῖσθε· ὀφθαλμῶν δὲ διάνοιξιν ἐπαγγέλλεται· v. 5.
ὅθεν φησὶν ὁ σωτὴρ ὅτι ψεύστης ἐστὶ καὶ ὁ πατὴρ αὐτοῦ, δηλῶν ὅτι πρῶτος τὸ ψεῦδος ἐγέννησε· καὶ οὐκ εἶπεν ὅτι ἔσεσθε ὡς θεὸς, ἀλλ'

Cap. 3. ὡς θεοὶ· προεθίζων αὐτοὺς μὴ μέγαν νομίζειν τὸν θεὸν, μὴ δὲ μόνον οἴεσθαι τοιοῦτον εἶναι, δυνατὸν δὲ καὶ τὸ γενέσθαι τοιούτους ἑτέρους· τοιαῦτα προσήνεγκε τῇ γυναικὶ δηλητήρια ἐξηγουμένης ἀκούσας τὴν ἐντολὴν ἣν εἰλήφει μετὰ τοῦ συνοίκου κοινῶς ὡς καὶ τῆς αὐτῆς ὑπάρχουσα φύσεως· τοιγαροῦν ὑπεβλήθη καὶ τοῖς ἴσοις ἐπιτιμίοις· οὐ γὰρ ὡς φασί τινες παρὰ τοῦ συνοικοῦντος ἀκήκοεν· ἐκ τοῦ γεγράφθαι ὅτι ἐνετείλατο τῷ Ἀδὰμ λέγων· οἷς ἀκολουθεῖ καὶ τὸ μόνον εἶναι λέγειν ἐν τῷ παραδείσῳ· μετὰ γὰρ τὴν πλάσιν τοῦ Ἀδὰμ καὶ τὴν τοῦ παραδείσου παρασκευὴν φησὶν ὡς ἐν τούτῳ τέθεικε τὸν ἄνθρωπον, καὶ ἐπάγει ἐνετείλατο τῷ Ἀδάμ· τὰ οὖν κοινῶς εἰρημένα, ἐπὶ τοῦ προσώπου παρείληπται τοῦ Ἀδὰμ, οὗ δὴ τὴν πλάσιν εἰρήκει· καὶ ἐπαναλαβὼν μετὰ ταῦτα τῆς γυναικὸς ἔφη τὴν ποίησιν, μηκέτι προσθεὶς ὡς εἰσήγαγε ταύτην εἰς τὸν παράδεισον· αὐτάρκως διὰ τῶν ἔμπροσθεν τοῦτο δεδηλῶσθαι δοκῶν καὶ τῆς ἐντολῆς τὴν παράδοσιν.

Συντόμως δὲ περὶ τῶν εἰρημένων εἰπεῖν, θεὸς ἀόρατος ἦν· ὁ δὲ λαβὼν παρ' αὐτοῦ τὰ πάντα ὁρώμενος, ἔλαβε παρὰ θεοῦ νόμον τὸ δένδρον, ἵνα μὴ λήθην λάβῃ τῆς δεσποτείας· περινοστῶν γὰρ τὰ δένδρα μετὰ τῆς γυναικὸς, ὁρῶν τὸ δέν-

δρον ἐμέμνητο τοῦ ἀπαγορεύσαντος, τοῦ ἀοράτου διὰ πράγματος ὁρατοῦ· οἷόν τι γίνεται καὶ χαρακτὴρ βασιλέως τοῖς ἄρχουσιν, ἐν τόπῳ ὄντος καὶ πανταχοῦ παρεῖναι μὴ δυναμένου, καὶ διὰ τῆς εἰκόνος παρόντος ἐκείνοις δικάζουσι καὶ καθόλου τί χρηματίζουσι· βεβαιοῦται γὰρ οὕτως ἀεὶ τὰ γινόμενα· τοιγαροῦν ἡ γυνὴ μεμνημένη τῆς ἐντολῆς, τὸν νόμον ἀντιπροβάλλεται τῷ ἀπατήσαντι· μᾶλλον δὲ διπλασιάζει φησίν· ὁ γὰρ θεὸς οὐκ εἶπεν μὴ ἅψησθε· οὐδὲ γὰρ τοῦτο κίνδυνον ἔφερεν· ἀλλ' ἐκεῖνοι γνῶσιν ἔχοντες θεϊκὴν, ὥρισαν παρ' ἑαυτοῖς· εἶπεν ὁ θεὸς μὴ γεύσησθε τοῦ δένδρου, ἡμεῖς μὴ δὲ ἁψώμεθα· τοσοῦτον ἔμελλεν αὐτοῖς τηρῆσαι τὴν ἐντολήν· ὁ δὲ ξένην αὐτῇ τὴν ἀπάτην προσήγαγεν, ὀργάνῳ τινὶ συμφύτῳ χρησάμενος· ὁ γὰρ θεὸς ὁ πλάττων τὸν ἄνθρωπον, μετὰ τῆς ἄλλης γνώσεως ἐνέθηκεν αὐτῷ καὶ πόθον θεοῦ, οὗ δὴ τὸν πυρσὸν ἰδὼν ἐν αὐτοῖς, εἰς δέλεαρ τοῦτο προβάλλεται, εἰπὼν ἔσεσθε ὡς θεοί· νῦν γὰρ, φησὶν, ὡς ἄνθρωποι οὐ δύνασθε πάντοτε εἶναι μετὰ θεοῦ, ἀλλ' ἐὰν γενηθῆτε θεοί· οὐ γὰρ εἶπε πολέμιοι γίνεσθε τοῦ θεοῦ· ἐπιθυμία τοίνυν ἰσοθείας ἀπατᾷ τὴν γυναῖκα· ἡ δὲ τὸν ἄνδρα οὐκ ἀπατᾷ, ἀλλὰ πείθει· καὶ μάρτυς ὁ Παῦλος· Ἀδὰμ οὐκ ἠπατήθη· πῶς οὖν κατεκρίθη; ἐπειδή- Cap. 3.

Cap. 3. περ ἔπεισεν αὐτὸν ἐκείνη φαγεῖν, ἵνα μὴ μόνη διαστραπῇ· οἷα καὶ νῦν τινες εἰδότες ὀρθοδοξίαν, γυναικὶ πείθονται μὴ δεῖξαι ζῆλον ὑπὲρ τῆς πίστεως· οὐκ ἀγνοοῦντες τὴν ἀλήθειαν, ἁπλῶς δὲ συναπαγόμενοι· τινὲς γάρ φασιν ὡς ἀγνοῶν ἔφαγεν· ἀγνοῶν ὅθεν ἤνεγκεν· ἀλλ' ἐλέγχει θεὸς, οὐχ' ἁπλῶς λέγων ἐπειδὴ ἔλαβες, ἀλλ' ὅτι ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου· πρὸς ὃ εἶπεν ἂν ἠγνόουν, εἴπερ ἦν ἀληθές.

v. 6. Καὶ εἶδεν ἡ γυνὴ ὅτι καλὸν τὸ ξύλον εἰς βρῶσιν· καί τοι οὐ νῦν πρῶτον εἶδε τὸ ξύλον· πῶς γὰρ ἂν εἰλήφει περὶ ἀγνοουμένου τὴν ἐντολήν; ἀλλὰ δηλοῖ τὴν ἀκόλαστον ἡδονὴν μεθ' ἧς εἶδε τὸ ξύλον· ὥσπερ οὖν τινες αἰσχρὰν πολλάκις γυναῖκα δι' ἐπιθυμίαν αὐτῇ προσπεπονθότες ὡραιοτάτην νομίζουσιν ὑπὸ τῶν ἄλλων καταγελώμενοι· ὅθεν ἡ παροιμία φησίν· ἀνθρώ-
v. 7. πῳ πόρνῳ πᾶς ἄρτος ἡδύς. Καὶ διηνοίχθησαν οἱ ὀφθαλμοὶ τῶν δύο· οὐχ' ὡς ἔλεγεν ὁ διάβολος εἰς ὀξύτητα διανοίας θεοπρεπῆ, ἀλλ' εἰς τὸ τῆς ἰδίας γυμνώσεως ἐπαισθάνεσθαι· ἐπεὶ μὴ χρεία τοῖς ἀθανάτοις περιβολῆς· ἐπαισθάνεσθαι δὲ, οὐ τῷ πρώην μὴ βλέπειν αὐτὴν, ἀλλὰ τῷ μηδὲν φαῦλον ἀπὸ τῆς θεωρίας ἐπὶ τῆς ἐννοίας λαβεῖν· ἡ γὰρ γύμνωσις καθ' ἑαυτὴν οὐ δεινὸν, ἐπεὶ καὶ βρέφη τὴν γύμνωσιν οὐκ αἰ-

σχύνονται, καὶ πρὸς ἰατροὺς ἀπογυμνοῦται πᾶς Cap. 3.
ὁ θεραπείας δεόμενος, καὶ γυναῖκες ἐπὶ βαλανείων ὁρῶνται γυμναί· οὕτω λογισμός ἐστι ψυχῆς ὁ τὴν γύμνωσιν ποτὲ μὲν αἰσχρὰν, ποτὲ δὲ οὐκ αἰσχρὰν ποιῶν· οὕτως οἱ περὶ τὸν Ἀδὰμ μηδὲν ἡμαρτηκότες οὐδὲν αἰσχύνης ἐδέοντο, ἣν ἔλαβον ἁμαρτόντες, ὡς βοηθὸν εἰς ἐκκοπὴν ἁμαρτίας· προοίμιον δὲ τῆς αἰσχύνης τὸ ἐπὶ τοῖς παιδογόνοις μορίοις ἐρυθριᾶν· ἐπεὶ καὶ τὸ περὶ ταῦτα πάθος πάντων ἐστὶν ὀξύτερον· καὶ οὐδὲ τὴν γαμικὴν ὁμιλίαν ἄλογον γενέσθαι θεὸς συνεχώρησεν, ἀλλὰ νόμῳ διὰ τῆς αἰσχύνης διώρισεν· ὅθεν ἐκ φύλλων συκῆς τὴν σκέπην αὐτοῖς ἐπενοήθησαν, οὔπω πεῖραν ἔχοντες γαμικῆς συμπλοκῆς, ἀλλ' ἐκ θεοῦ τὴν ἐπὶ τούτοις αἰσχύνην κτησάμενοι· ἄλλως τε καὶ πᾶς ἁμαρτάνων, ὡς τυφλὸς ἁμαρτάνει· μεθ' ὃ βλέπει λοιπὸν τί ἐποίησε, καὶ ἐγκαλούμενος, φησίν· οὐκ ἔβλεπον τί ἐποίουν· τὸ δὲ συνειδὸς μετὰ ταῦτα βλέπειν ποιεῖ καί τις πλήττων τινὰ παρακούσαντα φησί· διδάσκω σε ἀκούειν· ἤκουε μὲν γὰρ, ἀλλὰ τῷ πάθει μεθύων οὐ προσεῖχεν οἷς ἔλεγεν· ἐξ ὧν οὖν ἔπαθεν ὁ διάβολος παραβὰς, ἔλεγεν αὐτοῖς τὸ παραπλήσιον· εἶπεν γάρ· διανοιχθήσονται ὑμῖν οἱ ὀφθαλμοὶ, καὶ ἔσεσθε ὡς θεοὶ· πάθος συμβήσεσθαι.

Cap. 3. Ὡς δὲ ἀπεδύσαντο τὴν ἀθανασίαν, ἐγυμνώθη τὸ σῶμα, καὶ ἦν πηλὸς λοιπόν· εὐθέως βρύει ἐπίνοια τῶν τεχνῶν· τοιγαροῦν ῥάπτουσι· καὶ τίς ὁ διδάξας; ἔλαβεν ἅπαξ ἀπὸ τοῦ θεοῦ σύνεσιν, κατ' εἰκόνα Γενόμενος· ὥστε θαυμαστὸν οὐδὲν ἐφ' ᾧ ἄνθρωποι μηχανῶνται καινότερα καὶ τὰς τέχνας εὑρήκασι· τινὲς δὲ φασὶν ὡς ἔχοντες τὴν ἀρετὴν ἦσαν εὐπαῤῥησίαστοι, ταύτην δὲ ἀπαμφιασθέντες ᾐσχύνοντο ἐξ οἵων ἀγαθῶν εἰς οἷα μετέστησαν κακὰ, μήπω πρὸς κακῶν ἀναισθησίαν ἐλάσαντες· ὅθεν καὶ κρύπτονται περιπατοῦντα τὸν τῶν ὅλων θεόν· ἁμαρτῶν γάρ τις μετρίως, ὑπὸ τῶν ἐκ θεοῦ ἐνεσπαρμένων αὐτῷ κοινῶν ἐννοιῶν διελέγχεται· ἀεὶ δι' αὐτῶν ἐμβοῶντος τοῦ ποιητοῦ· τὸ δὲ ἐνέχεσθαι τῷ βάθει τοῦ σφάλματος, ἀπολογίας πολλάκις τῶν ἁμαρτημάτων συῤῥάπτει· οἷς ὁ κύριος συμβολικῶς ἐπιτιμᾷ διὰ τῆς συκῆς ἐλθὼν πρὸς αὐτὴν, καὶ φύλλα μόνον εὑρὼν, οὐ μὴ ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα· καί τοι οὐ παρὰ τὴν αὐτῆς αἰτίαν αἰσθητὴ συκῆ καρπὸν οὐκ ἔφερεν· ἀλλὰ τοῦ Ἰσραὴλ εἰς τὴν ἀσέβειαν ἐκπεσόντος εἴρηται οὐκ ἔστι σταφυλὴ ἐν ταῖς ἀμπέλοις οὐδὲ συκῆ ἐν ταῖς συκαῖς· ἔῤῥαψαν οὖν φύλλα συκῆς, πιθανὴν ἀπολογίαν ὡς προείρηται πορίζοντες· τινὲς δὲ φασὶ σύμβολα τῶν ἰδίων ἁμαρτη-

μάτων εἶναι τὰ φύλλα· συκῆς γὰρ φύλλον ἡνίκα ἂν τοῦ σώματος ἅψηται, κνησμονὴν παρέχει· αὐτὸς οὖν ἑαυτῷ προφήτης τῆς παραβάσεως τὴν κνησμονὴν δεικνύς. Cap. 3.

Οὗτοι δὲ αὐτοὶ ἤκουσαν κυρίου τοῦ θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινόν· καὶ πρὸ μὲν τῆς παραβάσεως οὐ περιεπάτει αὐτοῖς, ἀλλ' ἦν μετ' αὐτῶν· ἐπειδὴ δὲ ἀπέστησαν αὐτοῦ, καὶ αὐτὸς αὐτῶν μεμάκρυνται μὲν, διὰ δὲ τὴν ἀγαθότητα περιεπάτει, αἴσθησιν παρέχων κατὰ τὰς κοινὰς ἐννοίας ὅπως ἐπιστραφῶσι· τοῦτο δὲ γίνεται τὸ δειλινὸν, καταλλήλως τοῖς παραβεβηκόσι· τῷ μὲν γὰρ ἐν ἀρετῇ ἀκμάζει τὸ τῆς ἀληθείας φῶς· τότε δὲ γίνεται δειλινὴ καὶ σκοτώδης ἡ ὥρα ἐπὶ τὴν ἑσπέραν ἐλαύνουσα, ὅτε τις ἑαυτὸν ἔξω τοῦ φωτὸς καθίστησιν, ἐν ἀγνοίᾳ καὶ κακίᾳ γινόμενος· ὡς λέγειν τὸν θεὸν πρὸς τὴν ἁμαρτάνουσαν ψυχήν· νυκτὶ ὡμοίωσα τὴν μητέρα σου· οὐκ ἀθρόον οὖν αὐτοὺς ἀφῆκε τὸ φῶς, εἴγε δειλινὸν ἤκουσαν τοῦ θεοῦ· τὸ δὲ ἀποκρυβῆναι ἀπὸ προσώπου κυρίου τοῦ θεοῦ, τὸ ἀποστῆναι τῆς περὶ θεοῦ καθαρᾶς νοήσεως· οὐχ' ὡς Κάϊν· ἐκεῖνος γὰρ ἐξῆλθεν ἀπὸ προσώπου τοῦ θεοῦ, ἀφάνταστον ἑαυτὸν αὐτοῦ κατασκευάσας· οἱ δὲ ἀποκρυπτόμενοι οὐκ ἀνενόητοι μέν εἰσι τῆς θείας ἐπιστασίας· διὰ δὲ τὴν ῥυπαρίαν v. 8.

Cap. 3. τῆς ἁμαρτίας τὴν παῤῥησίαν οὐκ ἔχουσι· πρόσωπον δὲ κυρίου καὶ ὁ υἱὸς νοηθείη· παραβάται γὰρ θελήσαντες εἶναι τῆς ἐντολῆς, ἀπέστησαν τοῦ φωτίζεσθαι ἀπὸ τῆς εἰκόνος τοῦ θεοῦ.

Εἰκότως δὲ φεύγουσιν ὑπο τὸ ξύλον τὸ ἐν τῷ μέσῳ τῷ παραδείσῳ, ὃ ἦν γνωστὸν καλοῦ καὶ πονηροῦ· ὁ γὰρ κρυπτόμενος τὸ τοῦ θεοῦ πρόσωπον ὡς μὴ ἐνεργεῖν τὴν ἀρετὴν, ἀλλ' ἐπιμορφάζεσθαι, κρύπτεται ὑπὸ τὴν ὑπόκρισιν· ὅταν δέ τις ἐν ἁμαρτίᾳ γενόμενος αἰσθήσεως βραχείας δέξηται τύπον ὡς ἔννοιαν δέξασθαι θεοῦ διὰ τῆς κτίσεως, ἐν ᾗ ἐμπεριπατεῖ τῶν ὅλων προνοούμενος τάξιν ἐπιθεὶς ἑκάστῳ τῶν ὅλων, τότε καὶ ἐπιστρέφει καὶ γινώσκει ὅτι ἐφορᾷ τὰ ὅλα καὶ διοικεῖ· καὶ φωνῆς ἀκούει θεοῦ ἐν διανοίᾳ τυπουμένης ὅτι θεὸν οὐδὲν λανθάνει· καὶ οὕτως αἰσχυνθεὶς κρύπτεται· ὁ γὰρ ἁμαρτάνων, οὐκ ἔχων πρὸ ὀφθαλμῶν θεὸν, ἁμαρτάνει· αἰσθήσεως δὲ καὶ τὸ εἰπεῖν ἐφοβήθην· αὐτὸς γὰρ ὁ φόβος ἔχοντος ἔτι ἔστιν διάληψιν ὡς αἰσχρὸν ἡ κακία καὶ κολαστέον· τοῦ δὲ φόβου αἴτιον φησὶ τὴν γυμνότητα, ἥτις ἐκ τοῦ ἀπολωλεκέναι τὴν ἀρετὴν ἔνδυμα θεῖον ὑπάρχουσαν· οὕτω καὶ Παῦλος παραινεῖ· ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός· καὶ ἐνδύσασθε σπλάγχνα οἰκτιρμοῦ· καλῶς δὲ πρόσκειται τὸ κύριος ἐνταῦθα τῷ θεός· ὅτι

μὲν γὰρ περὶ δημιουργοῦ προέκειτο, ἔλεγεν· ἐν Cap. 3.
ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· ὅτε δὲ παράβασις ἠκολούθησε, τότε φησὶ κύριος· ἕπεται γὰρ τῷ κυρίῳ ἐπεξέρχεσθαι κατὰ τῶν ἀμελούντων [τῶν προστά]ξεων αὐτοῦ· ἐπιτιμίας γὰρ δεῖ, ἥτις οἰκείως ἀπὸ δεσπότου γίνεται· εὐλογητὸς δὲ ὁ θεὸς τῶν ἁγίων ὁ τότε δειλινὸν τὸν Ἀδὰμ ἐπισκεψάμενος καὶ νῦν ἐπὶ τοῦ σταυροῦ τὸ δειλινὸν· καὶ γὰρ ἐκείνας τὰς ὥρας τὸ πάθος ὑπέμεινεν, ἃς διετέλεσεν Ἀδὰμ ἀπὸ τοῦ φαγεῖν ἕως τῆς κρίσεως, ἀπὸ ἕκτης ἕως ἐνάτης ὥρας· ἕκτην ἔφαγε· κανὼν γὰρ οὗτος τῆς φύσεως· μεθ' ἣν ἐκρύβη· τὸ δειλινὸν ἦλθε πρὸς αὐτὸν ὁ θεός· ἐπεθύμησας τῶν ὑπὲρ σὲ, λαμβάνω τὰ ὑπ' ἐμὲ· ἰσοθεΐας ἐπεθύμησας, ἰσάνθρωπος γίνομαι· ἐπεθύμησας γενέσθαι θεός; ἔδει κατὰ γνώμην ἐμήν· καὶ ἐπειδὴ παρὰ τὴν γνώμην οὐκ ἠδυνήθης, ἐπιθυμῶ γενέσθαι ἄνθρωπος· ἐπιθυμίᾳ γὰρ φησὶν ἐπεθύμησα φαγεῖν τὸ πάσχα τοῦτο μεθ' ὑμῶν· τὰ ἐμὰ ἠθέλησας ἁρπάσαι μὴ δυνάμενος, ἐγὼ τὰ σὰ λαμβάνω δυνάμενος.

Περὶ μέσον οὖν τῆς ἡμέρας ὁ διάβολος προσῆλθε τῇ γυναικὶ, παρατηρῶν μὲν καὶ πρότερον, ὅτε δὲ εἶδε πεινάσασαν καὶ πρὸς τροφὴν ὁρμῶσαν· οὐ δύναται γὰρ ἐμποιεῖν ἁμαρτίας, τοῖς

Cap. 3. ἐνοῦσι δὲ ἡμῖν προσκέχρηται πάθεσι, συμβούλου δίκην κακοῦ· συνεχώρησε δὲ θεὸς τὴν ἁμαρτίαν, κωλῦσαι δυνάμενος, ἵνα πεῖραν λάβωμεν ὅσον κακὸν ἁμαρτίας καὶ παθῶν ὄχλησις, καὶ γνῶμεν ὕστερον τῆς εὐεργεσίας τὸ μέγεθος, διὰ τῆς ἀναστάσεως τὸ ἄτρεπτον ἐν ἑκατέρῳ δεχόμενοι· οὐδὲ γὰρ πιθανὸν, φασὶ, βρώσεως ἕνεκα μιᾶς παρὰ τοῦ φιλανθρώπου θεοῦ κατακριθῆναι τὸν θάνατον· ἀλλὰ γὰρ καὶ πρότερον ἐδέδοκτο τῷ θεῷ, ἵνα τὴν ἁμαρτίαν μισήσωμεν· διὸ καὶ δέδωκεν ἐντολὴν, καὶ νόμους ἐξέθετο, καὶ προσάγει τὸν ἔλεγχον ἁμαρτάνουσιν· οὐ τὸ μὴ ἁμαρτεῖν καθάπαξ ἀπαιτῶν, ἀδύνατον γὰρ, ἀλλὰ τὸ ταύτην ἐκτρέπεσθαι καὶ μισεῖν, καὶ μετανοοῦντας γενέσθαι δεκτούς· εἰ δὲ μὴ, ἀπωθεῖσθαι· καθὰ Χριστὸς ἡμῖν παραδέδωκε· τοῦτο δ' οὖν θεὸς ἅμα τῷ φανῆναι τὴν ἁμαρτίαν πεποίηκεν, ἐλέγχων μὲν, δοὺς δὲ μεταγνοῦσι συγχώρησιν· οὐ γὰρ κατὰ τὴν ἀπόφασιν εὐθέως ἀπέθανον, ἀλλ' εἰς ἐνναχόσια τριάκοντα ἔτη τὸν θάνατον ἀνεβάλετο· οὐ παντελῶς δὲ ἀνεῖλε τὸν θάνατον, οὐχ' ὡς μὴ συγχωρήσας, κρατύνας δὲ τὸ ἐξ ἀρχῆς καλὸν εἰς δόξαν αὐτῷ· εὐθὺς τοίνυν ἡμαρτηκόσιν ὁ θεὸς ἐπεφάνη πρὸς μεταμέλειαν ἕλκων αὐτοὺς, καὶ ῥαπτόντων ἔτι τὰ περιζώματα τὴν οἰκείαν προσήγαγε παρουσίαν· ὡς ἂν ἐπ'

αὐτὸ φωρωληφθέντες, μείζω τὴν αἴσθησιν ἐπιδέξωνται, μεῖζον καὶ τὸ δεὸς δεξάμενοι, φοβερὰν γὰρ αὐτοῖς ὁρᾶσθαι συνεῖδεν· ἐδόκει γὰρ ὁρᾶσθαί τε τούτοις καὶ διαλέγεσθαι· τὰ μὲν εὐθὺς γεγονόσι, τὰ δὲ τὴν ἐντολὴν παρεχόμενος, ἀναγκαίως. Cap. 3.

Καὶ νῦν ἐφάνη πρὸς ἔλεγχον, ἀλλ' οὐ συνήθως πεποίηται, ἀλλ' ὡς δοκεῖν τῷ βαδίσματι συγκινεῖν καὶ ταράττειν τὴν γῆν· ὡς ἂν ὀργῆς ἔμφασις γένοιτο· τοιγαροῦν τὸν κτύπον οὐ φέροντες, ὑπὸ τὸ δένδρον ἐκρύβησαν, ἐφ' ᾧ τὴν ἐντολὴν ἐδέξαντο ἐξ οὗ καὶ βεβρώκεσαν· τοῦτο γὰρ ἐδήλωσεν εἰπὼν ἐν μέσῳ τοῦ ξύλου τοῦ παραδείσου· ἅμα τε γὰρ ἔφαγον, καὶ τῆς αἰσχύνης λαβόντες τὴν αἴσθησιν ἐπὶ τῇ γυμνώσει, περιεζώσαντο ἐκ τούτου φύλλα δρεψάμενοι· συκῆ γὰρ ἦν φασὶν οὐ καινόν τι δένδρον ὥς τινες ὑποπτεύουσιν· οὐ γὰρ ἡ ποιότης τοῦ ξύλου τὴν παράβασιν εἶχεν, ἀλλ' ἡ δόσις τῆς ἐντολῆς· εἰ δὲ μὴ τοῦτο, μικρὸν ἂν οἰκηθεῖεν τῶν Μακαβαίων τοὺς πόνους διαφερομένων περὶ χοιρείων κρεῶν· ἐπειδὴ τὸ βρῶμα εὐτελὲς καὶ μικρόν· ἀλλ' οὐκ ἐσκόπουν τὴν τῆς βρώσεως φύσιν οἱ μακάριοι, τῆς δὲ ἐντολῆς τὴν παράβασιν· ὡς καὶ τῶν εἰδωλοθύτον οἱ μάρτυρες οὐ τὸ βρῶμα ἐσκόπουν, τὴν δὲ περὶ τὸ θεῖον συνεί-

Cap. 3. δησιν· ἐφόβησε μὲν οὖν τοὺς περὶ τὸν Ἀδὰμ ἐμφάσει σφοδροτέρου βαδίσματος· εἶτα πρὸς αἴσθησιν ἐλθοῦσι τοῦ πλημμελήματος καὶ μεταγνοῦσι δι' ὧν δεδοίκεσαν, ἡμερωτέραις χρῆται φωναῖς· βεβαίαν τοῖς ἐλέγχοις μεταμέλειαν αὐτοῖς ἐμποιῶν, καὶ ὡς τιμωρίας ὁρίζων τὰς οὐκ οὔσας φασὶ τιμωρίας, ἔμφασιν δὲ μόνον παρεχομένας τοιαύτην, αἵπερ ἦσαν λύπαι καὶ ὀδύναι καὶ μέριμναι καὶ τέλος ὁ θάνατος, ἃ δὴ καὶ πρὸ τῆς ἁμαρτίας ὥριστο παρ' αὐτῷ δόντι ἐπὶ παιδεύσει τὴν παροῦσαν κατάστασιν· διὰ τοῦτο δὲ πεποιηκότα θνητοὺς καὶ μυρίων γέμοντας συμφορῶν, ὡς ἂν ἐπιστήμῃ τῶν μεγίστων ἀγαθῶν ὕστερον καρπωσώμεθα τὴν ἀπόλαυσιν.

v. 9. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὸν Ἀδὰμ καὶ εἶπεν αὐτῷ· Ἀδὰμ, Ἀδὰμ, ποῦ εἶ; ποῖος φιλόστοργος πατὴρ οὕτως ἀπολλύμενον ἐζήτησε τέκνον, ὀδυρόμενος ὅτι μὴ ἐν τοῖς εἰωθόσι τόποις τεθέαται; εἰ γὰρ κολάζειν ἤθελεν, εὐθὺς ἂν ἐπήγαγε τιμωρίαν ὡς παρακούσαντι, ὡς ἀπατεῶνι πεισθέντι, ψευδῆ δὲ καὶ ἄπιστον τὸν ποιητήν τε καὶ εὐεργέτην νομίσαντι, καὶ τὸν πανταχοῦ παρόντα λανθάνειν ὑπὸ τὸ ξύλον νομίσαντι· τῷ δὲ διπλασιασμῷ τῆς κλήσεως, τοῦ πόθου τὴν ἐπίτασιν δείκνυσιν· οὕτω καὶ Δαβὶδ διπλασιάσας ἀνακαλεῖται μετὰ θάνατον τὸν Ἀβεσαλώμ·

οὕτω καὶ ὁ κύριος Μάρθα Μάρθα φησὶ, σφαλ- Cap. 3.
λομένην ἐπανορθῶν· ᾤετο γὰρ μεῖζόν τι τῆς Μαρίας ποιεῖν περὶ τὴν διακονίαν πονοῦσα· οὕτω καὶ τὸ Σαοὺλ Σαοὺλ τί με διώκεις; τινὲς μὲν οὖν φασὶ τὸ ποῦ εἶ, ἀντὶ τοῦ πόθεν ποῦ καταλθες· ἄλλοι δὲ προσποίησιν ἀγνοίας φασὶν, ἵνα τὸν πόθον δηλώσας, παῤῥησίας αὐτῷ μεταδῷ· καὶ τεταγμένην λέγων τε καὶ ἀκούων δέξηται τὴν διόρθωσιν· τοιγαροῦν θαῤῥήσας καὶ τὴν τοῦ μὴ φαίνεσθαι καινότητα συνιδὼν μέμψεως οὖσαν ἀξίαν, πρὸς ἀπολογίαν ὁρᾷ· οὕτω θαῤῥεῖ καὶ δοῦλος ἡμαρτηκὼς, λανθάνειν τὸν δεσπότην οἰόμενος· καὶ περὶ φίλου φαμὲν, ἀγνοεῖν προσεποιησάμην ὡς αὐτὸν μὴ λυπήσω.

Τῆς φωνῆς σου ἤκουσα περιπατοῦντος ἐν τῷ v. 10.
παραδείσῳ, καὶ ἐφοβήθην ὅτι γυμνός εἰμι, καὶ ἐκρύβην· διὰ τί ἐκρύβης; ἐφοβήθην διὰ τὴν παράβασιν, ἐκρύβην διὰ τὴν γύμνωσιν· ὄντως ἐλεεινὴν ἀφῆκε φωνήν· τῆς φωνῆς σου ἤκουσα ἐκείνης τῆς ποθουμένης, ἐκείνης τῆς πάντα μοι χαρισαμένης· ποίας κατέπτυσα τῆς φωνῆς; ἐνενόησα· δήλην δὲ ἔχει τὴν κατηγορίαν τὸ εἰρημένον· ἐπείπερ ἡ γύμνωσις ὅ τε ἐπ' αὐτῇ φόβος καὶ ἡ αἰσχύνη τὴν αἰτίαν ἐδήλου· ἀλλὰ οὐ ῥᾴδιον ἐπταικότα ἀπολογίαν εὑρεῖν δικαίαν· ὅθεν φησὶν
ὁ θεὸς ἐπιμένων τῇ προτροπῇ· τίς ἀνήγγειλέ σοι v. 11.

Cap. 3. ὅτι γυμνὸς εἶ; οὐδὲ τότε γυμνώσας αὐτοῦ τὸ
ἁμάρτημα, εἰπεῖν ἀνασχόμενος, ἵνα μὴ τραχύ-
τητι ῥημάτων ἀπρόσιτον αὐτῷ ποιήσῃ τὸν ἔλεγ-
χον, ἐρωτήσει δὲ μᾶλλον καὶ διαπορήσει τὸ γε-
γονὸς ἐνεδείξατο· πρόχειρον γὰρ ἦν εἰπεῖν ὅτι
ταύτην σοι τὴν αἰσχύνην καὶ τὸν φόβον ἐποίη-
σε τὸ παραβῆναι τὴν ἐντολήν· ὁ δὲ οὐχ' οὕτως·
ἀλλὰ τίς ὁ ταῦτά σοι γνωρίσας; εἶτα ὡς ἂν
στοχαζόμενος, εἰ μὴ ἄρα ἀπὸ τοῦ ξύλου βε-
βρώκας; καὶ μακρύνει τὴν ὁμιλίαν ἵνα λύσῃ τὸν
φόβον· δοῦλος ἁμαρτήσας ἐὰν προσέλθῃ δεσπό-
τῃ, ἀπὸ τῆς πρώτης φωνῆς ἢ φόβον ἢ θάρσος
λαμβάνει, πῆ μὲν ἀκούων τραχέως ὑβρίζοντος,
πῆ δὲ πρᾴως ὀνειδίζοντος· μὴ γὰρ πολλὰ ἐκώ-
λυσα; ἓν μόνον ὑπομιμνήσκων σε τῆς ἐμῆς δε-
σποτείας· οὐχ' ἡ βαρύτης ἄρα σοι τοῦ προστάγ-
ματος αἰτία γεγένηται· τὸ δὲ τίς ἀνήγγειλέ σοι,
μετὰ τῆς πρᾳότητος ἄγαν ἐλεγκτικόν· ἐγὼ γάρ
σε τοῦτο ποιῶν οὐκ ἐπαίδευσα· οὐδὲν γὰρ αἰ-
σχρὸν ἡγούμην τῶν ὑπ' ἐμοῦ γεγονότων· οὐδὲ
ἐδίδαξά σε τῶν ἐν σοί τι φαῦλον ὁρᾶν.

v. 12. Ὁ δὲ οὐδὲν ἀναίσχυντον, οὐκ εἶπεν οὐκ ἤ-
δειν· ἀλλ' ἡ γυνὴ ἣν ἔδωκας μετ' ἐμοῦ αὕτη
μοι ἔδωκε καὶ ἔφαγον· ἀντὶ τοῦ ἡ δοθεῖσά μοι
εἰς βοήθειαν· ἤκουσα γάρ σου λέγοντος ποιήσω
αὐτῷ βοηθόν· φυλαίτιον ἡ κακία καὶ τῶν ἁμαρ-

τανόντων αἴτιον τὸ μὴ ταχέως ὁμολογεῖν τὸ ἁ- Cap. 3.
μάρτημα, ἀλλ᾽ ἀναπλάττεσθαι αἰτίας τοῦ σφάλματος· ἀλλ᾽ οὐκ ἐπὶ τοῦτο ἔφη ἂν ὁ Θεὸς τὴν γυναῖκα δέδωκα ἵνα σοι τῶν πρακτέων ἡγῆται· ἀλλ᾽ ἐπεὶ διορθοῦσθαι μόνον ἠβούλετο, τοῦτο μὲν ἀφῆκε, πλείοσι ἐλέγχοις μὴ τραχῦναι βουλόμενος· τρέπει δὲ πρὸς τὴν γυναῖκα τὸν λόγον ὡς ἂν κἀκείνην κοινοῦ τοῦ πταίσματος ὄντος κοι-
νὴν ποιήσηται τὴν διόρθωσιν· καὶ φησὶ τῇ γυ- v. 13.
ναικί· τί τοῦτο ἐποίησας; διὰ φειδῶ πάλιν ὡς ἀγνοήσας πυνθάνεται, μὴ λέγων γυμνῶς τὸ πλημμέλημα· ὅθεν θαῤῥήσασα, τῷ ὄφει προσάπτει τὸ πᾶν· ἐπειδὴ ἅπαν ἐκεῖνος γεγέννηκε τὸ κακόν· καὶ δείκνυσιν ὁ θεὸς ὡς οὐ δι᾽ ἄγνοιαν τὰς ἐρωτήσεις πεποίηται, ἀλλ᾽ ὅπως ἐλέγξας εἰς τὴν αἴσθησιν αὐτοὺς ἀγάγῃ τοῦ πλημμελήματος· οὐκ ἀτιμάζει γὰρ τὴν μετ᾽ ἀληθείας ἀπολογίαν· καταλείπει δὲ αὐτὴν ἀνεξέταστον, ὁμοῦ καὶ ὡς ἀσθενεστέρου σκεύους φεισάμενος· καί τοι λέγειν ἔχων, καὶ ἐπιστεύθη ὁ ὄφις ὑπὲρ ἐμὲ, τοιγαροῦν ἐπηγγείλατο ἰσοθεΐαν καὶ προυξένησε θάνατον· ἔθος δὲ τοῖς ἀπατωμένοις μετὰ τὴν ἔκβασιν ἐπαισθάνεσθαι τοῦ κακοῦ· κατὰ γὰρ τὴν ἀρχὴν, τῆς ἡδονῆς ἐπικρυπτούσης τὴν αἴσθησιν, οὐ γίνεται ἐπίγνωσις, ἁμαρτανόντων ἡμῶν ὁ λογισμὸς ἀνατρεπτικὸς τῆς ἁμαρτίας γίνεται θεὸν

Cap. 3. ἐν τῇ διανοίᾳ παρεῖναι καὶ λαλεῖν· καὶ ταύτην
οὖν ἀφεὶς, ἐπὶ τὸν ὄφιν χωρεῖ· θαυμαστὸν το
κριτήριον, τοὺς ἀπατηθέντας ἐρωτᾷ, τὸν ἀπα-
τεῶνα οὐκ ἐρωτᾷ· οὐδὲ λέγει τί ἐποίησας, πρὸς
τὴν ἀπολογίαν καλῶν· ἀλλ' ἅτε κακὸν καὶ ἀρ-
χέκακον καὶ παντελῶς ἀδιόρθωτον τῆς τιμωρίας
ἄξιον εἶναι νομίσας αὐτὸν, φησὶν ἐπειδὴ τοῦτο
ἐποίησας· κατὰ ταύτην τὴν εἰκόνα ὁ Δαβὶδ λέ-
γει· οὐκ ἀναστήσονται οἱ ἀσεβεῖς ἐν κρίσει· οὐχ'
ὅτι οὐκ ἐγείρονται, ἀλλ' ὅτι οὐκ ἐξετάζονται.
v. 14. Ἡ δὲ πρὸς τὸν ὄφιν ἀπειλὴ, ἐκούφισε τὰς
τῶν ἠπατημένων πληγάς· τί οὖν δὴ καὶ φησὶν;
ἐπειδὴ τοῦτο ἐποίησας, ἐπικατάρατος σὺ ἀπὸ
πάντων τῶν θηρίων τῆς γῆς· ἐπὶ τῷ στήθει καὶ
τῇ κοιλίᾳ πορεύσῃ, ἐπειδὴ καρδίαν ἠπάτησας καὶ
τὴν κοιλίαν ἔπεισας ἅψασθαι βρωμάτων· καὶ τὴν
v. 15. γῆν φαγῇ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου· ἔχ-
θραν θήσω ἀνὰ μέσον σου καὶ τῆς γυναικὸς· ἐπεὶ
ὡς φίλος ἠπάτησας, ὡς ἐχθρὸς ἐκβάλῃ· καὶ νό-
μος ὁ λόγος ἐγένετο· τοῦ δὲ διαβόλου πλανή-
σαντος, πῶς ὁ ὄφις τὴν κατάραν ἐδέξατο; τὸν
μὲν οὖν ἀόρατον δαίμονα ἀοράτῳ μαστίζει πλη-
γῇ· τὸ δὲ ὁρώμενον ὄργανον ὁρωμένῃ ὑποβάλ-
λει τιμωρίᾳ· ὡς γὰρ ἀόρατος ὢν ὁ θεὸς ἔδω-
κεν ὁρώμενον ὑπόμνημα τὸ δέδρον, οὕτως ἀο-
ράτου δαίμονος ὄργανον ὑποβάλλει τὸν ὄφιν κα-

τάρα· ἵνα κἂν τὸν διάβολον μὴ βλέπῃ τί πέπονθε, τὸν ὄφιν τὸν ποτὲ διανεστηκότα βλέπων συρόμενον, ἀναλόγως ἐκ τῆς τοῦ ὀργάνου τιμωρίας τὴν τοῦ χρησαμένου νοήσειεν· ὅμοιον ἐν τῷ εὐαγγελίῳ γέγονε περὶ τοὺς χοίρους τοὺς ῥιφέντας εἰς θάλασσαν, οὓς ὑπῆλθον οἱ δαίμονες ἱκετεύσαντες τοῦτο ποιῆσαι, καὶ μὴ πεμφθῆναι εἰς ἄβυσσον· ἐπέτρεψεν γὰρ ὁ Χριστὸς ὡς ἂν ἀοράτους ἐν ὁρωμένοις καταποντίσειε σώμασιν, αἰσθητὴν ἡμῖν τὴν ἐκείνων τιμωρίαν ποιῶν· ἠδύνατο μὲν οὖν ὁ θεὸς βουληθεὶς ἀναγκάσαι τὸν διάβολον διὰ τοῦ ὄφεως ᾧπερ ὀργάνῳ ἐχρήσατο πεσεῖν τὴν βαρύτητα· οἷόν τι γέγονεν ἐν εὐαγγελίοις ἐπὶ τοῦ ὑπὸ πολλῶν ὀχλουμένου πνευμάτων, ἐν ὄρεσι καὶ μνημείοις ἀνάγκῃ τῶν δαιμόνων οἰκοῦντος, καὶ τῷ Ἰησοῦ πόῤῥωθεν, ὡς φησὶν ὁ Μάρκος, εἰπόντος μετὰ τὸ προσκυνῆσαι· τί ἐμοὶ καὶ σοὶ υἱὲ τοῦ θεοῦ; ὁρκίζω σε ἵνα μή με βασανίσῃς· ἐδόκει μὲν γὰρ ὁ ἄνθρωπος κατὰ τὸ φαινόμενον ταῦτα ποιεῖν, ἐποίουν δὲ οἱ δαίμονες ὑπ' ἀνάγκης ὠθούμενοι τὸν ἄνθρωπον, οὐκέτι πρὸς τὸ δοκοῦν αὐτοῖς ἄγοντες, πρὸς δὲ τὸ φίλον θεῷ· καὶ δι' ἐκείνου δεικνύντες ὅσος αὐτοὺς ἐπὶ τῇ τοῦ Χριστοῦ παρουσίᾳ κατείληφε φόβος, καὶ τὰς ἀοράτους αὐτοῖς ἐπαγομένας βασάνους ἐδήλουν.

Cap. 3.

Cap. 3. Καὶ νῦν οὖν τοῦτο ποιῆσαι δυνάμενος, ἐπειδή περ οἱ περὶ τὸν Ἀδὰμ ἠγνόουν τὸν ἀπατήσαντα καὶ ἀλυσιτελὲς ἦν αὐτοῖς πρὸς τὸ παρὸν, ἀλλ᾿ ὅτι μανθάνειν ἀόρατον, ὡς ἂν αὐτῷ μόνῳ συνεθισθέντες μόνον εἰδεῖεν θεόν τε καὶ κύριον τοῦ παντὸς, παρῆκεν εἰκότως· δοκῶν δὲ τὸν ὄφιν τιμωρεῖσθαι, ὑπαινίττεται οἷ περιστήσεται κατὰ τὸν διάβολον· διόπερ καὶ τὴν ἐπιτιμίαν ὑπερβάλλουσαν δέχεται ὡς αἴτιος κακοῦ ὑπὲρ πάντας τοὺς ἀπ᾿ αὐτοῦ τὸ ὄφεις εἶναι ἐσχηκότας καὶ κτήνη τῷ τρόπῳ καὶ θηρία τῆς γῆς· καθ᾿ ὧν τὴν ἐξουσίαν δίδωσιν ὁ σωτὴρ τοῖς μαθηταῖς πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων· ταῦτα δὲ πάντα κακίας ἔχοντα ἀγριότητα ὑπερβάλλων ὁ διάβολος, ὑπὲρ πάντα καταδικάζεται· ἐπεὶ γὰρ δοκῶν νόησιν ἐπηρμένην ἔχειν καὶ τροφὰς ἐπιμορφαζόμενος ἔχειν μεγάλας ἠπάτα, τὴν πτῶσιν αὐτοῦ δηλῶν ὁ λόγος φησὶν ὡς γήϊνη αὐτῷ ἔσται τροφὴ, οὐδὲν ἔχοντι θεῖον καὶ ἀνηγμένον, ἀλλ᾿ ἰλυσπωμένῳ περὶ τὰ γήϊνα, τοῦ ἡγεμονικοῦ αὐτοῦ ἐκπεσόντος· τοῦτο γὰρ ἡ κοιλία δηλοῖ· ὡς ἐκ τοῦ ἐναντίου Δαβὶδ φησί· καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς κοιλίας μου· ὅθεν οἱ ἐν μετανοίᾳ φασίν· ἐκολλήθη εἰς γῆν ἡ γαστὴρ ἡμῶν, δηλαδὴ πεπτωκότων ἐξ οὐρανίου νοήσεως· τὸ δὲ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου,

ἐπειδὴ ἕκαστος πρὸς τὸν ἴδιον τρόπον ἀποστὰς Cap. 3.
τῆς δεούσης ζωῆς, ἑαυτῷ ζωὴν περιποιεῖται.

Τινὲς δὲ πρὸς τὸν αἰσθητὸν, φασὶν, ὄφιν εἰρῆσθαι νομίσαντες, ᾠήθησαν ὄρθιόν ποτε τὸν ὄφιν εἶναι· οὐ λογισάμενοι ὅτι οὐκ ἂν ἐξ ἁπάντων τῶν ἑρπετῶν ὁ Θεὸς ἐκεῖνον μόνον ὄρθιον ἐποίησεν· ἀλλ' ἐπειδὴ ὁ διάβολος ἀντιπρόσωπον αὐτὸν ὤρθωσε τῇ γυναικὶ, διὰ τοῦτο εἴρηται τὸ ἐπὶ τῷ στήθει· χωρὶς τῆς πρὸς τὸν διάβολον ἁρμοττούσης ἐννοίας, δηλοῦν αὐτῷ περὶ τοῦ ὀργάνου, ὡς οὐκέτι χρήσῃ αὐτῷ πρὸς ἀπάτην ἀνθρώπων· καὶ γῆν αὐτοῦ φησὶ τὴν τροφὴν, τὸ τῶν ἑρπετῶν ἴδιον· τὸ δὲ ἔχθραν θήσω, δοκεῖ καὶ αὐτὸ δηλοῦν ὡς ἄσπονδος ἑρπετοῖς καὶ τοῖς ἀνθρώποις ὁ πόλεμος . . . τὴν πρὸς τὸν διάβολον ἔχθραν ἡμῶν, τὸν μὲν γὰρ ὄφιν ὅταν . . . φυλαττόμεθα μόνον, ἐν ἑτέρῳ καιρῷ τῆς ἔχθρας αὐτοῦ ποιούμενοι λόγον οὐδένα· τὸν δὲ διάβολον οὐκ ἔστιν ἐφ' ὅτῳ τῶν κακῶν οὐκ αἰτιώμεθα· ὡς καὶ τοὺς τῶν δαιμόνων θεραπευτὰς λέγειν πολλάκις, ὡς ὁ μὲν Θεὸς ἀγαθὸς ὢν, οὐ δεῖται τῆς παρ' ἡμῶν θεραπείας· θεραπεύομεν δὲ τοὺς δαίμονας ὡς κακοὺς, ἵνα τῆς καθ' ἡμῶν ἀπόσχωνται βλάβης· ὡς ἀγαθὸς δὲ ὁ Θεὸς καὶ τὴν πρὸς ἀλλήλους ἔχθραν εἰργάσατο· ἁπλούστερος γὰρ συνὼν πονηρῷ, οὐ μετρίαν

Cap. 3. ἔχει τὴν βλάβην· δεῖ οὖν ἔχθραν γενέσθαι· ὡς τὸν ἀπλούστερον γενόμενον κατὰ τὸ σωτήριον παράγγελμα φρόνιμον, λέγειν περὶ τοῦ διαβόλου, οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν· ἐν οἷς γὰρ ἡ εἰρήνη βλαβερὰ, λυσιτελής ἐστιν ὁ πόλεμος· ἐπειδὴ νόμος οὗτος φιλίας, δι' ὁμοιότητος πεφυκέναι τοῖς συναπτομένοις ἐγγίνεσθαι· ὅθεν καλῶς ἔχει τὸ, φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί· ὥσπερ ἐν νοσηροῖς χωρίοις ὁ κατὰ μέρος ἀναπνεόμενος ἀὴρ λανθάνουσαν νόσον τοῖς διαιτωμένοις ἐναποτίθεται.

Ἀκολούθως δὲ ἐχθροποιεῖ καὶ τὸ σπέρμα τῷ σπέρματι· σπέρμα λέγων αὐτοῦ τοὺς κατ' αὐτὸν τυπωθέντας καὶ μορφωθέντας, ἤγουν λογισμοὺς διαστρέφοντας ἀπὸ τῆς ἀληθείας καὶ μαθήματα ταύτης ἀλλότρια· σπέρμα δὲ τῆς γυναικὸς τοὺς ἀπ' αὐτῆς ἐναρέτους· τῆς γὰρ ἐκκλησίας τύπον ἐπέχει, ἤγουν τῆς θείας παιδεύσεως τὰ νοήματα, πρὸς ἃ ἡ τοῦ ἀντικειμένου κακουργία τὰς ἐγχειρήσεις ποιεῖ· οὐ πάντως δὲ τὸ σπέρμα καὶ τέκνον διὰ τὰ ἀμβλυσκόμενα· οὐχ' ὁ ὄφις δὲ πρὸς τὸ σπέρμα, ἀλλὰ πρὸς αὐτὴν· οὐδὲ τὸ σπέρμα τοῦ ὄφεως πρὸς αὐτὴν, ἀλλὰ τὸ σπέρμα αὐτῆς· τὰ γὰρ ἄκρως κακὰ πρὸς τὰ ὑπερβάλλοντα ἀγαθὰ ἔχει τὴν μάχην, καὶ τὰ ἐλάττω πρὸς τὰ ἰσόρῥοπα· ὁ γὰρ θεὸς δί-

δωσι τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν, μὴ Cap. 3.
συγχωρῶν ἄμετρον γενέσθαι τὸν πειρασμόν· ὡς ἀγαθὸς δὲ ὁ Θεὸς καὶ τὰς ἐπιβουλὰς τοῦ ἀντικειμένου καταμηνύει· τοῦ μὲν διαβόλου ἐπιτηροῦντος τὰς τοῦ ἀνθρώπου προκοπὰς καὶ διαβάσεις εἰς ἀρετὴν, ἃς ἡ πτέρνα δηλοῖ· τοῦ δὲ ἀνθρώπου τὸ τῆς κακίας κεφάλαιον, τὴν ἀσέβειαν· τούτου γὰρ ἀναιρουμένου, συναναιρεῖται τὸ πᾶν.

Ἀπὸ δὲ τοῦ γένους εἰς ἕτερον μετέστη γένος ὁ λόγος· ὡς γὰρ πρὸς τὴν γυναῖκα πάντα ἐκεῖνα ἐλέγετο· νῦν δὲ οὗτός σου φησὶ τηρήσει κεφαλήν· ἔδει γὰρ περὶ μὲν τῆς ἀσθενεστέρας λέγεσθαι τὸ, ἔχθραν θήσω· ὡς ἂν ἀπάτης χώρα μὴ γένηται· περὶ δὲ τοῦ ἀνδρὸς ἅτε οὐκ ἀπατηθέντος κατὰ τὴν τοῦ Παύλου φωνὴν, λέγεσθαι, αὐτός σου τηρήσει κεφαλὴν ὡς ἰσχυρὸς καὶ ἐπιτηδειότερος πολεμεῖν καὶ φυλάττειν ὡς ἂν αὐτῷ ἀπάτης ἀρχὴν μὴ προσάγῃ, καθάπερ τῇ Εὔᾳ, ᾗ συνηκολούθησε φασὶ διὰ τὸ αὐτῆς χρήσιμον· συνεκβέβληται γὰρ οὐ δι' ἑαυτόν· καθὰ καὶ τοῖς ἐν Βαβυλῶνι αἰχμαλώτοις ἠκολούθησαν οἱ ἅγιοι τῶν αἰχμαλωτισθέντων ἰατροὶ γενησόμενοι· ὁ δὲ διάβολος οὐκ ἐφικνεῖται τῆς κεφαλῆς τοῦ σοφοῦ, ἀλλ' εἰ ἄρα τῆς πτέρνης, ἥ τις εἴη ἂν τὰ ἔσχατα τῶν εἰς ἀρετὴν συντε-

Cap. 3. λούντων· πολλάκις γὰρ μὴ δυνάμενός τι τῶν προηγουμένων πολεμεῖν, περὶ τὰς χρείας τὰς ἀνθρωπίνας ἐνεδρεύει, ἵνα δι' αὐτῶν ὑποσκελίσῃ· καὶ ὁ ψαλμῳδὸς φησίν· αὐτοὶ τὴν πτέρναν μου φυλάξουσιν· ἐπὶ δὲ τοῦ φαινομένου ὄφεως καὶ τῆς αἰσθητῆς πτέρνης, καθ' ἐξαίρετον ὁ λόγος γίνεται· ὅ τε γὰρ ἄνθρωπος πᾶν μὲν πλήττει τοῦ ὄφεως τὸ σῶμα ὡς ἂν τύχῃ, μάλιστα δὲ τὴν κεφαλὴν δι' ἧς νεκροῦται παντελῶς· ὅ τε ὄφις πᾶν μὲν δάκνει τὸ σῶμα, ἅτε δὲ κάτω κείμενος ἐφικνεῖται μᾶλλον τῆς πτέρνης· κεφαλῆς γὰρ ἐστὶν ὅτος ἀδύνατος, ἐκείνου ἄνωθεν καὶ κεφαλὴν δυναμένου λαβεῖν· ἀνίττεται δὲ ὅσον ἡμῶν ὑποδεέστερον ὁ θεὸς τέθεικε τὸν διάβολον, ὃν ἡμεῖς εἰς τὰ καίρια πλήττομεν εἰ τοῦ κρείττονος γενοίμεθα· καὶ εἰ κατὰ τὴν ὁδὸν τοῦ βίου καὶ τὴν πρᾶξιν μὴ ῥαθυμήσαντες ἣν πτέρναν καλεῖ, πάροδον αὐτῷ παρέχομεν καθ' ἡμῶν· τοιοῦτόν ἐστι καὶ τὸ, ἵνα τί φοβοῦμαι ἐν ἡμέρᾳ πονηρᾷ; ἡ ἀνομία τῆς πτέρνης μου κυκλώσει με· τοῦτο γάρ μοι φησὶ πονηρὸν, ἐὰν περὶ τὴν τῆς ἀνομίας πρᾶξιν ἀσχοληθῶ· ὅθεν φησὶν ὁ κύριος· ἰδοὺ δέδωκα ὑμῖν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων· δεικνὺς ὅτι καὶ τὴν τῆς πτέρνης ἀφείλετο βλάβην, τὸν θάνατον καὶ τὴν ἁμαρτίαν παντελῶς ἀνελών.

Καὶ εἶπεν ὁ Θεὸς τῇ γυναικί· πληθύνων πληθυνῶ τὰς λύπας σου καὶ τὸν στεναγμόν σου· πάλιν ἐν ἀπειλῆς σχήματι τὰ προδόξαντα γίνεται τῷ Θεῷ· ἵνα μισήσωμεν τὴν ἁμαρτίαν, ἐξ αὐτῆς ἥκειν ταῦτα νομίσαντες, καὶ θαυμάσωμεν τὴν μέλλουσαν εἰς ἡμᾶς τῆς ἀφθαρσίας γίνεσθαι δωρεάν· προσάγει δὲ τῷ τραύματι λύπας εἰς λύσιν τοῦ πταίσματος, ὥσπερ ἰατρὸς τομὴν ἢ φάρμακον καυστικόν· ἡ γὰρ κατὰ θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται· καὶ Ἡσαίας, ὅταν στραφεὶς στενάξεις, τότε σωθήσῃ· οὐ καταρᾶται δὲ, ἵνα μὴ τέκῃ· ἐπειδὴ φθάσας εὐλόγησεν, αὐξάνεσθε καὶ πληθύνεσθε· ἀμεταμέλητα δὲ τοῦ Θεοῦ τὰ χαρίσματα. Καὶ πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου φησίν· ὑπομένουσα γὰρ τὰς ἐπὶ ταῖς ὠδῖσιν ἀνάγκας, οὐκ ἀπαγορεύει τοῦ συνοίκου τὴν συζυγίαν, ἀλλὰ καὶ τῶν ἐμπιπτόντων ἀεὶ δυσχερῶν ἐν αὐτῷ τίθεται τὴν ἐλπίδα τῆς λύσεως· καὶ αὐτός σου κυριεύσει, φησίν· ἡ γὰρ ἐξ ἀρχῆς πλάσις τὴν ἰσοτιμίαν ἐδέξατο· ποιήσωμεν τὸν ἄνθρωπον, καὶ πάλιν ποιήσωμεν αὐτῷ βοηθόν· ἀλλ' οὐ προστακτικῶς, Γενηθήτω γυνή· ἡ δὲ ἀπάτη τῆς Εὔας παρέλυσε τὴν τιμὴν καὶ δούλην ταύτην εἰργάσατο· ὁ γὰρ Ἀδὰμ οὐκ ἠπατήθη κατὰ τὸν θεῖον ἀπόστολον, ἀλλ' ἡ γυνὴ Cap. 3. v. 16.

Cap. 3. κακῶς ἄρξασα τοῦ ἀνδρὸς, αἰτία γέγονεν αὐτῷ τῆς παραβάσεως· ὡς οὖν οὐκ ἄρξασα καλῶς, εἰς τὸ δουλεύειν αὐτὴ περιτρέπεται.

Ὅτι γὰρ ἡ ἁμαρτία τὴν δουλείαν ἐργάζεται, δηλοῖ καὶ τὰ θηρία· πρότερον γὰρ ἁπάντων ἦρχεν ὁ ἄνθρωπος, ὡς γὰρ πρὸς δεσπότην ἄγεται, καὶ οὐκ ἔδεισεν Ἀδὰμ ταῦτα θεώμενος· ἀλλ' οὐδὲ τὸν ὄφιν ἡ τούτου γυνὴ, ἀλλ' ὡς συνήθει τινὶ διαλέγεται· μετὰ δὲ τὴν ἁμαρτίαν ἐξέπεσεν ὁ ἄνθρωπος τῆς τούτων ἀρχῆς· καὶ τοὐναντίου αὐτὸς ταῦτα τρέμει καὶ δέδοικε, τοῦ θεοῦ διὰ φιλανθρωπίαν καταλιπόντος αὐτῷ τὰ πρὸς ἀναγκαίαν ὑπηρεσίαν τῶν τοῦ βίου χρειῶν ὑποτεταγμένα, ἵνα συνεπικουφίζῃ τὸν ἐκ τῆς κολάσεως ἱδρῶτα· διὰ δὲ τῶν ἄλλων παιδεύοντος ὅπως μαθὼν οἷος ἀνθ' οἵου γεγένηται, ἐπαναδράμῃ διὰ μετανοίας πρὸς τὴν ἰδίαν ἀρχὴν, τὸ κατ' εἰκόνα λαβὼν καὶ ὁμοίωσιν· ὅπερ ὁρῶντα τὴν ἀρχὴν τὰ θηρία, ὡς δεσπότου ὑπετάττοντο τιθέντος αὐτοῖς τὰ ὀνόματα· ἐπεὶ καὶ τῶν οἰκετῶν οἱ μὲν εὐδοκιμοῦντες φοβεροὶ τοῖς συνδούλοις εἰσὶν, οἱ δὲ προσκεκρουκότες καὶ τὸν τυχόντα τῶν ὁμοδούλων δεδοίκασι· καὶ νῦν ὁ ἄνθρωπος ἐὰν ἐπανέλθῃ πρὸς τὸ πρῶτον ἀξίωμα, οὐ μόνων θηρίων ἀλλὰ καὶ δαιμόνων οὐχ' ἁπλῶς ἄρχει ἀλλὰ ταῦτα πατεῖ· ὅπερ ἐπιτεταμένης

ἐστὶν τῆς ἀρχῆς· ἔδωκα γὰρ ὑμῖν, φησὶ, πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ· καὶ ὁ ἀπόστολος· ὑποτάξῃ, φησὶ τὸν σατανὰν ὑπὸ τοὺς πόδας ἡμῶν· οὐκέτι γὰρ κεφαλὴ καὶ πτέρνα, ἀλλ' ὁλόκληρος ἡ νίκη· τοιγαροῦν καὶ μετὰ ταῦτα ἐν τῷ Δανιὴλ τὰ θηρία τὸν βασιλικὸν χαρακτῆρα θεώμενα κατὰ τὸν λάκκον ὑπέκυπτον· καὶ τὸ ἑρπετὸν τῆς χειρὸς Παύλου ἐξέπιπτε, δακεῖν οὐχ' εὑρὸν τὸν ἁμαρτίαν οὐκ ἔχοντα, τὴν αἰτίαν τῆς βλάβης, δι' ἣν καὶ νῦν ἐκπίπτει τῆς ἀρχῆς ἡ γυνή. Cap. 3.

Τοῦτο γὰρ ὁ Παῦλος εἰδὼς, ἀπαγορεύει γυναικὶ μὴ διδάσκειν, οὐδὲ γὰρ καλῶς ἐδίδαξε πρότερον· οὐδὲ αὐθεντεῖν τοῦ ἀνδρὸς, ἐπειδήπερ ἦρξε κακῶς· παραχωρεῖν δὲ φησὶ τῷ ἀνδρὶ· καὶ τὴν αἰτίαν ἐπήνεγκεν· ὁ Ἀδὰμ οὐκ ἠπατήθη, ἡ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγονεν· ἔνθα δὲ συνέβη τὸν μὲν ἄνδρα ἀπατᾶσθαι, τὴν δὲ γυναῖκα μένειν ἀνεξαπάτητον· καὶ τὰ τῆς ἀρχῆς εὐθὺς περιτρέπεται, καὶ δίδωσιν αὐτῇ τὸ διδάσκειν, λέγων· τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις; πᾶς δὲ πρὸς σωτηρίαν ἡγούμενος, ἄρχων τοῦ σωζομένου καθέστηκεν· οὕτω πανταχοῦ ἡ μὲν ἀρετὴ ἀρχικὸν, ἡ δὲ ἁμαρτία δουλοπρεπὲς, δι' ἣν ἡ γυνὴ κατακρίνεται λύπῃ καὶ

Cap. 3. στεναγμῷ καὶ δουλείᾳ, μέχρι τὴν ἀρὰν διὰ τὴν φιλανθρωπίαν ἔλυσεν ὁ Χριστὸς, τεχθεὶς διὰ γυναικός· καὶ ἐπειδὴ ὑπαιτία οὖσα οὐκ ἠδύνατο τεκεῖν τὸν ἀνεύθυνον, προδραμὼν ἄγγελος τῇ χαρᾷ τὴν λύπην διέλυσε, προοίμιον τοῦ λόγου τὸ χαίρειν εἰπών· καὶ τὴν αἰτίαν ἐπήνεγκεν· ὁ κύριος μετὰ σοῦ· εἰκὼν γὰρ αὕτη τῆς Εὔας ἐτύγχανε· παρθένος γὰρ ἑκατέρα· καὶ Εὔα γὰρ παρθένος οὖσα ἥμαρτεν· ἀλλ' ἡ μὲν ἔσχε τὴν λύπην ἐξ ὄφεως, καὶ ταῖς ἐφεξῆς ἁπάσαις καὶ αὐταῖς ἡμαρτηκυίαις τῆς λύπης μετέδωκεν, ἡ δὲ τὴν χαρὰν ἐκ θεοῦ· καὶ τὴν ἀρὰν τοῦ γένους διέλυσε, καὶ τόκος ἀπαθὴς τὸν ἐν στεναγμῷ καὶ λύπαις κατέπαυσεν· ὅθεν τὴν μὲν πάντες αἰτιῶνται, τὴν δὲ μακαρίζουσιν ἅπαντες· καὶ ὡς πρόσωπον ἔχουσα τῆς Εὔας φησίν· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί· τὸ ἀπὸ τοῦ νῦν πρὸς ἀντιδιαστολὴν προσθεῖσα τοῦ φθάσαντος χρόνου καθ' ὃν τῆς λύπης καὶ τοῦ στεναγμοῦ τὴν αἰτίαν ἐφέρετο· καὶ τὴν ἀρχὴν εὐθὺς ἔσχεν ὁ λόγος· ὡς γὰρ Ἰησοῦς εἱστήκει διδάσκων, φησί τις γυνὴ πρὸς αὐτὸν, μακαρία ἡ κοιλία ἡ βαστάσασά σε καὶ οἱ μαστοὶ οὓς ἐθήλασας.

Τὸ δὲ πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ τὸ αὐτός σου κυριεύσει, Παῦλος αὐτάρκως

ἐδήλωσεν, εἰπών· οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας ὑμῶν· ὡς ἂν αὐταῖς τῶν δυσχερῶν ἀπαλλαγὴν μηχανῶνται· καὶ ἐπάγει τὴν ὑπερβολὴν καὶ τὸ τῆς ἀγάπης ἀπαθές· καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν ἐκκλησίαν· εἶτα φησὶν, αἱ γυναῖκες ἵνα φοβῶνται τοὺς ἄνδρας, ὡς κυρίων τῶν ἀνδρῶν δούλας αὐτὰς ἐργαζόμενος· καὶ πάλιν, Γυνὴ ἐν ἡσυχίᾳ μανθανέτω ἐν πάσῃ τῇ ὑποταγῇ· καὶ ἵνα μὴ ἀκούσασα τὸ αὐτός σου κυριεύσει, φορτικὴν εἶναι νομίσῃ τὴν δεσποτείαν, πρότερον τὸ τῆς κηδεμονίας ἔθηκεν ὄνομα, πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, τουτέστι καταφυγὴ καὶ λιμὴν καὶ ἀσφάλεια· καὶ ἀγαπητῷ φόβῳ συνέζευκται, καὶ φυσικαῖς ὁ θεὸς αὐτοὺς ἀνάγκαις τῆς ἐπιθυμίας κατέδησε· δέδωκε δὲ φασὶν ἡμῖν ὁ μακάριος Παῦλος ἐπὶ τὴν ἀναγωγὴν ἀφορμὰς, εἰπών· τὸ μυστήριον τοῦτο μέγα ἐστὶν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν· ἡ ἐκκλησία τοίνυν τέκνα ἐν λύπαις τίκτει· πόνος γὰρ τῆς ἀρετῆς προηγεῖται, καὶ λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργαζομένη· τίκτει δὲ αὐτὰ διὰ λουτροῦ παλιγγενεσίας· ἕπεται γὰρ τῇ μὲν ἀρετῇ πόνος, τῇ δὲ ἡδονῇ· ρα . . . γινόμενος· ἀλλὰ καὶ πρὸς τὸν ἄνδρα Χριστὸν τὴν ἀποστροφὴν ἔχει παρ' αὐτοῦ κυριευομένη· ὡς ἂν κατὰ τὰς ὑποθήκας αὐτοῦ Cap. 3.

Cap. 3. τὰ παρ' αὐτῆς τικτόμενα τῆς ἀρετῆς γεννήματα ἀπ' αὐτοῦ ἔχῃ τὴν τελεσιουργίαν.

v. 17. Ὅτι ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου, καὶ ἔφαγες ἀπὸ τοῦ ξύλου οὗ ἐνετειλάμην σοι μὴ φαγεῖν, ἐπικατάρατος ἡ γῆ ἐν πᾶσι τοῖς ἔργοις σου· πάλιν ὁ ηὐλογημένος οὐ λαμβάνει τὴν κατάραν, ἀλλ' ἡ γῆ, δι' ἧς ἐπαιδεύετο· καὶ οὐκ εἶπεν ἁπλῶς ἐπικατάρατος ἡ γῆ, ἐπεὶ ἔμενε κατηραμένη καὶ καρπὸν οὐκ ἔφερεν· ὥσπερ εἶπε τῇ συκῇ, μηκέτι καρπὸς ἐκ σοῦ ἐξέλθοι, καὶ ἐξηράνθη· ἀλλὰ προσέθηκεν ἐν τοῖς ἔργοις σου, ἵνα δείξῃ τὰς ἐπισυμβαινούσας τοῖς γεωργοῦσιν ἀποτυχίας, καὶ ὅτι μετὰ μυρίους ἱδρῶτας οὐδὲν ἐσθ' ὅτε κομίζονται· καὶ τὸ θαυμαστὸν, ποιήσας γὰρ ὁ θεὸς τοὺς καρποὺς οὐκ εὐλόγησεν αὐτοὺς ὥσπέρ τινα τῶν ζώων καὶ αὐτὸν δὲ τὸν ἄνθρωπον· τὴν γὰρ μέλλουσαν ἁμαρτίαν εἰδὼς, τὴν δι' αὐτῶν ἐφύλαξε τιμωρίαν· ἀφορούντων μὲν ἁμαρτάνουσιν, εὐσθενούντων δὲ λύουσι τῇ μετανοίᾳ τὰ πλημμελήματα· εἰ δὲ εὐλόγησεν ἅπαξ αὐτοὺς, ἀμεταμέλητον ἤμελ-

v. 18. λεν εἶναι τὸ χάρισμα. Ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι· κατεφρόνησας φησὶ, τῶν μεγάλων, τύπτου ὑπὸ σμικρῶν· καὶ ἡ παιδεία γὰρ σύμμετρος οὐκ ἀναιροῦσα παντελῶς, ἀλλ' ἀνιῶσα βραχύ· τινὲς δὲ τοῦτο σημαίνειν φασὶν ἁπλῶς

τὸ μὴ γίνεσθαι καμόντι πολλάκις καρπούς. Ἐν Cap. 3.
λύπαις, φησὶ, φαγῇ αὐτήν· ἐν λύπαις ἐκείνη
τίκτει· ἐν λύπαις σὺ φάγε· ὅθεν οὐκ ἔστιν ἄλυ-
πον εὑρεῖν οὐδένα, κἂν τύχῃ πλουσιώτατος ὤν·
ἡ δὲ λύπη λογικοῦ ἐστὶ παντὸς, οὐδενὸς τῶν
ἀλόγων ἀπτομένη· διόπερ ὁ ὄφις οὐκ ἐπιτιμᾶ-
ται τῇ λύπῃ· ζήσεις τοίνυν ὀδυνηρῶς, καὶ λύ-
σις ἔσται σοι τῶν κακῶν μόνος ὁ θάνατος.

Καὶ ἀποστρέψεις εἰς τὴν γῆν ἐξ ἧς ἐλήφ- v. 19.
θης· ἵνα σπείρῃ αὐτῷ τὴν ἐλπίδα τῆς ἀναστά-
σεως· ὁ γὰρ λαβών σε τότε, δύναται πάλιν λα-
βεῖν· ὅθεν εἶπε καὶ εἰς γῆν ἀπελεύσῃ, ἀλλ' οὐκ
ἀφανισθήσῃ· τὸ γὰρ ἀπελεύσῃ τὸ ἐπανελεύσῃ
ἡρμήνευσε· καὶ φαγῇ τὸν χόρτον τοῦ ἀγροῦ μό-
νοις τρεφόμενος σπέρμασι· περὶ ξύλον γὰρ ἁμαρ-
τὼν, τῆς αὐτομάτου τῶν ξύλων ἐν παραδείσῳ
διαμαρτάνεις τροφῆς· τοιαύτη γὰρ ἄχρι τοῦ κα-
τακλυσμοῦ τῶν ἀνθρώπων ἡ δίαιτα· οὕτως ἐπὶ
τῆς δημιουργίας βοτάνην εἶπε χόρτον, ἀντιδια-
στέλλων τοῖς ξύλοις τὰ σπέρματα· ἐπιστατέον
δὲ ὅτι πρὸς τὸν Ἀδὰμ μέμνηται τῆς ἐντολῆς
ὥσπερ αὐτὴν διαλεγόμενος δέδωκε, μάλιστα φρον-
τίσαι ταύτης ὀφείλοντι τῆς φυλακῆς, εἰ καὶ
ἐκοινώνει τῆς ἀκροάσεως ἡ γυνή· καὶ αὐτὴν γὰρ
ἔδει φυλάττειν, καὶ τὴν τιμωρίαν διὰ ταύτην
ἐδέξατο· ἀλληγορίας δὲ νόμῳ ἀκάνθας φασὶ

Cap. 3. καὶ τριβόλους ἀνατελεῖ σοι· τί γὰρ ἐκ τῆς τοῦ σώματος ἀκολουθίας οὐκ ἐπώδυνόν ἐστιν, ἡδονῶν τε καὶ μεριμνῶν ἐξ αὐτοῦ φυομένων; ταύτας γὰρ εἶναι τὰς ἀκάνθας ὁ σωτὴρ ἐμήνυσεν· αἵ τινες συμπνίγουσι τὸν ὑπὸ Ἰησοῦ βαλλόμενον σπόρον, ἐὰν ὁ δεξάμενος μὴ εἰς βάθος τοῦτον ὑποδέξηται· ἀλλὰ καὶ τὸ λεγόμενον, ὡς γῆ πιοῦσα τὸν ἐπ' αὐτῆς ἐρχόμενον πολλάκις ὑετὸν, καὶ τίκτουσα βοτάνην εὔθετον ἐκείνοις δι' οὓς καὶ γεωργεῖται, μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ θεοῦ· ἐκφέρουσα δὲ ἀκάνθας καὶ τριβόλους, ἀδόκιμος καὶ κατάρας ἐγγὺς· ἧς τὸ τέλος εἰς καῦσιν· ἐὰν οὖν τις διὰ μελέτης ταύτας ἀναβλαστῆσαι μὴ συγχωρήσῃ, σχήσει χόρτον ὅ ἐστι τρόφιμόν τι· πρῶτον γὰρ χόρτος ἐστὶ τὸ φυόμενον, ὡς καὶ ὁ σωτὴρ φησὶν, εἶτα στάχυς· ἀγαθοῦ δὲ εἰσαγωγικὸν, χόρτον τέως φαγεῖν, τὰ πρῶτα τῆς ἀρετῆς· εἶτα στάχυν τὴν τελειότητα· ἐπὶ μόχθον οὖν ἡ ἀρετὴ· ὅπου καὶ ἡ καρδία τῶν ἀνθρώπων ἐπιμελῶς ἐπὶ τὸ κακὸν ἔγκειται· διὸ φησὶ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου· οἰκείως δὲ τούτοις καὶ τὸ ἕως ἀποστρέψῃς εἰς τὴν γῆν ἐξ ἧς ἐλήφθης· ἀναστὰς γὰρ ἐκ νεκρῶν, οὐράνιον ἕξεις πολιτείαν ἐν γῇ τῶν πραέων γινόμενος.

Παρατηρητέον δὲ ὡς τῷ μὲν ὄφει εἴρηται· Cap. 3.
ἐπικατάρατος σὺ ἀπὸ τῶν κτηνῶν πάντων· τῷ δὲ Ἀδὰμ ἐπικατάρατος σὺ ἀπὸ τῆς γῆς· ἀλλ' ἐπὶ τούτοις ζητητέον, εἰ ἄφθαρτος ἦν Ἀδὰμ, πῶς ὑπεδέξατο τοῦτον φθορά; εἰ δὲ φθαρτὸς, τί πλέον ἀπὸ τῆς ἀποφάσεως λεγούσης, ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε; ἄφθαρτος οὖν μὲν ὁ γηγενὴς οὐκ ἐπλάσθη· οὐ γὰρ ἄφθαρτον τὸ ἀφ' οὗ πέπλασται· μετὰ δὲ τὴν πλάσιν ἐνεφύσησεν ὁ Θεὸς εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς· καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν· ἔχει τοίνυν ἄφθαρτον μὲν τὴν ψυχὴν, φθειρόμενον δὲ τὸ σῶμα· ἀλλὰ καὶ αὐτὴν τοῦ σώματος τὴν πλάσιν ἔσχε δυναμένην ἀθανατίζεσθαι δι' αὐτεξουσιότητα τῶν καλῶν ἐπισκευαστῇ τροφῇ· μεσότητα γὰρ εἶχεν ἡ πλάσις θνητότητος δυναμένης ἀθανατίζεσθαι· ὡς καὶ νῦν ἐφ' ἡμῶν μεσότης τοῦ σπειρομένου μὲν ἐν φθορᾷ, ἐγειρομένου δὲ ἐν ἀφθαρσίᾳ· οὐχ' ἡ ἀφθαρσία τοίνυν ὑπέπεσε τῇ φθορᾷ, ὡς ἐξεναντίας ἐλπίζομεν τὴν σπειρομένην ἐν φθορᾷ ἐγείρεσθαι ἐν ἀφθαρσίᾳ· ἀλλὰ τὸ δυνάμενον ἐπισκευασταῖς ἀθανατισθῆναι τροφαῖς εἰ τὴν ἐντολὴν ἐτήρησαν, τοῦτο μὴ τηρησάντων αὐτὴν τῶν τοιῶνδε τροφῶν καὶ τῆς ἐξ αὐτῶν ἀθανασίας ἐκπέπτωκεν· ἐπεὶ καὶ τῶν ἔξω τινὲς τὸν κόσμον φασὶ φθαρτὸν μὲν, οὐ μὴν φθαρησόμενον.

Cap. 3. Ἐξεκρούσθη οὖν ἐκ τῆς ἀποφάσεως, τοῦ παραδείσου ὃς οὐ δέχεται τοὺς ἀποθνήσκοντας ἀλλὰ τοὺς ζῶντας· εἰ γὰρ μὴ ἔφαγεν, ἠδύνατο μὴ ἀποθανεῖν· φύσει μὲν οὐκ ἂν ἀθάνατος, ἐπισκευαστὴν δὲ ἀθανασίαν δευτέρῳ λόγῳ καρπούμενος· οὐχ᾽ ἡ ἀπόφασις δὲ τὸ ἀποθανεῖν πεποίηκεν· οὐδὲ γὰρ ἀπόφασις τὸ προειπεῖν τὸ ἑπόμενον πρὸς τὴν αἵρεσιν ἢ τὴν ἀπεκλογὴν, ἀλλ᾽ ἀσφαλοῦς προσοχῆς παραγγελία, προαγόρευσις δὲ τοῦ ἀκολουθήσαντος τῷ παραβαίνοντι· οὐδὲ γὰρ τῶν ἰατρῶν τὰ προσφυλακτικὰ παραγγέλματα, ἀπόφασις τοῦ νοσεῖν ἢ τελευτᾷν, ἀλλὰ προαγόρευσις· ὁ δὲ μὴ φυλάξας ἐκ ῥᾳθυμίας, τοῦ τελευτᾷν αἴτιος· οὐδὲ αἱ τῶν προφητῶν προῤῥήσεις ποιητικαὶ τῆς αἰχμαλωσίας· οὐκοῦν οὐκ αἴτιος θανάτου θεὸς, εἰσελθόντα δὲ φθόνῳ διαβόλου μετασκευάζει πρὸς ζωὴν αἰώνιον, ἀνάστασιν νεκρῶν ὑποσχόμενος καὶ δείξας, δευτέραν ταύτην ἀθανασίαν διὰ δευτέρου ξύλου σταυροῦ καὶ θανάτου τοῦ δευτέρου Ἀδὰμ, μηχανώμενος· ἐπεὶ γὰρ διὰ ξύλου θάνατος, διὰ ξύλου καὶ ἡ ζωή· τὸ γὰρ πολὺ ποίκιλον τῆς τοῦ θεοῦ σοφίας τοῖς δι᾽ ἀληθῆ μετάνοιαν ἐπιστρέφουσιν ἐπήγγελται λέγων· σήμερον μετ᾽ ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ· καὶ ῥύεται μὲν θανάτου, τίθησι δὲ ἐν τῷ παραδείσῳ ἐν ᾧ τὰ ξύλα οὐχ᾽

ὡμοιώθη τῷ κάλλος τίμιον ἐσχηκότι πρότερον Cap. 3.
καὶ πάντα χρυσὸν λίθον ἐνδεδυμένῳ, ἕως εὑρεθῇ ἀδικία ἐν αὐτῷ ἐπὶ γῆς λοιπὸν ῥιφέντι, τῶν ἁγίων αὐτοῦ βεβηλωθέντων.

Ὅτι αὕτη μήτηρ πάντων τῶν ζώντων· ὁ μὲν v. 20.
γὰρ ἀνὴρ ἄμορφον καταβάλλει σπέρμα, ἡ δὲ διαπεπλασμένον εἰς ἀνθρώπου τύπον, καὶ ζῶντα προβάλλει τὰ γεννώμενα· καὶ ὁ μὲν ἔχει τὴν τιμὴν ὡς διδοὺς τὴν ἀρχὴν, ἡ δὲ ὡς τὰ μετὰ ταῦτα παρέχουσα μετὰ πλείστης ὅσης ταλαιπωρίας· ὅθεν καὶ ὁ νόμος κοινὸς κεῖται· ὁ κακολογῶν πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω· οὐκ ἦν δὲ τοῦ Ἀδὰμ εἰδέναι ὡς ἐξ αὐτῶν πᾶν τὸ ἀνθρώπειον γένος ἔσται, μὴ τοῦ θεοῦ τὴν πρόγνωσιν ἐνεργήσαντος ἐξ ἧς καὶ τοὔνομα τέθεικεν· πάντων δὲ τῶν ζώντων φησὶ τῶν πεφυκότων μητέρα ταύτην ἔχειν, οὐ γὰρ δήπου καὶ τῶν ἀλόγων· εἰ δὲ καὶ τῆς ἐκκλησίας τύπον ἔχει, μήτηρ εἰκότως ἐστὶ τῶν ζώντων, κατὰ Χριστὸν Ἰησοῦν λέγοντα· ἐγώ εἰμι ἡ ζωή· ἐξ ἧς καὶ οἱ ἀπογεγραμμένοι πρωτότοκοι μετέχουσι θείας ζωῆς, Χριστοῦ μὲν ὄντος πατρὸς, μητρὸς δὲ ταύτης.

Καὶ ἐποίησεν κύριος ὁ θεὸς τῷ Ἀδὰμ χι- v. 21.
τῶνας δερματίνους· νεκρὰν σκέπην ἐποίει τῷ νεκρωθέντι διὰ τὴν ἁμαρτίαν· τινὲς δὲ, καθάπερ

Cap. 3. εἴρηται πρότερον, τὴν τῆς φύσεως ἔφασαν νέκρωσιν· τινὲς δὲ δηλοῦν ὅτι κατενεχθέντες εἰς θνητὴν φύσιν, τὰ τῆς θνητῆς ἐνενόουν φύσεως αἰσθόμενοι τῆς γυμνώσεως· καὶ ἐποίησε φασὶν αὐτοῖς χιτῶνας δερματίνους· οὐκ ἀπὸ ὑποκειμένου, ἀλλ' ὡς πάντα ἐκ μὴ ὄντων· πῶς οὖν, εἴγε τῇ ἑβδόμῃ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ; ὅθεν οἱ ἀλληγορηταὶ φασὶν, ἆρα μὴ βοὰς ἢ πρόβατα ἔθυε, καὶ βυρσέως ἀπετέλεσε τέχνην; οἷς οἱ ἀντιλέγοντες φασὶν· εἰ τὸ ὅλον ζῶον προήγαγεν ἄνευ συμπλοκῆς, μέρος τοῦ ὄντος ποιεῖν οὐκ ἠδύνατο; ἀλλ' οὐδέ ποτε, φασὶ, ποιεῖ μέρος οὐδὲν ἀτελές· πῶς ἐν Αἰγύπτῳ τὸ αἷμα πεποίηκε; δίδου καὶ σὺ τὰ τιθέντα ζῶα ἐξ ὧν τὸ μέρος ἐγένετο· τινὲς δὲ πρὸς ἄμφω ἀπορήσαντες τό τε ἐκ ζώων ἀναιρέσεως αὐτοὺς γεγονέναι, ἐπέλειπεν γὰρ ἂν τὸ γένος τῶν σφαγέντων, ἄρτι μὲν τοῦ θεοῦ ἄῤῥεν καὶ θῆλυ πεποιηκότος, οὔπω δὲ τεχθέντος οὐδενὸς· καὶ ὅτι οὐκ ἂν ζῶα σφαγῆναι προσέταξε, μήπω τῆς κρεωφαγίας οὔσης· ἀποροῦντες καὶ πρὸς τὸ μὴ ἐξ ὑποκειμένου γεγονέναι· ἐπαύσατο γὰρ φασὶν ὁ θεὸς τοῦ ἐκ μὴ ὄντων ποιεῖν ὡς παντὸς συμπληρωθέντος τοῦ κόσμου· ἠγνόησαν φασὶν οἱ περὶ τούτων ζητοῦντες ὅτι δέρματα οὐ μόνον τὰ ἐκ τῶν ζώων λέγεται, ἀλλὰ καὶ τὰ ἐκ τῶν δένδρων ἃ καὶ

φλοιοὺς ὀνομάζειν ἔθος· ἐκ τούτων οὖν ἐποίησαν τοὺς χιτῶνας, ἐμβαλόντος αὐτοῖς τοῦ θεοῦ, καὶ τὴν ἀπορίαν λύοντος, ἐξ ἧς φύλλοις συκῆς ὡς ἔτυχε ῥαφεῖσι περιεζώσαντο, τῆς γυμνώσεως τῆς ἰδίας αἰσθόμενοι· καὶ διὰ τοῦτο ἔργον αὐτῷ καλεῖ τοῦ θεοῦ· διὸ καὶ παρὰ τῷ Ἰὼβ φησί· τίς ἔδωκε τῇ γυναικὶ ἐνδύματος σοφίαν; Cap. 3.

Πρὸς ταῦτα δὲ λέγειν ἐστὶ, πρῶτον μὲν δυνατὸν καὶ ἐξ ὄντων αὐτὰ γεγονέναι· οἷον τῶν ἤδη γεγονότων στοιχείων, ὥσπερ καὶ τ' ἄλλα πάντα μετὰ τὴν πρώτην ἡμέραν ἐγένετο· ὥσπερ οὖν ὕστερον ἐκ τοῦ νειλώου ὕδατος τὸ αἷμα πεποίηκεν, εἰς τοῦτο μεταβαλών· δεύτερον, εἰ τῇ ἕκτῃ ἡμέρᾳ γέγονεν ὁ Ἀδὰμ καὶ περὶ ἕκτην ὥραν παρέπεσε, καὶ δείλης ἠλέγχθη πρὸ τοῦ σαββάτου, τί ἐκώλυε καὶ τότε τοὺς δερματίνους αὐτῷ γενέσθαι χιτῶνας ἐκ μὴ ὄντων; ἐλέγετε γὰρ ἐπανάληψιν εἶναι τὰ εἰρημένα· ἐν δὲ ταύταις ἔθος εἶναι τῇ γραφῇ προστιθέναι τὰ λείποντα· πλὴν ὅτι προιὼν μετὰ τὴν ἐκβολὴν τοῦ παραδείσου καὶ τὴν φλογίνην ῥομφαίαν φησὶν εἰρῆσθαι τὰ περὶ τοῦ ὀνόματος τῆς γυναικὸς καὶ τῶν δερματίνων χιτώνων, εἰ καὶ ἡ τάξις φησὶν ἀνέστραπται.

Οἱ δὲ ἀλληγοροῦντες μετὰ τὸν εἰρημένον διασυρμὸν φασὶν ὡς ὁ μὲν κατ' εἰκόνα, τὴν ψυ-

Cap. 3. χὴν σημαίνει· ὁ δὲ ἀπὸ τοῦ χοῦ πλασθεὶς, τὸ λεπτομερὲς σῶμα καὶ ἄξιον τῆς ἐν παραδείσῳ διαγωγῆς, ὅ τινες αὐγοειδὲς ἐκάλεσαν· οἱ δὲ δερμάτινοι χιτῶνες, τὸ, δέρμα καὶ κρέας με ἐνέδυσας, ὀστέοις δὲ καὶ νεύροις με ἐνεῖρας· τῷ δὲ αὐγοειδεῖ τὴν ψυχὴν ἐποχεῖσθαι πρώτῳ λέγουσιν, ὅπερ ὕστερον ἐνεδύσατο τοὺς δερματίνους χιτῶνας. Τούτοις δὲ πάντες ὡς εἰπεῖν ἀντιλέγουσιν οἱ τῆς ἐκκλησίας διδάσκαλοι, Κλήμης ἐν τρίτῳ στρωματεῖ, καὶ Διονύσιος ὁ ἀλεξανδρέων ἐπίσκοπος ἐν τῇ εἰς τὸν ἐκκλησιαστὴν ἑρμηνείᾳ, καὶ Πέτρος ὁ τῆς αὐτῆς πόλεως ἐπίσκοπός τε καὶ μάρτυς ἐν τῷ περὶ ψυχῆς πρώτῳ λόγῳ, καὶ Ἀθανάσιος πάλιν ὁ Ἀλεξανδρείας ἐν τῷ κατὰ ἀρειανῶν δευτέρῳ λόγῳ καὶ ἐν τῷ βίῳ τοῦ μεγάλου Ἀντωνίου, καὶ Θεόφιλος ὁ τοῦτον διαδεξάμενος ἐν ἐπιστολῇ γραφείσῃ τοῖς ἐν Κωνσταντίνου πόλει κατὰ τῶν τὰ Ὠριγένους φρονούντων, καὶ Κύριλλος ὁ τούτου διάδοχος ἐν ἐπιστολῇ γραφείσῃ πρὸς τοὺς ἐν . . . μοναχοὺς, καὶ Εἰρηναῖος ὁ Λουγδούνων ἐπίσκοπος ἐν τῷ τρίτῳ λόγῳ τῆς κατὰ τῶν αἱρέσεων πραγματείας κεφαλαίῳ νθ καὶ ξε, καὶ Ἰουστῖνος φιλόσοφός τε καὶ μάρτυς, ἐν τῷ περὶ ἀναστάσεως λόγῳ, καὶ Βασίλειος ὁ καππαδόκης ἐν κα τῆς ἑξαημέρου καὶ ἐν τῇ εἰς τὸν α ψαλμὸν ὁμιλίᾳ,

Locus insignis adversus allegoricos.

καὶ ὁ τούτου ἀδελφὸς Γρηγόριος ἐν τῇ περὶ Cap. 3.
τοῦ ἀνθρώπου πραγματείᾳ ἐν κεφαλαίῳ κθ, καὶ Γρηγόριος ὁ θεολόγος ἐν τῷ ἀπολογητικῷ καὶ ἐν ἄλλοις τε πολλοῖς καὶ ἐν τῷ β θεολογικῷ· καὶ ἐν ἀγλαοφῶντι Μεθόδιος ἐξ οὗ τινας ἐννοίας ἐν τοῖς φθάσασι παρεθέμεθα.

Ἰδοὺ γέγονεν Ἀδὰμ ὡς εἷς ἐξ ἡμῶν· μή πο- v. 22.
τε οὖν ἐκτείνῃ· καὶ τὰ ἑξῆς· ἐλεγκτικῶς τὴν νόησιν τοῦ Ἀδὰμ πεισθέντος τῇ πλάνῃ τοῦ ὄφεως μεμφόμενος λέγει· τινὲς δὲ κατὰ διασυρμὸν ἔφασαν, ἄλλοι κατ᾽ εἰρωνείαν· ἔστι δὲ ταῦτα τοῖς τῆς ἀποφάσεως λόγοις ἀκόλουθα πρὶν ῥηθῆναι τὰ περὶ τῆς γυναικὸς τοῦ ὀνόματος καὶ τῶν δερματίνων χιτώνων· ἐπειδὴ γὰρ μεγάλα φαντασθεὶς ἐξ ἀνοίας ἠπάτηται, καλῶς μετὰ τὴν ἀπόφασιν τούτοις αὐτὸν ἐπιστύφει τοῖς ῥήμασιν· πάνυ γε, φησὶν, ἐκβέβηκέ σοι τὰ τῆς ὑπονοίας· διὰ τοῦτο καὶ τὸ ἐξ ἡμῶν πρὸς τὴν ὑπόνοιαν εἴρηται, ἐπειδήπερ ἔφησεν ὁ διάβολος ὡς θεοί· ἀμφότερα πλῆττον καὶ ὅπερ ἐνόμισε γενέσθαι, καὶ τὸ πολλοὺς εἶναι θεοὺς, τό τε ψεῦδος ἐκείνου δηλῶν, καὶ τούτου τὴν ἄνοιαν· ἅμα δὲ παρίστησι καὶ τὴν εἰς τοὐναντίον μεταβολὴν ἐκ θείας ἐλπισθείσης φύσεως γεγονότος θνητοῦ· ἐν δὲ τῷ ἑβραϊκῷ φασὶ διὰ τῶν αὐτῶν γράφεσθαι γραμμάτων τὸ θεὸς καὶ θεοί· τοιγαροῦν τὸ ἔσε-

Cap. 3. σθε ὡς θεοὶ τινὲς ὡς θεὸς ἀνέγνωσαν· ἀλλ' ἡ νῦν γραφὴ προσκείμενον ἔχουσα τὸ ἡμῶν, ἐκ τῆς ἀκολουθίας καὶ τὸ ἄνω πληθυντικῶς δείκνυσιν εἰρημένον· ὡς εἷς δὲ, ἐπειδὴ καὶ ὁ διάβολος οὐκ εἶπε θεοὶ, ἀλλ' ὡς θεοί· θεὸν τάχα καλῶν ἑαυτὸν καὶ τὴν ἑαυτοῦ στρατιάν· τινὲς δὲ πρὸς τοὺς ἀγγέλους εἰρῆσθαι φασὶ τὸ ὡς εἷς ἐξ ἡμῶν, καθάπερ τὶς ἂν εἴποι βασιλεὺς τοῖς ἑαυτοῦ δορυφόροις· οἳ καὶ φασὶν ὡς οὐκ εἶπεν ὡς εἷς ἡμῶν, ἢ ὡς ἡμεῖς, ἢ ὡς ἐγὼ, ἀλλ' ὡς εἷς ἐξ ἡμῶν· ἐκ γὰρ τῶν οὐρανίων ὁ εἷς οὗτος ἐξέπεσε, καθὰ καὶ ὁ ψαλμῳδὸς λέγει· ἐγὼ εἶπα θεοὶ ἐστὲ καὶ υἱοὶ ὑψίστου πάντες, ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε καὶ ὡς εἷς τὸν ἀρχόντων πίπτετε· καὶ γὰρ ἐκεῖνος ἄρχων καὶ θεὸς οὐ κατ' οὐσίαν ἀλλὰ κατὰ θεοποιίαν ἐξέπεσε· πλειόνων γὰρ γενομένων ἀρχόντων εἷς πέπτωκε· τοιοῦτον ἐστὶ καὶ τὸ, εἷς ἐξ ὑμῶν παραδώσει με, δηλαδὴ τῆς ἀποστολικῆς τάξεως ἐκπεσών.

Εἰπὼν δὲ ἰδοὺ γέγονεν ὡς εἷς ἐξ ἡμῶν, ἐπήγαγε πῶς, εἰπών· τοῦ γινώσκειν καλὸν καὶ πονηρόν· τοῦτ' αὐτὸ γὰρ μόνον οἱ μὴ χρώμενοι τῇ ἀρετῇ ἔχουσι, γινώσκοντες μόνον τί καλὸν καὶ πονηρόν· μὴ διαστέλλοντες δὲ, ὡς αἱρεῖσθαι μὲν τὸ ἀγαθὸν, φεύγειν δὲ τὸ κακόν· ἐναλλὰξ

γοῦν τοῖς πράγμασι χρῶνται κατὰ τοὺς ταλα- Cap. 3.
νιζομένους, περὶ ὧν λέγεται· οὐαὶ οἱ λέγοντες τὸ πονηρὸν καλὸν, καὶ τὸ καλὸν πονηρόν· τὸ δὲ μή ποτε ἐκτείνῃ τὴν χεῖρα αὐτοῦ, οὐ φθόνῳ φησὶ, θεοῦ γὰρ ἀλλότριον, ἀλλ᾽ ἀναρμόστως αὐτῷ κέχρηται ἐπέχων· κατὰ τὸ, μὴ βάλητε τὰ ἅγια τοῖς κυσὶ, μὴ δὲ τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων· διὰ τί; μή ποτε στραφέντες ῥήξωσιν ὑμᾶς· οὐ δεῖ γὰρ τὸν ἐν ἁμαρτίαις τοῦ τῆς ζωῆς ἔχεσθαι ξύλου· καταφρονητικὸν γάρ· κωλυόμενος δὲ ποθήσει ποτὲ τὴν θείαν ἀγωγὴν καὶ διδασκαλίαν, αἰσθόμενος οἵ κακῶν ἐστιν· εἰ δὲ καὶ μὴ ποθήσῃ, βελτίων ἡ ἐν τοῖς ἐξ ἐπινοίας αὐτοῦ κακοῖς διατριβὴ τῆς τῶν θείων καταφρονήσεως, εἰ ταῦτά τις αὐτῷ ἀκαίρως προσάγει· πολυχρόνιον γὰρ τὸ κακὸν γίνεται τοῦ ἀγαθοῦ περιφρονησθέντος· ἐξ οὗ συμβαίνει ἀνεράστως ἔχειν πρὸς αὐτό· τὸ δὲ εἰς τὸν αἰῶνα πρόσκειται ἀντὶ τοῦ διὰ βίου· ᾧ ὅμοιον τὸ παρὰ Παύλῳ· οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα· καὶ ζωὴν δὲ δεῖ νοεῖν ἣν ζήσεται, τὴν ἐν χείροσι καὶ κακοῖς, παρὰ τὴν ζωὴν, ἧς εἰ φάγοι καταφρονεῖ· τινὲς δὲ οὕτως· οὐ φθονῶν ὁ θεὸς λέγει, ἀλλ᾽ ἐπεμελεῖτο τοῦ ἐλαττωθέντος σκεύους δι᾽ ἑαυτόν· ἵνα μὴ μείνῃ ἠλαττωμένον εἰς τὸ διηνεκὲς, ἀλλ᾽ ὡς ἄριστος κεραμεὺς τὸ βλαβὲν ἀγ-

Cap. 3. γεῖον ἐπιστρέψας εἰς τὸ ἴδιον φύραμα τὴν γῆν, ἐν τῇ ἀναστάσει ἀναπλάσειε τὸν δίκαιον, ἐν δόξῃ ἀθάνατον καὶ δυνάμενον ἀπολαύειν τῆς βασιλείας· τὸν δὲ ἄδικον, δυνάμενον ὑποφέρειν τὴν τῆς κρίσεως τιμωρίαν.

Ἐφύτευσε δὲ τὸ ξύλον τῆς ζωῆς, καιρῷ τῷ δέοντι διὰ τοῦ ἰδίου προστάγματος ἐπιτρέπων αὐτῷ λαβεῖν ἀπ' αὐτοῦ· νῦν δὲ ἅπαξ ἁμαρτόντα οὐ βούλεται μένειν ἐν ἀϊδίῳ ζωῇ, μὴ πρὸς τοῖς ἄλλοις, καὶ πιστὸν ἡγήσηται τὸν διάβολον, καὶ βάσκανον τὸν θεόν· οὕτω γὰρ ἂν καὶ θεὸν ἐνόμισεν ἑαυτόν· νυνὶ δὲ ἐπίστευσε τῷ θεῷ τὸ θανάτῳ ἀποθανεῖσθε εἰπόντι, καὶ ἑαυτὸν ἔγνω, ὡς φύσει μὲν ἀσθενής, τιμηθεὶς δὲ φιλανθρωπίᾳ θεοῦ· οὐχ' ὡς τοῦ ξύλου δὲ φασί τινες τοιαύτην ἔχοντος φύσιν ὡς τοῖς φαγοῦσιν ἐξ ἀνάγκης προσγίνεσθαι τὸ ἀθάνατον, τοῦτο φησίν· ὡς οὐδὲ τοῦ ἄλλου τὸ γινώσκειν καλὸν καὶ πονηρόν· ἀλλ' ὡς ἐν τούτοις τὴν αἵρεσιν τούτων τάξαντος τοῦ θεοῦ· ὡς ἂν εἰ καὶ ἐν ὁποίῳ δήποτε ξύλῳ ταύτην τὴν αἵρεσιν ἔθηκεν, οὐδὲν ἧττον οὕτως ἀπέβαινεν ἐκ τῆς ἀποφάσεως τοῦ θεοῦ οὐκ ἐκ τῆς φύσεως τοῦ φυτοῦ· ἄλλος δὲ φησὶν ὡς οὐκ ἐνδοιάζει τὸ θεῖον κἂν ἐνδοιαστικοῖς ὀνόμασι χρῆται· διττὰ γάρ ἐστι τὰ ἀνωτάτω κεφάλαια· τὸ μὲν οὐχ' ὡς ἄνθρωπος ὁ

θεός· τὸ δὲ ὡς ἄνθρωπος παιδεύσει τὸν υἱὸν, Cap. 3.
οὕτως κύριος ὁ θεὸς παιδεύσει σε· τὸ μὲν οὖν πρότερον, ἐξουσίας ἐστί· τὸ δὲ δεύτερον, παιδείας καὶ εἰσαγωγῆς, ἵνα καὶ τὸ ἑκούσιον παρεισέλθῃ· τὸ γὰρ μή ποτε οὐκ ἔστιν ἐπαμφοτερισμὸς τοῦ θεοῦ, ἀλλ' ἀναφορὰ πρὸς ἄνθρωπον τὸν ἐπαμφοτεριστὴν τῇ φύσει, καὶ μήνυμα τοῦ περὶ ἐκεῖνον πάθους· ὅταν γὰρ προσπέσῃ τινὸς φαντασία, τρία εὐθὺς ἐπιγίνεται, ἀφορμὴ ἐκ τοῦ φανέντος, ὁρμὴ πρὸς τὸ φανὲν, τρίτον ἐνδοιασμὸς ἀμφικλινὴς ἀντισπωμένης τῆς ψυχῆς, εἶθ' αἱρετέον εἴτε μή· πρὸς δὴ τοῦτο τὸ τρίτον τὸ μή ποτε ἀναφέρεται.

Καὶ ἐξαπέστειλεν αὐτὸν κύριος ὁ θεὸς ἐκ v. 23.
τοῦ παραδείσου τῆς τρυφῆς· καὶ τὰ ἑξῆς· ἔξω γὰρ ἐργάζεσθαι τὴν γῆν ἐξ ἧς ἐλήφθη τοῦ παραδείσου τὸν ἄνθρωπον ἔπλασε· συμμετρῶν δὲ τὴν τιμωρίαν, κατῴκισεν αὐτὸν ἀπέναντι τοῦ παραδείσου τῆς τρυφῆς, ὥσπερ βασιλεὺς ἀγαθὸς οὐ μακρὰν τὴν ἐξορίαν ποιούμενος, ἀλλ' οἷον πρὸ τῆς βασιλίδος πόλεως ἐλπίδας αὐτῷ διδοὺς ἀνακλήσεως· καὶ ὡς ἂν ὁρῶν συνεχῶς μνήμην ἔχῃ τῆς ἐκβαλούσης αὐτὸν ἁμαρτίας, καὶ ταύτην μισῇ, ποθῇ δὲ πάλιν ὅθεν ἐξέπεσεν· εἰκὸς δὲ φασὶ καὶ διακεῖσθαι τοὺς περὶ τὸν Ἀδὰμ ὡς ὁ θεὸς ἐν τοῖς τοῦ παραδείσου τόποις οἰ-

Cap. 3. κεῖ· ὅθεν ἔπεισεν αὐτοὺς ὡς οὐκ ἀλλοτρίων τῆς ἰδίας ἐπιμελείας οὐ πόῤῥω πεποίηκεν εἶναι· εἰ Ἀδὰμ δὲ ὁ μὴ ἀπατηθεὶς, ὡς ὁ Παῦλος φησὶν, ἀλλ᾽ ἔλαττον ἁμαρτῶν τοῦ παραδείσου ἐκβέβληται, πόσῳ μᾶλλον ὁ ἀρχέκακος ὄφις καὶ ἡ τὴν ἀπάτην ὑποστάσασα γυνή; ὅθεν εἰκότως τούτους ἀπεσιώπησεν· εἰ καὶ τὰ μάλιστα καὶ ἡ γυνὴ συνυπακούεται τῷ Ἀδὰμ ὅπερ σημαίνει ἄνθρωπον· εἰπὼν γὰρ ἔπλασεν ὁ θεὸς τὸν ἄνθρωπον ἄῤῥεν καὶ θῆλυ, καὶ ἐκάλεσε φησὶ τὸ ὄνομα αὐτῶν Ἀδάμ· ὁ δὲ ὄφις ἦν ἐν τῷ παραδείσῳ, οὐχ᾽ ὡς τῆς ἐκεῖ διαγωγῆς ἄξιος, ἀλλ᾽ ὥσπερ εἴρηται ἐν τῷ Ἰὼβ ὅτι ἦλθον οἱ ἄγγελοι τοῦ θεοῦ παραστῆναι ἐνώπιον αὐτοῦ, οὕτω καὶ περὶ τοῦ ὄφεως ἐκληπτέον· ἐπιστατέον δὲ, πῶς ἐπὶ μὲν τοῦ Καΐν φησὶν, ἐξῆλθε Καΐν ἀπὸ
v. 24. προσώπου τοῦ θεοῦ· νῦν δὲ ἐξέβαλε τὸν Ἀδὰμ, τρόπον τινὰ ἔτι ἔχοντα αὖραν τοῦ πόθου τοῦ παραδείσου, διὰ δὲ τὸ ἀνάξιον ἐκβαλλόμενον· ὅτι δὲ οὐχ᾽ ὡς παντελῶς ἀλλότριον ἐξέβαλε, δηλοῖ τὸ κατῴκισεν· ὅπερ κηδομένου μᾶλλον ἤπερ ἀπαγορεύσαντος· κατῴκισε γὰρ αὐτὸν, νομίμως ἐνθεὶς αὐτῷ τὴν ἔννοιαν τῶν ἀπαγορευόντων τὸ κακὸν νόμων, ὅπερ εἰσαγωγὴ τοῦ ἀγαθοῦ ἐστίν· οὐ κρύψας τὸν παράδεισον ἀπ᾽ αὐτοῦ, τὴν γνῶσιν τοῦ καλοῦ καθ᾽ ἣν ἐν παραδείσῳ διῆγεν.

Καὶ ἔταξε τὰ Χερουβὶμ καὶ τὴν φλογίνην ρομφαίαν τὴν στρεφομένην φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς· οὔτε δόρυ, φασί τινες, οὔτε ξίφος ἦν πυρὸς καθ' ὑπόστασιν· ἀλλ' οὔτε ζῶά τινα κατ' οὐσίαν ἐστὶ Χερουβὶμ, οὔτε τὰ τῷ Ἰεζεκιὴλ φανέντα, οὔτε τὰ τῷ Ἡσαίᾳ, ἀλλ' οὐδὲ τέτακται μέχρι νῦν ἐν τῷ παραδείσῳ· οὐδὲ γὰρ ὅπλων δεῖται θεός· μέμνηται δὲ τῶν Χερουβὶμ πρὸς οἰκονομίαν τοῦ μέλλοντος, διὰ τὰ ἐν νόμῳ παραδοθησόμενα· προλαμβάνει γὰρ ὡς ἂν μὴ δόξῃ καινὰ, ὥσπερ καὶ ἐπὶ τῶν θυσιῶν ἐστὶν ἰδεῖν· ἡ δὲ τούτων φασὶ φαντασία καὶ θέα συναπῆλθεν Ἀδάμ· αὐτῷ γὰρ ἦν ἀναγκαία προσοικοῦντι τῷ παραδείσῳ πρὸς μνήμην τῆς ἰδίας ἐκπτώσεως, ὡς ἂν καὶ τοὺς υἱοὺς ἀσφαλίσηται· μετ' αὐτὸν δὲ οὐδένα πλησίον ᾠκηκέναι φασίν· ἐκεῖνον ἄρα μόνον ἐξεδειμάτουν φοβεραί τινες ὄψεις, πῆ μὲν πυρὸς φοβεροῦ καὶ τῇ κινήσει μᾶλλον ἀστράπτοντος ἐν ξίφους σχήματι, πῆ δὲ ζώων μορφαί τινες καταπληκτικαί· οὐ γὰρ ἀοράτους τινὰς λέγει δυνάμεις· ἐπεὶ μὴ δὲ συνέτελει ἀόρατος φύσις, ἐκεῖ αἰσθητῆς ὄψεως ὀφειλούσης εἶναι τῆς τὸν Ἀδὰμ παιδευούσης· ἐπεὶ καὶ ὁ προφήτης Ἰεζεκιὴλ πρὸς τὴν τοῦ προκειμένου χρείαν τετραπρόσωπα τὰ Χερουβὶμ ἑώρα· τετραπρόσωπος δὲ ἀόρατος φύσις οὐκ ἔστιν· Cap. 3.

Cap. 3. ἀλλὰ Χερουβὶμ καλεῖ πᾶν τὸ δυνατὸν· καὶ τὸ, ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ, ἀντὶ τοῦ ὁ δυνατῶς βασιλεύων· ἐπειδὴ ἀντὶ θρόνου τὴν βασιλείαν λαμβάνει· καὶ ἐπέβη ἐπὶ Χερουβὶμ καὶ ἐπετάσθη, ἀντὶ τοῦ μετὰ πολλῆς παρεγένετο τῆς δυνάμεως.

Τινὲς δὲ περὶ τοῦ διαβόλου λέγοντες, καὶ ὅθεν ἐξέπεσεν, ἐπιφέρουσι· καὶ γοῦν εἴρηταί που παρὰ θεοῦ, μετὰ τῶν Χερουβὶμ τέθεικά σε, δυνάμεις ἀοράτους νοήσαντες· ἄλλος δὲ φλογίνην ῥομφαίαν στρεφομένην φησὶ, τεῖχος πυρὸς κυκλοῦν τὸν παράδεισον· ἄλλοι δέ τινες οὕτως ἀπέδωκαν· οὐδὲν παρὰ τῆς προνοίας ἐστὶν ὃ μὴ ἐπὶ σωτηρίαν καλεῖ· ἀλλὰ καὶ ἡ ῥομφαία δι' αὐτὸ τοῦτο τέθειται· ἢ οὐ θεῖος ὁ παράδεισός ἐστι, καὶ ὁ τῆς γραφῆς λόγος, ἔχων ἐν ἑαυτῷ τὰς ἀπειλὰς τὰς κατὰ τῶν μὴ βουλομένων ἕπεσθαι ταῖς τοῦ θεοῦ προστάξεσι; καὶ γὰρ αὗται ποιητικαὶ τυγχάνουσαι τῆς ἐπὶ τὸν παράδεισον εἰσόδου, κωλύουσι καὶ τῆς κολάσεως τὴν πικρίαν· ὅτι δὲ ἡ ῥομφαία ἀντὶ κολάσεως ἐν τῇ γραφῇ, δῆλον· ἐν ῥομφαίᾳ γὰρ φησὶ τελευτήσουσι πάντες ἁμαρτωλοὶ τοῦ λαοῦ· καὶ οὐδέπου πάντες διὰ ξίφους ἀποθνήσκουσιν, ἀλλὰ δηλοῖ τὴν μέλλουσαν κόλασιν· καὶ ὑμεῖς δὲ αἰθίοπες τραυματίαι ῥομφαίας μου ἐστὲ· αὕτη

δὲ σΙρεφομένη εἴρηΙαι, ἵνα στραφένΙος ἀπὸ κα- Cap. 3.
κίας εἰς ἀρέΙὴν τοῦ ἀνθρώπου, καὶ αὐτὴ στραφῇ τὴν εἴσοδον παρέχουσα· εἰ τοίνυν τῆς εἰσόδου γένοιτο πόθος, διὰ τούτων χειραΓωγεῖται· τῶν μὲν Χερουβὶμ αἰνιΙΙομένων τὴν Γνῶσιν τῆς ἀληθείας, ἧς μετέχειν δεῖ τὸν εἰσιέναι βουλόμενον· ἑρμηνεύεται Γὰρ πλῆθος Γνώσεως· τῆς δὲ ῥομφαίας, τὴν ἐπὶ πόνον ἀγωγήν· διὰ πολλῶν γὰρ θλίψεων τῆς εἰσόδου τῆς βασιλείας ἐστὶ τυχεῖν.

Θαυμαστὸν δέ τινες ἡγοῦνται καὶ ἄπιστον τὸ τῆς αὐτῆς ἡμέρας γεγονότα τὸν Ἀδὰμ παραβῆναί τε καὶ ἐκβληθῆναι τοῦ παραδείσου· οἷς ἀνΙιλέΓουσιν ἕτεροι ὅτι ῥᾷον ἐκ προοιμίων ὑπέμεινε τὴν ἀπάτην ἢ μεΙὰ τὸ πολὺν ἐμμελεΙῆσαι χρόνον τῇ τηρήσει τῆς ἐνΙολῆς· ἔπειΙα τοῖς ἔξω τοῦ παραδείσου καθίστασθαι μέλλουσιν οὐδὲν ὄφελος ἦν ἐν πλείοσιν ἡμέραις ἐναπολαῦσαι τῇ τούτου τρυφῇ· ἐπεὶ καὶ πλουσιώτατός τις τῶν ὑπαρχόντων ἀθρόως ἐκ βασιλέως ἀφαιρεθεὶς καὶ ἐν ἐσχάτῃ γεΓονὸς ἐξορίᾳ, οὐ δὲ μίαν ἔσχε παραμυθίαν ἐκ τῆς φθασάσης ἀπολαύσεως πρὸς τὰ παρόντα δεινά, μείζω δὲ διὰ τῆς μνήμης ὀδύνην· ἀλλὰ κρεῖΙΙον ἦν φασὶ μὴ ΓεΓονέναι τὸν ἄνθρωπον τοσούτοις μέλλονΙα περιπεσεῖσθαι κακοῖς· ὅπερ ὁ Θεὸς ἢ ἀγνοῶν, οὐκ ἐκώλυσεν· ἢ

Cap. 3. προειδὼς, εἶτα ποιήσας, ἠδίκησε· πρὸς οὓς φασίν· οὐκοῦν οὐδὲ τοὺς ἀγαθοὺς ἔδει ποιεῖν οἵτινες ἐκτήσαντο μετὰ τὸ εἶναι τὸ εὖ· οὐδὲ τὰς νοερὰς δυνάμεις διὰ τὸν ἐκπεσόντα διάβολον· ἀλλ' ὁ μὲν θεὸς ὡς ἀγαθὸς ἐποίησεν· οὗτοι δὲ τυγχάνοντες αὐτεξούσιοι, παρ' ἑαυτοὺς ἐκακύνθησαν· ἄλλως τε καὶ τὴν μέλλουσαν ᾔδει διὰ Χριστοῦ πρὸς ἀθανασίαν ἀνάκλησιν· ἀλλὰ τί φασὶν ἱδρῶτι προσώπου καὶ τοσούτοις αὐτὸν παρεδίδου κακοῖς; ὅτι μηδὲν οὕτως ὡς ἀργία τὴν ἀνθρώπου βλάπτει ψυχὴν, ἥτις καὶ τοσούτων ἐπικειμένων αὐτῇ πλημμελεῖ· καὶ μάρτυς ἡ πεῖρα καὶ τὰ πάλαι γενόμενα· ἐκάθισε γὰρ ὁ λαὸς φαγεῖν καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν· καὶ ἐλιπάνθη ἐπαχύνθη ἐπλατύνθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος· καὶ Δαβὶδ, ὅτε ἀπέκτενεν αὐτοὺς τότε ἐξεζήτουν αὐτὸν καὶ ἐπέστρεφον καὶ ὤρθριζον πρὸς τὸν θεόν· καὶ τῇ Ἱερουσαλὴμ διὰ τοῦ Ἱερεμίου φησὶν ὁ θεός· διὰ παντὸς παιδεύθητι Ἱερουσαλὴμ, ὅπως μὴ ἀποστῇ ἡ ψυχή μου ἀπὸ σοῦ· καὶ τοῖς ἀγαθοῖς δὲ τὸ ταπεινοῦσθαι λυσιτελές· ἀγαθὸν γάρ μοι φησὶν ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου· καὶ Ἱερεμίας· ἀγαθὸν ἀνδρὶ ὅταν ἄρῃ ζυγὸν ἐκ νεότητος αὐτοῦ· καθίσεται καταμόνας καὶ σιωπήσεται· καὶ περὶ αὐτοῦ δὲ, τοῦ θεοῦ δεῖται·

μη Γένη φειδόμενός μου εἰς ἀλλοΊρίωσιν ἐν ἡμέ- Cap. 3.
ρα πονηρᾷ· καὶ ὁ τοσοῦτος δὲ Παῦλος ὡς τοῦ καλοῦ τούτου δεόμενος, ἐδόθη μοι φησὶ σκόλοψ τῇ σαρκὶ, ἄγΓελος σαΊὰν, ἵνα μὴ κολαφίζῃ ἵνα μὴ ὑπεραίρωμαι· καὶ τὰ ἑξῆς· δυνάμενος γὰρ ὁ Θεὸς ἄνευ θλίψεων ποιῆσαι τὸ κηρύγμα, συνεχώρει ταύτας, τῶν κηρυττόνΊων φειδόμενος· ὅθεν φησὶν αὐτοῖς· θλίψιν ἔχετε ἐν τῷ κόσμῳ· καὶ ἡ βασιλεία δὲ στενὴν ἔχει τὴν εἴσοδον· οὐχ' ἧττον τοίνυν τὰ λυπηρὰ τῶν χρηστῶν τὴν εἰς ἡμᾶς τοῦ θεοῦ κηδεμονίαν δηλοῖ· καὶ ἡ τῆς γεέννης ἀπειλὴ πρὸς τοῦτο τῆς τῶν οὐρανῶν βασιλείας οὐ λείπεται· ἐκείνης γὰρ ἡ ἀπειλὴ τὴν ταύτης ἐπίΊυχίαν ποιεῖ· οὐ Γὰρ ἀΓαθῶν ἐπαγγελία μόνον ἀρκεῖ, μὴ τῆς ῥαθυμίας σωφρονιζομένης τῷ φόβῳ.

ΚΕΦ. Δ.

Ἀδὰμ δὲ ἔΓνω Εὔαν τὴν γυναῖκα αὐτοῦ· καὶ Cap. IV. v. 1.
συλλαβοῦσα ἔτεκε Κάϊν, καὶ εἶπεν ἐκτησάμην ἄνθρωπον διὰ τοῦ θεοῦ· εἰ μετὰ τὴν ἁμαρτίαν ὁ γάμος, αὕτη ἄρα καὶ τῆς εὐλογίας τῆς κατὰ τὸ πληθύνεσθαι τοὺς ἀνθρώπους αἰτία· γάμος μὲν οὖν οὐκ ἂν ὑπῆρξεν ἐν παραδείσῳ πρὸ τῆς ἁμαρΊίας· εἰ Γὰρ ὅθεν ἐκπεπΊώκαμεν ἡ ἀνά-

Cap. 4. κλησις, εἶπε δὲ ὁ σωτὴρ μὴ εἶναι γάμους ἐν τῇ ἀναστάσει, ὅτι μὴ δὲ θάνατός ἐστιν ἐκεῖ, δῆλον ὅτι οὐ δὲ τὴν ἀρχὴν ὑπάρχειν ἠδύναντο· ἀλλ' οὐδ' ἂν ἔστη μέχρι δυοῖν τῶν ἀνθρώπων τὸ γένος· ἀλλ' ὁ πλῆθος ποιήσας οὐρανίων ταγμάτων, ὡς φησὶ Δανιὴλ, τῷ αὐτῷ δὴ τρόπῳ ἤνεγκεν ἂν εἰς πλῆθος καὶ τῶν ἀνθρώπων τὸ γένος· ἔγνω δὲ φησὶ γαμικῶς, ὡς τὸ καὶ ἔγνω Ἐλκανᾶ Ἄνναν τὴν γυναῖκα αὐτοῦ· καὶ περὶ Ῥεβέκκας εἴρηται, παρθένος ἣν ἀνὴρ οὐκ ἔγνω αὐτήν· τὸ δὲ διὰ τοῦ θεοῦ ἁπλούστερον εἴρηται ἀντὶ τοῦ παρὰ τοῦ θεοῦ· οὕτω γὰρ καὶ Ἰωσὴφ εἶπεν· οὐχὶ διὰ τοῦ θεοῦ ἡ διασάφησις ἐστίν; ἐπεὶ ἄλλο τὸ ὑπό τινος καὶ ἔκ τινος καὶ διά τινος· τὸ μὲν ἐκ, ὡς ἐξ ὕλης· τὸ δὲ ὑπὸ, ὡς αἰτίου· τὸ δὲ διὰ, ὡς ὀργάνου· ἀποδέδεικται δὲ Βασιλείῳ ἐν τοῖς πρὸς Ἀμφιλόχιον ἀδιαφόρως ἐν τῇ γραφῇ τὰ τοιαῦτα λεγόμενα· τὸ δὲ ἑβραϊκὸν φασὶν ἔχειν τῷ θεῷ, ἀντὶ τοῦ ἐν τῷ θεῷ· ὅρα δὲ πῶς ἡ πείσασα τὸν ἄνδρα πρότερον ἁμαρτεῖν, νῦν ἐκπεσοῦσα τοῦ παραδείσου τῇ παιδείᾳ βελτίων ἐγένετο· τῷ θεῷ γὰρ ἐπιγράφει τοῦ γεννηθέντος τὴν ποίησιν· ἅτε καὶ τῆς εὐλογίας τῆς αὐξάνεσθε καὶ πληθύνεσθε τὴν μνήμην ἔναυλον ἔχουσα· καὶ ἡ πρότερον καταφρονοῦσα, νῦν ἐπὶ τὸν δεσπότην κατέφυγεν, οὐ τὸν γάμον αἰ-

τιωμένη, τὸν δὲ καὶ τοῦτον ποιήσαντα· καὶ ἡ Cap. 4.
πρὸ τούτου τὸν ἄνδρα ἀπαἸήσασα, ὕσἸερον καὶ τὸ παιδίον ἐπαίδευεν· ὄνομα Γὰρ ἐπιΤίθησιν αὐτῷ τὸ δυνάμενον αὐτὸν ἀναμνῆσαι τῆς τοῦ θεοῦ δωρεᾶς, ὑπὲρ ἧς καὶ νῦν εὐχαρίστησε· καὶ πάλιν ἕτερον τὸν Σὴθ τεκοῦσα, φησὶν· ἐξανέστησέ μοι ὁ θεὸς σπέρμα ἀντὶ Ἄβελ ὃν ἀπέκτεινε Κάϊν· καὶ μεμνημένη τῆς συμφορᾶς εὐχαριστεῖ τῷ θεῷ· καὶ ἀπὸ τῆς δωρεᾶς τὸ παιδιόν καλεῖ, διηνεκῆ παρέχουσα αὐτῷ διδασκαλίας ὑπόθεσιν.

Καὶ προσέθηκε τεκεῖν τὸν ἀδελφὸν αὐτοῦ τὸν v. 2.
Ἄβελ, καὶ ἐγένετο Ἄβελ ποιμὴν προβάτων, Κάϊν δὲ ἦν ἐρΓαζόμενος τὴν Γῆν· τινὲς ἀπὸ μιᾶς συλλήψεως ἄμφω τεχθῆναι φασὶ καὶ εἶναι διδύμους· καὶ προσέθηκε τοῦτο δηλοῦν· ὅρα δὲ πῶς ἐν μὲν τῇ Γενέσει τὸν Κάϊν προέταξε κατὰ τάξιν τὴν χρονικὴν, ἐν δὲ τοῖς ἐπιτηδεύμασιν προτάτἸει τὸν δίκαιον· τὰ Γὰρ ἔμψυχα τῶν ἀψύχων τῷ τῆς φύσεως λόΓῳ διαφέρει, καὶ ἡ ποιμανΤικὴ προοιμιάζεΤαι τὴν ἑαυΤοῦ τε ἄλλων ἀρχήν· οὐκ ἐῤῥέθη δὲ γεωργὸς ὁ Κάϊν, ἀλλ' ἐργαζόμενος τὴν γῆν· οὐ Γὰρ ἦν ἀσΤεῖος καΤὰ τὸν Νῶε ὅστις γεωργὸς οὐκ ἐργάτης εἴρηται· ὁ δὲ νόμος ὁ ἐν ἡμῖν τῆς ἐμφύτου θεογνωσίας, ἐκάλει τοὺς ἄνδρας πρὸς τὸ δεῖν ἀνάπτειν τὰ χαρισΤήρια τῷ πανΤὸς ἀΓαθοῦ δοΤῆρι θεῷ· ὃν ἔχο-

Cap. 4. μεν πάντες, εἰ καὶ παρεφθαρμένως τινὲς εἰδώλοις τὸ σέβας προσάγοντες· ἀλλ' οὖν ὑπὸ τοῦ
v. 3. 4. νόμου νυττόμενοι· ἀλλ' ὁ μὲν προσφέρει τὰ προὔχοντα, ὁ δὲ λίαν ἠμελημένα· τοιγαροῦν ὁ θεὸς οὐρανόθεν πῦρ καθεὶς, τὰ τοῦ Ἄβελ μόνον ἀνήλωσεν· οὕτω γοῦν καὶ Θεοδοτίων ἐξέδωκεν, εἰπὼν, ἐνεπύρισεν· ὁ δὲ Ἀκύλας, ἀπεκλήθη· Σύμμαχος δὲ, ἐτέρφθη· ὁ δὲ σύρος, εὐδόκησε· καὶ ὁ μὲν, λέγει τῆς ἀποδοχῆς τὸν τρόπον, ὅτι διὰ πυρὸς ὡς ἐπὶ Μωϋσέως καὶ Ἠλιοῦ· ὁ δὲ, ὅτι τῆς ἐπὶ τοῦ Ἀδὰμ ὀργῆς παρακληθεὶς ὁ θεὸς ἐδέξατο· ὁ δὲ, ὅτι ἐτέρφθη ὡς ἐπὶ ζῶντι τῷ δώρῳ· φαίνεται γὰρ ὁ θεὸς καὶ ἐν αὐτῷ τῷ κτίζειν τοῖς κινουμένοις ἡδόμενος· καὶ τὰ ἔμψυχα τινῶν, ἃ δὴ καὶ μόνα εὐλόγησε· τὸ δὲ εὐδόκησεν ἐμφαίνει ὡς προὔκρινε τοῦ Ἄβελ τὰ δῶρα· ὁ δὲ ἑβραῖος φασὶ καὶ ὁ σύρος ἄμφω δῶρα καλεῖ.

Ἰουλιανὸς δὲ ὁ δυσσεβὴς, ἐπειδὴ ζωὴ, φησὶ, καὶ ζωοποιὸς ὁ θεὸς, ταῖς τῶν ἐμψύχων προσαγωγαῖς ἐπιγάννυται; καί τοι ταύτας ὁ Πυθαγόρας ἀπηχθῆσθαι φησὶ τοῖς θεοῖς· τὰς δὲ διὰ καρπῶν καὶ λιβανωτοῦ κεχωρισμένας εἶναι· καὶ ὁ Πορφύριος πολλαχοῦ φησὶ τὸ μὲν ἀρχαῖον εἶναι, τὸ δὲ νεώτερόν τε καὶ περιστατικὸν, γενομένου λιμοῦ· καὶ Μωϋσῆς δὲ φησὶν, ἐὰν μὴ

ἰσχύῃ ἡ χεὶρ αὐτοῦ, σεμίδαλις ἔσται τὸ δῶρον αὐτοῦ· καὶ δράγματα κελεύει προσφέρειν ἀπαρχὰς θερισμοῦ, καὶ κάρπαλλον ὡρίμων καρπῶν· καὶ Δαβὶδ δὲ ποιεῖ λέγοντα τὸν θεόν· οὐ δέχομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους· ὥστε τρόπον εὐσεβῆ ζητεῖ θεὸς, οὐχ' ἁπλῶς τὰ ζῶα προσίεται· ἐπήνεσε γὰρ τὸν Ἄβελ ὡς καὶ πρωτότοκα καὶ εὐτραφῆ προσενεγκόντα· ὅθεν καὶ ἐκ τῶν στεάτων φησί· καὶ τοῖς ἐξ Ἰσραὴλ ὕστερον διεμέμφετο λέγων· καὶ εἰσεφέρετε τὰ ἁρπάγματα καὶ τὰ χωλὰ καὶ τὰ ἐνοχλούμενα· καὶ μᾶλλον ἐντρέπων, ἐπήνεγκε· προσάγαγε δὴ αὐτὰ τῷ ἡγουμένῳ σου εἰ προσδέξηται αὐτά· καὶ δι' ἑνός φησὶ τῶν προφητῶν· ἐπικατάρατος ὃς ἔχει ἐν ποιμνίῳ αὐτοῦ ἄρσεν, καὶ εὐχὴ αὐτοῦ ἐπ' αὐτῷ, καὶ θύει διεφθαρμένον τῷ κυρίῳ· ἐκεῖθεν ὁ θεὸς ἐκ τῶν πρώτων ἀνθρώπων τύπον εἰς τοῦτο τοῖς μετὰ ταῦτα παρέσχετο· ἐπειδήπερ ὅλως ᾤοντο διὰ τούτων τιμᾷν τὸν θεόν· οἷς οὐκ ἀναγκαῖον ἁπλούστερον διατεθεῖσιν ἀκολουθεῖν· ἐπεὶ καιρὸς καὶ δέρματα ἀμφιέννυσθαι καὶ γραμμάτων καὶ πάσης τεχνικῆς ἐπιστήμης ἀπείρους εἶναι· ἐδέχετο γὰρ παρ' ἐκείνων θεὸς οὐ τὸ δρώμενον ὁρῶν, τὴν δὲ τοῦ τιμῶντος προαίρεσιν· ἀλληγορίας δὲ νόμῳ ποιμήν ἐστιν ὁ Ἄβελ ζώων, ὃ Cap. 4.

Cap. 4. ἐστι τῶν αἰσθήσεων ὑπὸ ἐπιστήμην ἄγων αὐτὰς ὡς νομεὺς ἄριστος ἡνίοχον τὸν λογισμὸν τοῖς πάθεσιν ἐφιστάς· ὁ δὲ Κάϊν περὶ γῆν καὶ γήϊνα ἰλυσπώμενος, οὐ γεωργὸς εἴρηται· ἦ γὰρ ἂν καὶ περὶ αὐτοῦ τάξιν ἐζήτει· ἀλλ' ἐργαζόμενος τὴν γῆν αὐτὸ μόνον, φιλοσώματός τις ὤν· ὃς εἴποι ἂν προσφόρως ἑαυτῷ· φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν· τοῦ σὺν ἐπιστήμῃ θείᾳ ταῦτα ποιοῦντος κατὰ τὸ λεχθὲν, εἴτε ἐσθίετε εἴτε πίνετε εἴτέ τι ποιῆτε, πάντα εἰς δόξαν θεοῦ ποιεῖτε, γεωργοῦ ἀλλ' οὐκ ἐργάτου τυγχάνοντος.

Διαφέρει δὲ δῶρον θυσίας· ὅτι ὁ μὲν θύων, ἐπὶ διαιρέσει, τὸ μὲν αἷμα τῷ βωμῷ προσχέων, τὰ δὲ κρέα οἴκαδε κομίζων· ὁ δὲ δωρούμενος, ὅλον ἔοικε παραχωρεῖν τῷ λαμβάνοντι· ὅρα τοίνυν φιλαύτου καὶ φιλοθέου διαφοράν· ὁ μὲν μεθ' ἡμέρας, ἀλλ' οὐκ εὐθὺς· καὶ ἀπὸ τῶν καρπῶν, ἀλλ' οὐκ ἀπὸ τῶν πρώτων· καὶ τούτων ἐστὶ διανομεὺς πρὸς θεὸν, τοιαύτη γὰρ ἡ θυσία· ὁ δὲ τὰ πρωτότοκα μηδὲν μελλήσας καθιεροῖ· καὶ τοῦ προσενεχθέντος παντὸς παραχωρεῖ τῷ θεῷ· ἐπειδὴ γὰρ ὁ θεὸς ἐπὶ τοῖς δώροις αὐτοῦ, δωρητικὸς οὐ διανομεὺς γεγονώς· ὅρα δὲ καὶ ὅτι ὅσον ἐκ τῆς τάξεως ἀρξαμένου πρώτος τοῦ Κάϊν, δευτέρου μέμνηται λέγων· ἐπεῖδεν ὁ θεὸς ἐπὶ

Ἄβελ καὶ ἐν τοῖς δώροις αὐτοῦ· ἐπὶ δὲ Κάϊν Cap. 4. v. 5.
καὶ ταῖς θυσίαις αὐτοῦ οὐ προσέσχεν· οὕτως 6.
οὐχ' ἡ τάξις τὸ πρωτεῖον, ἀλλ' ἡ γνώμη χαρίζεται· σημεῖον δὲ τὴν λύπην ἔλαβε τοῦ μὴ εὐαρέστως θῦσαι θεῷ· χαρὰν γὰρ εἰκὸς ἐγγενέσθαι τῷ καθαρῷ καὶ ἀμέμπτως τεθυκότι· ἦν δ' ἂν ἡ λύπη σωτήριος εἰ ἐπὶ μετανοίᾳ γεγένητο· πρὸς ἣν αὐτὸν παρακαλῶν ὁ θεὸς, φησὶν ἡσύχασον· μέγιστον μὲν γὰρ ἀγαθὸν τὸ μηδὲν ἁμαρτεῖν· δεύτερον δὲ τὸ ἐντραπῆναι τοῖς ἁμαρτήμασιν· ὁ δὲ διὰ τὴν ἀτιμίαν οὐ τὴν ἁμαρτίαν λελύπητο· ὀρθὴ δὲ διαίρεσις καὶ τὸ μὴ, οὐδὲν ἕτερόν ἐστιν ἢ τάξις καθ' ἣν ὁ κόσμος δεδημιούργηται· καὶ ταύτην δεῖ κατὰ πάντα τοῦ βίου μιμεῖσθαι τὰ πράγματα, καὶ μάλιστα ἐν χαρίτων ἀμοιβαῖς· τὸ μὲν οὖν εὐχαριστεῖν τῷ θεῷ καθ' ἑαυτὸν ὀρθῶς ἔχον ἐστί· τὸ δὲ μή τε πρώτῳ μή τε ἐκ τῶν πρώτων ἀπαρχόμενον, ψεκτόν· οὐ γὰρ δεῖ τὰ μὲν πρεσβεῖα τὴν γένεσιν ἑαυτῇ, τὰ δὲ δεύτερα τῷ ἀγενήτῳ προσνέμειν, ὅπερ ἐξ ἀληθείας οὐκ ἔστιν εὐχαριστεῖν.

Κατ' ἐρώτησιν οὖν τὸ λεγόμενον· οὐχ' ἥμαρ- v. 7.
τες, ἐὰν ὀρθῶς μὲν προσενέγκῃς, δεδόσθω εὐγνώμονά σε διὰ τοῦτο δοκεῖν, μὴ ὀρθῶς δὲ διέλῃς; δύναται δὲ ἵν' ᾖ· οὐκ ἐὰν ὀρθῶς μὲν προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, εὐσέβησας; τὸ

Cap. 4. μὲν πρῶτον καΤ' ἔλλειψιν τοῦ εὐσέβησας, τὸ δε ἥμαρΤες εἶναι καθ' ἑαυΤὸ· μία δὲ τῆς ἁμαρΤίας ἴασις ἡσυχία καὶ σΤάσις τοῦ πλημμελεῖν· τὸ δὲ πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ, τοῦ προσενεχθέντος φασὶν ὑπὸ σοῦ· καὶ αὐτοῦ ἄρξεις, ἀνΤὶ τοῦ ἐν τῇ σῇ γενήσεται ἐξουσίᾳ· οὐ γὰρ ϖροσεδεξάμην αὐτό· τινὲς δὲ οὕτω· παῦσαι τῆς ἁμαρτίας, καὶ μηδέν σε λυπείτω ἡ τοῦ Ἄβελ προτίμησις· ἄρξεις γὰρ πάλιν αὐτοῦ ὡς πρωτότοκος, εἰ ἀξίους τῆς μεΤανοίας δείξειας τοὺς καρπούς· οἷς ἀνΤιλέΓοντες ἕτεροι, οὐ περὶ τοῦ θεοσεβοῦς λέγειν φασὶν, ἀλλὰ περὶ τοῦ πραχθέντος ἔρΓου· φησὶ γὰρ αὐτῷ, ὅτι τούτου τοῦ ἀσεβήματος ἡ ἀποστροφὴ καὶ ἡ ἀναφορὰ πρὸς σέ ἐστιν, ἵνα τὸ ἑκούσιον παρασΤήσῃ· καὶ σὺ, φησὶν, ἄρξεις αὐτοῦ· πρῶτος γὰρ ἀσεβεῖν ἦρξεν· ἕπεται δὲ ὡς κρηπῖδι τῇ ἀσεβείᾳ καὶ τὰ λοιπὰ πλημμελήματα, ὡς ἔξαρχον καὶ ἡγεμόνα παντὸς ἀδικήμαΤος ἑκουσίου τοῦτον εἶναι· φλεΓμαίνουσαν Γὰρ αὐτοῦ πειρᾶται καΤασΤέλλειν τὴν ψυχὴν· ἀπὸ Γὰρ τοῦ θυμοῦ ἡ ἀ[σέβεια] ἐκείνη ἦν· τινὲς δὲ τοῦτο πρὸς τὸν Ἄβελ εἰρῆσθαι φασὶ, τύϖον ἔχοντα τοῦ Χριστοῦ τοῦ ἄρξαντος τῶν ἀποκτεινάντων αὐτὸν ἰουδαίων.

v. 8. ΠλάτΤεΤαι δὲ καὶ χρησΤότηΤα· διέλθωμεν Γάρ φησιν εἰς τὸ ϖεδίον· καλῶν αὐτὸν εἰς ἀγροὺς

ὡς ἐπόπτης ἔσοιτο τῆς κατὰ γηπονίαν δῆθεν Cap. 4.
ἐπιεικείας αὐτοῦ, καὶ τῆς τῶν ἀγαθῶν πολυειδοῦς ἀπολαύσει θέας· ἐφ' οἷς αὐτὸν ἀποκτείναντος, πυνθάνεται Θεὸς· ποῦ Ἄβελ ὁ ἀδελφός v. 9.
σου; οὐχ' ὡς ἀγνοῶν· τοιγαροῦν ἀρνούμενον ἤλεγξεν· ἀλλ' ἐπισκοπῆς πρὸς ἰατρείαν αὐτὸν ἀξιῶν, καὶ ἐφιστῶν αὐτὸν τῷ μεγέθει τοῦ πλημμελήματος, καὶ πρόφασιν μετανοίας διδοὺς· καὶ δεικνὺς δι' ὅλης τῆς νομοθεσίας ὡς παρ' ἡμᾶς ἐστι τ' ἀδικήματα· ὁ μὲν γὰρ ἄκων πράξας, ὁμολογεῖ συγγνώμην αἰτῶν· ὁ δὲ ἑκὼν, ἀρνεῖται· ὃ νῦν ὁ Καϊν ἐποίησε· καὶ μάλιστα Θεοῦ παραίνεσιν παριδὼν· ὡς ἂν μή τις λέγῃ ὡς ἐξ ἀγνοίας τοῦ καλῶς διελεῖν ἠσέβησε πρότερον· καὶ ὅρα φιλανθρωπίαν θεοῦ· τὸ μὲν γὰρ εἰς ἑαυτὸν παρεῖδεν ἁμάρτημα, καί περ μεῖζον ὂν, τοιαύτη γὰρ ἡ ἀσέβεια, καὶ παραμυθεῖται λυπούμενον, καὶ παραίνεσιν χωρὶς τιμωρίας ἐπήνεγκεν· εἰπὼν, ἡσύχασον· ὡς ἂν δειχθείη παραβάντος καὶ τὸ πρῶτον ἑκούσιον· ὡς δὲ τῆς μετανοίας ἠλλάξατο τὴν ἀναίδειαν εἰπὼν ἀγνοεῖν καὶ μὴ φύλαξ εἶναι τοῦ ἀδελφοῦ, καί τοι τεττάρων ὄντων ἀνθρώπων οὓς εἰκὸς ἦν μὴ δὲ πόῤῥω λίαν ἀλλήλων καθίσασθαι, καὶ παντὸς μᾶλλον τὸν ἀδελφὸν φυλάττειν ὀφείλοντος, ἔτι δὲ καὶ ἄθεον δεικνύντος ὑπόληψιν τῷ μὴ νομίζειν πάντα τὸν

Cap. 4. v. 10. θεῖον ἐφορᾷν ὀφθαλμὸν, φησὶν ὁ θεός· φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με, τὴν φανέρωσιν λέγων· ὡς καὶ ἑτέρωθι· ἰδοὺ ὁ μισθὸς τῶν ἐργατῶν τῶν ἀμησάντων τὰς χώρας ὑμῶν βοᾷ πρός με· δυνατὸν δὲ καὶ αἷμα ἀντὶ τῆς ψυχῆς ἐνταῦθα εἰρῆσθαι· καὶ ἔστι δογματικώτατον· τὸ γὰρ θεῖον ὁσίων μὲν ὑπακούει, κἂν τελευτήσωσι, ζῆν αὐτοὺς ὑπολαμβάνον τὴν ἀθάνατον ζωήν· εὐχὰς δὲ φαύλων ἀποστρέφεται, κἂν εὐεξίᾳ χρήσωνται, νομίζον αὐτοὺς τὸν ἀληθῆ βίον τεθνάναι· λέγοι δ' ἄν τις ὅτι διὰ τοῦτο αἵματος ἐμνήσθη, ὅτι τὸ σῶμα ἔκρυψεν· ἐκ-

v. 11. χύσεως δὲ μνημονεύει, καὶ ὡς ἡ γῆ ἔχανεν τὸ στόμα αὐτῆς δέξασθαι τὸ αἷμα· καὶ ἀδελφοῦ συνεχῶς, ἵνα μεγεθύνων τὸ πραχθὲν καταιδέσῃ τὸν ὠμόθυμον.

v. 12. Ὅτι ἐργᾷ τὴν γῆν· καὶ τὰ ἑξῆς· τῇ δίκῃ λοιπὸν ὁ θεὸς ἐπεξέρχεται· εἰ γὰρ καὶ μετὰ φόνον ἔμεινεν ἀτιμώρητος, ἐφ' ἕτερον ἂν μεῖζον ἦλθε κακόν· ζητεῖται δὲ, διὰ τί τῷ Ἀδὰμ, οὐκ εἶπεν ὡς τῷ Καϊν ἐπικατάρατος σύ; ὅτι Ἀδὰμ τετίμητο ἐμφύσημα θεοῦ δεξάμενος· οὕτως καὶ ὁ Νῶε τὸν ἡμαρτηκότα Χὰμ οὐ καταρᾶται, ὅτι δεξάμενος ἦν παρὰ θεοῦ εὐλογίαν· ἀλλὰ τὸν τούτου υἱὸν τὸν Χαναὰν, ὅτι καὶ ὅμοιος ἦν τῷ πατρὶ τὰ ἤθη. Τὸ δὲ στένων καὶ τρέμων ἔσῃ

ἐπὶ τῆς Γῆς, τὸ ἑβραϊκὸν ἔχει, ὡς καὶ οἱ λοιποὶ ἡρμήνευσαν, σαλευόμενος καὶ ἀκατασταιῶν, τουτέστι μὴ μένων ἐν ἑνὶ τόπῳ, ἀλλ' ἀλώμενος· λόγιον δὲ φασίν ἐστι καὶ τοῦτο καθολικώτατον· παντὶ γὰρ φαύλῳ τῶν κακῶν, τὰ μὲν ἤδη πρόσεστι, τὰ δὲ μέλλει· τὰ μὲν οὖν μέλλοντα, φόβους· τὰ δὲ παρόντα, λύπας ἐργάζεται· τινὲς δὲ καὶ τρόμον διηνεκῆ τοῦ σώματος ἐσχηκέναι φασὶ, τὸν ἐκ τῆς ἰσχύος στηριγμὸν τῶν μελῶν οὐκ ἐχόντων· ἐπειδὴ γὰρ κακῶς ἐχρήσατο τῇ δυνάμει τοῦ σωμάτος, ὑφῃρέθη αὐτῷ ὁ τόνος, ὡς κλονεῖσθαι καὶ κατασείεσθαι, οὔτε ἄρτον δυνάμενον προσφέρεσθαι ῥᾳδίως τῷ στόματι, οὔτε ποτὸν μετὰ τὴν ἀνόσιον πρᾶξιν, οὐδὲ ταῖς ἀναγκαίαις χρείαις ὑπηρετεῖν δυναμένης αὐτῷ τῆς χειρὸς· καὶ ὅμως οὕτως ἔχοντι, ἄῤῥητος ἀνάγκη συνέζευκτο πρὸς τὸ ἔργον τῆς γῆς αὐτὸν κατεπείγουσα ὡς μὴ δὲ βουλόμενον ἀναπαύεσθαι· καὶ τὸ χεῖρον· ἐπικατάρατος γὰρ ἦν αὐτῷ, μὴ δὲ καρποὺς διδοῦσα πρὸς παραμυθίαν τῶν πόνων· ὅπερ εἰ καὶ ἦν μεγίστη, καὶ οὕτως ἐτύγχανε συμφορὰ διηνεκέσι πόνοις συνέχεσθαι. Cap. 4.

Μείζων ἡ αἰτία τοῦ ἀφεθῆναί με· καὶ τὰ v. 13.
ἑξῆς· ἢ ὅτι ὑπὲρ ἄφεσιν ἐπλημμέλησα, καὶ μεῖζον τῆς συγχωρήσεως τὸ πλημμέλημα· ἢ ἐπει-

Cap. 4. δὴ, φασὶ, καὶ τοιαύτη φέρεται γραφὴ, μείζων ἡ αἰτία μου τὸ ἀφεθῆναί με, λέγοι ἂν· τὸ ἀφεθῆναι μείζονα τὴν αἰτίαν ποιεῖ· μεῖζον γὰρ ἔσται μοι τὸ κακὸν, μὴ ἐπεξερχομένου σου τῇ κατ' ἐμοῦ δίκῃ· ἔτι γὰρ ὑπὸ κηδεμονίαν ὑπάρχοντός ἐστι τὸ μὴ ἀπαγορεύεσθαι· ἢ ὅτι οὐκ ἔστι συμφορὰ μείζων ἢ τὸ ἀφεθῆναι καὶ καταλειφθῆναι ὑπὸ Θεοῦ· κακὸν γὰρ ὑπόδειγμα τῷ βίῳ κατέδειξα, καὶ φοβοῦμαι αὐτό· ἀκούσας δὲ, φασὶ, τὸ στένων καὶ τρέμων ἔσῃ ἐπὶ τῆς γῆς, συνῆκεν ὅτι ζήσεται ἐπὶ τῆς γῆς ἀφεθείς· διὸ καὶ
v. 14. εἶπε, μείζων ἡ αἰτία τοῦ ἀφεθῆναί με· ὅμως δὲ εἰ σύ με ἐκβάλῃς ἀπὸ προσώπου τῆς Γῆς, ἀποκτενεῖ με πᾶς ὁ εὑρίσκων με· τοῦτο δὲ εἴρηται πρὸς τὸ εἰρημένον ὑπὸ κυρίου ὅτι ἐπικατάρατος ἡ γῆ ἣ ἔχανε δέξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου· καὶ στένων καὶ τρέμων ἔσῃ ἐπὶ τῆς γῆς· ἐνόμισε γὰρ εὐάλωτος εἶναι παντὶ διὰ τὸ τὴν ἐκ τῆς γῆς ἀσφάλειαν μὴ ἔχειν· ἐπικατάρατος γὰρ ἡ γῆ ἀπ' αὐτοῦ, καὶ τῆς ἀπὸ τοῦ Θεοῦ βοηθείας ἠρημῶσθαι ὀργισθέντος ἐπὶ τῷ φόνῳ Θεοῦ· ὡς οὔτε ἀπὸ γῆς οὔτε ἐπ' οὐρανοῦ ἀντιλήψεως αὐτῷ λειπομένης· ὁ δὲ Θεὸς τοῦ μὲν στένειν καὶ τρέμειν αὐτὸν οὐκ ἀφίησι, τὴν ποινὴν ἀεὶ παρεῖναι τοῖς ἀθεράπευτα πλημμελήμασι δικαιῶν· τὸ ἀποκτείνεσθαι δὲ κεκώλυκε ση-

μεῖον αὐτῷ ἐπιθείς· βούλεται μὲν οὖν φασὶ Κάϊν Cap. 4.
μὴ ἀφεθῆναι τὴν δίκην αὐτῷ· ὡς δὲ ἐσφαλμένος καὶ διαστροφὴν ἔχων, παθὼν οἴεται ὅτι τῆς γῆς ἐκβεβλημένος καὶ τοῦ προσώπου Θεοῦ ἐκβληθήσεται· δύναται δὲ καὶ καθ' ἑτέραν διάνοιαν λέγεσθαι ὅτι μεῖζον ἔσται μοι κακὸν εἰ παραμένοιμι, μὴ ἀπολύοντός με εἰς ἀνυπαρξίαν, ἣν αἱρετωτέραν ἡγοῦνται τῆς ἐπὶ τοῖς κακοῖς τιμωρίας οἱ πλημμελοῦντες ἀνήκεστα· διὸ φησὶν ὁ προφήτης περὶ τῶν προδόντων τὸν Ἰησοῦν, ἐθελήσουσιν εἰ ἐγενήθησαν πυρίκαυστοι· εἰ γὰρ ἐκβάλλεις με ἀπὸ τῆς γῆς, καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι, μηκέτι ὑπάρχων· ἐπειδὴ δὲ οὐκ ἐκβάλλεις με ἀπὸ τῆς γῆς, τοῦτο γὰρ προσυπακούειν δεῖ, ἔσομαι τρέμων, πάντα πρὸς τὴν ἀναίρεσιν ὑποπτεύων.

Τινά δὲ δέδοικεν ὁ Κάϊν, μηδενὸς ὄντος πλὴν αὐτοῦ καὶ τῶν γονέων; πρῶτον μὲν ἔννοιαν εἶχεν ὡς διαδοχῆς ἐσομένης καὶ ὑπὸ τῶν ἐσομένων προσέδοκα τὸν φόνον, βδελυκτὸς αὐτοῖς ἐπὶ τοσούτῳ γενόμενος ἄγει· εἶτα καὶ θείας δυνάμεις ἐτόπαζεν ἐκδίκους ἔσεσθε τῆς ἀνοσιουργίας, ἃς εἰκὸς ἦν αὐτὸν ἑωρακέναι μήπω τῆς κακίας κεχυμένης· προσέδοκα δὲ φασὶ καὶ τὴν ἐκ τῶν μερῶν τοῦ κόσμου ἐπίθεσιν· ἅπερ ἐπ' ὠφελείᾳ γινόμενα, οὐδὲν ἧττον ἀμύνεται τοὺς πονηρούς·

Cap. 4. εἶτα καὶ τὴν ἀπὸ τῶν θηρίων καὶ ἑρπετῶν ἐπιβουλήν· ἅπερ ἡ φύσις ἐπὶ τιμωρίᾳ τῶν ἀδίκων ἐγέννησεν· ἴσως δὲ τὴν ἀπὸ τῶν γονέων τίσιν ὑπονοεῖ οἷς καινὸν πένθος προσέβαλεν ἀγνοοῦσι τὸν θάνατον· τινὲς δὲ περὶ τῶν θηρίων καὶ τῶν μερῶν τοῦ κόσμου φασὶν ὡς οὐκ ἠδύνατο σημεῖον· περὶ οὗ μετ' ὀλίγα λέγει, ἔθετο κύριος ὁ θεὸς τῷ Κάϊν σημεῖον τοῦ μὴ ἀνελεῖν αὐτὸν πάντα τὸν εὑρίσκοντα αὐτὸν, διαγνῶναι θεοῦ· καὶ τί ἂν εἴη σημεῖον ἕτερον, ἢ τὸ βούλημά τε καὶ πρόσταγμα τοῦ θεοῦ; μὴ συγχωρήσαντος αὐτοῦ τὴν ἀναίρεσιν ἔθετο τῷ Κάϊ σημεῖον· οὐ γάρ τι τῶν τοιούτων χρημάτων χωρὶς συγχωρήσεως γίνεται· ἢ καὶ οὕτως· σημεῖον ἔθετο τὴν μετὰ τὰ πταίσματα τροπὴν τῆς μετανοίας, καθ' ἣν οὐκ εὐχείρωτος ἔσται πρὸς ἀναίρεσιν· μέγα μὲν γὰρ ἀγαθὸν τὸ μὴ πταῖσαι· τὸ δὲ ἐν μεταγνώσει γενέσθαι, δεύτερος λιμήν· ὅπερ οἰκονομῶν ὁ θεὸς, διὰ διδασκαλίας ἀνεγείρει πρὸς τὸ μὴ ὑποπεσεῖν τῷ ἀπατεῶνι.

v. 15. Πᾶς ὁ ἀποκτείνας Κάϊν ἑπτὰ ἐκδικούμενα παραλύσει· ἀντὶ τοῦ οὐχ' αὕτη ἡ ἁρμόδιος δίκη τοῦ πλημμελήματος τὸ ὑπὸ ὁτουοῦν ἀναιρεθῆναι· οὗτος γὰρ ἑπτὰ ἐκδικούμενα παραλύσει· ὅπερ δηλοῖ τὴν τελείαν τιμωρίαν· πολλάκις γὰρ ὁ ἑπτὰ ἀριθμὸς τῇ γραφῇ ἀντὶ τελειότητος παρ-

είληπται· πατάξω γάρ φησιν ὑμᾶς ἑπτάκις ἀντὶ τῶν ἁμαρτιῶν ὑμῶν· καὶ ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἑπταπλάσιος εἰς τὸν κόλπον αὐτῶν· καὶ ἐν τῷ λευϊτικῷ· προσθήσω παιδεῦσαι ὑμᾶς πληγαῖς ἑπτὰ ἐπὶ ταῖς ἁμαρτίαις ὑμῶν· τινὲς δὲ ἰδικώτερον ὅτι δεῖ τὸν Κάϊν ἑπταπλασίονα δοῦναι τὴν τιμωρίαν· καὶ Ἀκύλας γὰρ οὕτως ἐξέδωκεν· ἑπταπλασίως ἐκδικηθήσεται· Σύμμαχος δὲ, ἑβδόμως ἐκδίκησιν δώσει· ὅπερ τινὲς ἐξέλαβον ἐν ἑπτὰ γενεαῖς δίκην δώσει· ὁ δὲ ἑβραῖος ὑποστίζει εἰς τὸ ἀποκτείνας· τὸν γὰρ τοῦ Κάϊν φησὶν ὁ θεὸς ἐδευτέρωσε λόγον· λέγων, οὐχ' ὅπερ ἔφης πᾶς ὁ ἀποκτείνας· ὅ ἐστιν οὐχ' οὕτως ἀναιρεθήσῃ· οὐδὲ πᾶς ὁ εὑρίσκων ἔσται σε ἀποκτείνας· εἶτα ἀπὸ ἄλλης ἀρχῆς τὸ Κάϊν ἑπτὰ ἐκδικούμενα παραλύσει· ἐκδικούμενα δὲ λέγει τὰς ἑπτὰ τιμωρίας τὰς ἐκδικούσας τὸν Ἄβελ· εἰ γὰρ καὶ ἑπταπλασίω δίκην εἴπομεν, θαυμαστὸν οὐδέν· οὐ γάρ ἐστι δικαίου κριτοῦ ἴσας πρὸς ἴσας ὁρίζειν τὰς ἀνταποδόσεις, ἀλλ' ἀνάγκη τὸν κατάρξαντα κακοῦ, μετὰ προσθήκης ἀποτίσαι τὰ ὀφειλόμενα, ὡς ἂν αὐτός τε βελτίων γένοιτο, καὶ τοὺς λοιποὺς σωφρονίσειεν· ἀεὶ δὲ ἡ γραφὴ τὸν τῆς ἀφέσεως τῶν ἁμαρτημάτων ἀριθμὸν, ἐν τοῖς ἑπτὰ περιορίζει· ὡς ἐπὶ τοῦ Πέτρου εἰπόντος ἑπτάκις, ὁ σωτὴρ Cap. 4.

Cap. 4. φησὶν ἕως ἑβδομηκοντάκις ἑπτὰ· περὶ τῆς τῶν ἁμαρτημάτων λέγων ἀφέσεως· οὐ γὰρ μετῆλθεν ἐφ᾽ ἕτερον ἀριθμὸν, ἀλλὰ τὸν ἑπτὰ πολυπλασιάσας, ἐν αὐτῷ τὸν ὅρον ἔθετο τῆς ἀφέσεως· καὶ δι᾽ ἑπτὰ ἐτῶν ὁ ἑβραῖος ἀπελύετο τῆς δουλείας· ἑπτὰ δὲ ἑβδομάδες ἐτῶν τῶν ἰωβηλαῖον ἐποίουν· ἐν ᾧ σαββατιζούσης τῆς γῆς, χρεῶν ἦσαν ἀποκοπαὶ, δουλείας ἀπαλλαγὴ, καὶ οἱονεὶ νέος καθίστατο ἄνωθεν βίος ἐν τῷ ἑβδοματικῷ ἀριθμῷ, τοῦ παλαιοῦ τρόπον τινὰ τὴν συντέλειαν δεχομένου· ταῦτα δὲ τύποι τοῦ παρόντος αἰῶνος, ὃς διὰ τῶν ἑπτὰ ἡμερῶν ἡμᾶς παρατρέχει· ἐν ᾧ γίνονται τῶν μετριωτέρων ἁμαρτημάτων ἐκτίσεις.

Ἐκδικούμενα δὲ εἴτε τὰ παρὰ τῷ Κάϊν ἡμαρτημένα λέγοις, εὑρήσεις ζ· εἴτε τὰ παρὰ τοῦ κριτοῦ ἐπ᾽ αὐτῷ ὁρισθέντα· πρῶτον γὰρ ἁμάρτημα φθόνος ἐπὶ τῇ προτιμήσει τοῦ Ἄβελ· δεύτερον δὲ δόλος μεθ᾽ οὗ διελέχθη τῷ ἀδελφῷ εἰπὼν διέλθωμεν εἰς τὸ πεδίον· τρίτον φόνος προσθήκη τοῦ κακοῦ· [τέταρτον] ἀδελφοῦ φόνος· [πέμπτον] μείζων ἡ ἐπίτασις, ὅτι καὶ πρῶτος φονεὺς πονηρὸν ὑπόδειγμα τῷ βίῳ καταλειπών· ἕκτον ἀδίκημα, ὅτι γονεῦσι πένθος ἐνεποίησεν· ἕβδομον ὅτι θεὸν ἐψεύσατο εἰπὼν ἀγνοεῖν τὸν ἀδελφὸν ἔνθα καθέστηκεν· ὅθεν οὐ συνεχώρησεν αὐτοῦ τὴν ἀναίρεσιν· κέρδος γὰρ τοῖς κολαζομέ-

νοις ὁ θάνατος· παρατείνει δὲ τῷ βίῳ τὰ πρὸς Cap. 4.
τὴν ἀξίαν ἀντιμετρῶν κολαστήρια· ταῦτα μὲν οὖν
εἰ ἐκδικούμενον νοήσωμεν τὸ ἁμαρτηθὲν ἐφ' ᾧ
ἡ ἐκδίκησις· εἰ δὲ τὸν τρόπον τῆς κολάσεως δι'
οὗ ἡ ἐκδίκησις, διχῶς γὰρ λέγεται· μία κόλασις, τὸ ἐπικατάρατος ἡ γῆ ἀπὸ σοῦ· δευτέρα
ἐργᾷ τὴν γῆν, ἐξ ἀνάγκης γὰρ διηνεκέσι πόνοις συνείχετο· τρίτη καὶ οὐ προσθήσει δοῦναι
τὴν ἰσχὺν αὐτῆς· τετάρτη καὶ πέμπτη στένων καὶ
τρέμων ἔσῃ ἐπὶ τῆς γῆς· ἕκτη κόλασις ἣν αὐτὸς ἀπεκάλυψεν ὁ Καΐν εἰπών· εἰ ἐκβάλλεις με
νῦν ἀπὸ τῆς γῆς, καὶ ἀπὸ τοῦ προσώπου σου
κρυβήσομαι· τί γὰρ μεῖζον * κακὸν τοῦ χωρισθῆναι τοῦ θεοῦ; ἑβδόμη, τὸ, σημεῖον αὐτῷ ἐπιθεῖναι καὶ μὴ δὲ κρύπτεσθαι τὴν τιμωρίαν, ἀλλὰ σημείῳ προδήλῳ πᾶσι κηρύττεσθαι, ὅτι οὗτός ἐστιν ὁ τῶν ἀνοσίων ἔργων δημιουργός· ἄλλοι δὲ οὕτως ἑπτά φασι τὰ ἡμαρτημένα· προσήνεγκε κακῶς· ἤλγησεν, ὅτι ὑβρίσας οὐκ ἐτιμήθη παρὰ τοῦ ὑβρισθέντος θεοῦ· νουθετοῦντα
αὐτὸν διέπτυσε· φόνον ἐτόλμησε πρῶτος· καὶ φόνου πολλῷ μίασμα ἐναγέστερον, ἀδελφοῦ· γὰρ
ἐλύπησε τοὺς γεγεννηκότας· ἐψεύσατο τῷ θεῷ·
οὐκ ἀνεῖλε δὲ Καΐν αὐτόν τε καὶ τοὺς λοιποὺς
ὠφελῶν· ὥσπερ οὖν καὶ φθάσας αὐτὸν ὠφέλησε
διὰ τῆς παραινέσεως εἴπερ ἠνέσχετο· δέδωκε γὰρ

* Codd. μεῖον.

Cap. 4. αὐτῷ προθεσμίαν μετανοίας καὶ βελτιώσεως· ἐλάττω τὲ τὴν μέλλουσαν αὐτῷ κατέστησε κόλασιν διὰ ταύτης τῆς τιμωρίας· καὶ τοὺς ἄλλους δὲ ὠφελεῖ τῷ παραδείγματι· οὐ γὰρ ἦν ἶσον ἀκούειν ὅτι Κάϊν τὶς ἀνελὼν ἀδελφὸν ἀπέθανε, καὶ ὁρᾷν τὸν ἀνελόντα δίκην τίνοντα· τότε μὲν γὰρ κἂν ἠπιστήθη διὰ τὴν τοῦ μύσους ὑπερβολήν· νῦν δὲ πλεῖστον χρόνον βιοὺς, τοῖς μετὰ ταῦτα κατάδηλον ἐποίει τῇ θέᾳ τὸ πρᾶγμα.

Τινὲς δὲ οὕτως ἠρίθμησαν· οὐ διεῖλεν ὀρθῶς· οὐ μετέγνω διαμαρτών· φθόνον ἔσχε τὸν φόνον ὠδίνοντα· ἠπατήσεν εἰς τὸ πεδίον δόλῳ καλῶν· ἀνεῖλεν· ἐψεύσατο τῷ Θεῷ· ἐνόμισε καὶ ἄκοντος τοῦ Θεοῦ διαδρᾶναι δύνασθαι τὰς ἐν σώματι δίκας· ᾠήθη γὰρ ὅτι τεθνήξεται καὶ αὐτὸς κἂν εἰ μὴ βούλοιτο Θεός· καὶ λύσις ἔσται τὸ χρῆμα αὐτῷ τῶν ἐκ τῆς ὀργῆς. Τινὲς δὲ οὕτως· οὐ διεῖλεν ὀρθῶς· τῆς θείας νομοθεσίας κατεφρόνησεν· ἀπέκτεινεν ἀδελφόν· ἀπέκτεινε πρὸς τούτῳ καὶ δίκαιον· ἐψεύσατο· θάνατον ᾐτήσατο ἐν ἀπευδοκιμήσει ζωῆς καὶ μετανοίας. Ἄλλοι δὲ οὕτως· οὐκ ἀφῆκεν ἀναιρεθῆναι, ἵνα μὴ φόνῳ φόνον ἐπισυνάπτων ἕτερον, ἐναγὴς εὑρίσκοιτο· καὶ ἵνα μὴ ἑπτὰ παραλύσῃ τὰ ἐκδικούμενα, τὴν ἐπὶ τῆς θυσίας ἀσέβειαν, τὴν ἀνδροφονίαν, τὴν ἀδελφοκτονίαν, τὴν ἀπάτην, τὸν δό-

λον, τὸ ψεῦδος, τὴν θρασύτητα· ἀλλ' ἄπορον Cap. 4.
πῶς ταῦτα ἐκδικεῖται, καὶ πῶς παραλύεται ἐκδικούμενα· μή ποτε οὖν, φασὶ, κάλλιον ἢ λέγειν τὰ ἐπαναπαυόμενα πνεύματα ἐπὶ τὸν ἐξελθόντα ἐκ ῥίζης Ἰεσσαὶ, τάχα που καὶ τῷ Ἄβελ διὰ τὸ εὐσεβὲς ἐπιφοιτήσαντα; ἠδίκησε δὲ καὶ εἰς ταῦτα ὁ Κάϊν ἐνοικήσαντα τῷ Ἄβελ καὶ ἐμπεριπατήσαντα αὐτῷ· καὶ μέχρι μὲν στένων καὶ τρέμων ἦν ἐπὶ τῆς γῆς, ἐξεδικεῖτο ταῦτα· λύπης γὰρ ὑπερβαλλούσης ἀποτέλεσμα τὸ στένειν, καὶ φόβου συνοίκου γνώρισμα τὸ τρέμειν· ἅπερ ἔχων αὐτάρκως ᾐκίζετο, ἵνα διὰ μὲν τοῦ στένειν, μετανοῇ πρὸς σωτηρίαν· διὰ δὲ τοῦ τρέμειν, ἀδρανὴς ἐμφόβου πρὸς μεταχειριζομένην πρᾶξιν ᾖ· διὰ δὲ τοῦ σημείου οὔτε ἀναιρεῖται, καὶ ἔνδειξις τοῦ ἁμαρτήματος αὐτὸν στηλιτεύει· οἱ γὰρ ὁρῶντες τὸ σημεῖον τοῦ στένοντος καὶ τοῦ τρέμοντος, εἰ καὶ πρότερον ἠγνόουν διὰ τί τοῦτο ἔκειτο, πυνθανόμενοι ἤκουον ὁμολογοῦντος τὸ πεπραγμένον καὶ κατηγοροῦντος ἑαυτοῦ· ἐξομολογήσεως δὲ ἐπακολουθούσης, οὐ βούλεται ὁ θεὸς τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὴν μετάνοιαν αὐτοῦ· εἰ δὲ ἀποκτείνοι τὶς, αὐτὸν παρέλυε καὶ διέλυε καὶ κατέπαυε τὴν ἐκδίκησιν τῶν πνευμάτων καὶ οὐχ αὐτὰ τὰ ἐκδικούμενα.

Τινὲς δὲ ἀλληγορίας νόμῳ, τὸν μὲν Κάϊν

Cap. 4. τύπον ἔχειν φασὶ τοῦ Ἰσραὴλ, οὓς ὁρῶν ὁ Χριστὸς ὁ διὰ τοῦ Ἄβελ προτυπωθεὶς ὡς υἱὸς ἀνθρώπου χρηματίσας, εἰς τὸν κατ' αὐτοῦ φόνον ὀργῶντας, διὸ καὶ ἔλεγε, τί με ζητεῖτε ἀποκτεῖναι ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα, πατέρα τούτων ἔλεγεν εἶναι τὸν Κάϊν, σατανὰν αὐτὸν καλέσας ὡς τοῖς ἐκείνου τρόποις προσεοικότα· ἐπεὶ καὶ πρὸς τοὺς ιβ ἔλεγεν· οὐκ ἐγὼ ὑμᾶς ἐξελεξάμην; καὶ εἷς ἐξ ὑμῶν διάβολός ἐστιν· ὅθεν καὶ ἀνθρωποκτόνον αὐτὸν καλεῖ καὶ ψεύστην, ὡς καὶ τὸν πατέρα αὐτοῦ τουτέστι τὸν διάβολον· ἐὰν δὲ προηγουμένως εἴπωμεν τὸν πατέρα λέγειν αὐτῶν τὸν διάβολον, τίς ἔσται ὁ τούτου πατήρ; ὅθεν ὁ μὲν Ἰσραὴλ τοῖς γεωδεστέροις τιμᾶν ἠξίου τὸν θεὸν, καρποφορῶν τὰ ἐν νόμῳ· πρὸς οὓς διὰ τοῦ προφήτου φησὶν ὁ θεὸς, τὰ ὁλοκαυτώματα ὑμῶν οὐκ εἰσὶ δεκτὰ καὶ αἱ θυσίαι ὑμῶν οὐχ' ἥδυνάν μοι· ὡς ἐπὶ τοῦ Κάϊν οὐ προσέσχε ταῖς θυσίαις αὐτοῦ· προσεκόμιζε γὰρ Ἰσραὴλ ὀρθῶς ὡς τῷ θεῷ θύων· διεῖλε δὲ οὐκ ὀρθῶς, προσεδρεύων τοῖς τύποις· ὅθεν ἡσυχάζειν κελεύεται καὶ παύσασθαι τῆς ἐν νόμῳ σκιᾶς· ὁ δὲ Χριστὸς ἦν ὁ ποιμὴν καλὸς κατὰ τὸν Ἄβελ τὸν ποιμένα· καὶ πρωτότοκος ὢν, τοὺς ἔχοντας αὐτοῦ τὴν εἰκόνα προσέφερεν ἐκκλησίαν πρωτοτόκων ἀπογεγραμμέ-

νων ἐν οὐρανοῖς· πρὸς [οὓς] εἴρηται πρὸς σὲ ἡ Cap. 4.
ἀποστροφὴ αὐτοῦ· καὶ εἴγε ἐπέστρεψαν, ἐγράφησαν ἂν ἐν βίβλῳ ζώντων μεθ' ἡμῶν· νῦν δὲ κατὰ τὸν Κάϊν φθόνῳ κατὰ τοῦ σωτῆρος τὸν φόνον ὠδύναντες, ὡς ἑπτὰ ἐκδικουμένοις πολλαῖς ἔνοχοι γεγόνασι δίκαις, καὶ ξένοι διατελοῦσι στένοντές τε καὶ τρέμοντες· πλὴν τοῦ μὴ παντελῶς ἀπολέσθαι σημεῖον ἐδέξαντο· σέσωσται γὰρ τὸ κατέλειμμα· ἐξῆλθον δὲ καθάπερ ὁ Κάϊν ἀπὸ πρόσωπου τοῦ θεοῦ· πρὸς οὓς εἴρηται· ὅταν τὰς χεῖρας ἐκτείνητε πρός με, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν· καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν· αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις· ἀπεκτόνασι γὰρ τὸν ἀρχηγὸν τῆς ζωῆς· καὶ τὸ αἷμα φασὶν αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν, ὅπερ ὑπὲρ ἡμῶν ἐκχυθὲν, κατὰ τῶν ἰουδαίων βοᾷ, καὶ κατὰ τὸν ἀπόστολον κρεῖττον παρὰ τὸν Ἄβελ λαλεῖ.

Καὶ ἐξῆλθε Κάϊν ἀπὸ προσώπου τοῦ θεοῦ· v. 16.
οὐ τοπικῶς τοῦτο ἐκλαμβάνειν δεῖ· ἐπεὶ καὶ τὸ εἰσελθεῖν πρὸς τὸν θεὸν οὕτω νοοῦμεν, λέγοντος τοῦ ψαλμοῦ· εἰσέλθετε ἐνώπιον αὐτοῦ ἐν ἀγαλλιάσει· εἰσέρχεται δέ τις ἐνώπιον τοῦ θεοῦ, τὰ ἔξω πάντα καταλιπὼν ἁμαρτήματά τε καὶ τὰ αἰσθητὰ πράγματα· ἐξῆλθεν οὖν ὁ Κάϊν

Cap. 4. ἀνάξιον ἑαυτὸν καταστήσας τοῦ προσώπου τοῦ θεοῦ· ἀνεννόητος λοιπὸν αὐτοῦ γεγενημένος· τοιγαροῦν ᾤκησε φησὶν ἐν τῇ γῇ Ναῒδ, κατέναντι Ἐδέμ· σάλος γὰρ Ναῒδ ἑρμηνεύεται· ποῦ γὰρ ἔδει τὸν ἀποστάντα τῆς εἰρηνικῆς ἀρετῆς οἰκεῖν, ἢ ἐν τῷ σάλῳ, ἀστάτῳ πράγματι καὶ ἀβεβαίῳ, ὅπέρ ἐστι κακία; εὖ δὲ καὶ τὸ κατέναντι, ἐναντία γὰρ τῇ ἀρετῇ ἡ κακία· ὁ μὲν οὖν Ἀδὰμ ἐκβέβληται, οὐκ ἀφ' ἑαυτοῦ ἐξελθών, ἔτι γὰρ εἶχεν ἔναισμα πόθου τῆς διατριβῆς τοῦ παραδείσου· διὸ καὶ κατέναντι τούτου αὐτὸν κατῴκισεν, οἷον αὐτὸς καὶ τὴν οἴκησιν οἰκονομήσας· τοῖς γὰρ μὴ μεγάλα ἁμαρτήσασι δέδοταί τις πρόφασις ταχεῖαν ὑποδεικνύουσα τὴν ὑποστροφήν· ὅπερ ἐπὶ τοῦ Κάϊν οὐκ εἴρηται· οὐ γὰρ κατῴκισται, οὐδὲ ἐκβέβληται, προθύμῳ πόθῳ πρὸς τὸ κακὸν ἀπολισθήσας· διόπερ καὶ σάλον οἰκεῖ ἀδιαστάκτως ταρασσόμενος.

v. 17. Ἔγνω δὲ Κάϊν τὴν γυναῖκα αὐτοῦ· καὶ τὰ ἑξῆς· οὐκ εἶπεν ἔγνω Κάϊν τὴν ἀδελφὴν αὐτοῦ, ἀλλὰ τὴν γυναῖκα· αὕτη γὰρ ἡ προσηγορία τῆς διαδοχῆς οἰκεία· συγχωρεῖ δὲ ταῖς ἀδελφομιξίαις τῶν Ἀδὰμ τέκνων ὁ θεὸς, τοὺς μερισθέντας ἐξ ἑνὸς αἵματος εἰς μίαν ἀγάπην ἡνῶσθαι βουλόμενος· ὕστερον δὲ ἐκταθεῖσαν εἰς πλῆθος τὴν γενεὰν, ἐκώλυσε κεχρῆσθαι τοῖς αὐτοῖς,

ἵνα ἡ πρὸς τοὺς ἀλλοτρίους ἐπιγαμία, τοὺς τῷ Cap. 4.
μήκει τῆς διαδοχῆς ἀλλοτρίους λοιπὸν νομισθέντας αὖθις ἐπιστρέφῃ πρὸς διάθεσιν· πῶς δὲ φησὶ, καὶ ἦν οἰκοδομῶν τὴν πόλιν; πῶς γὰρ πόλις ὑφ' ἑνὸς οἰκοδομεῖται, καί τοι τοῦ φυροκόπου χαλκοῦ καὶ σιδήρου μήπω γενομένου Θοβὲλ; ἢ ποία πόλις ὑπ' ὀλίγων οὕτω συνίσταται; οἷς ἄντρον ἓν καὶ οἰκημάτιον ἤρκει μικρόν· μή ποτε οὖν τὴν ἐν οἴκῳ ἑνὶ μετ' ἀλλήλων ἀναστροφὴν οὕτως ἐκάλεσεν; οἱονεὶ γὰρ μικρὰ πόλις καὶ ἄνθρωπος καθ' ἑαυτὸν τοιῶσδε τὴν ψυχὴν διοικῶν, καὶ οἶκος ἔχων τοιάνδε διαγωγήν· ὡς καὶ οἶκος μέγας ἡ πόλις, ἀφ' οὗ καὶ τῶν πόλεων ἦλθον εἰς ἔννοιαν· ἴσως δὲ καὶ πολισμοῦ μεθόδους καὶ πρῶτα καταβάλετο σπέρματα ἰδὼν τὸν ἐξ αὐτοῦ τεχθέντα, καὶ προβαίνουσαν ὁρῶν τὴν διαδοχήν· ἴσως δὲ καὶ προαναφωνεῖ τὰ μετὰ χρόνον γενόμενα· τῶν δὲ ἁγίων λεγόντων οὐχ ἔχομεν ὧδε μένουσαν πόλιν, παροικίαν δὲ καλούντων τὸν βίον, οἱ ἁμαρτωλοὶ γήϊνοι ὄντες προσεδρεύουσι τῇ γῇ καὶ πόλεις οἰκοδομοῦσι· περὶ ὧν καὶ ὁ θεῖος ἔφη Δαβὶδ, ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν αὐτῶν.

Διαφέρει δὲ πρὸς ἀναγωγὴν ποιμὴν κτηνοτρόφου· Ἄβελ ὁ δίκαιος ποιμὴν ὑπῆρχε, λόγῳ v. 20.

Cap. 4. ποιμαίνων τὰ πάθη, καὶ ὡς θρεμμάτων ἡγούμενος θυμοῦ τε καὶ ἐπιθυμίας· ὁ δὲ κτηνοτρόφος ἄγεται κεκρατημένος ἡδονικός τις ὢν καὶ μὴ κρατῶν τῶν αἰσθήσεων· οἰκεῖ δὲ σκηνάς· οὐκ ἐκείνους μιμούμενος τοὺς διὰ προκοπῆς σκηνοῦντας, ἵνα ἀπὸ τούτου καὶ εἰς τὸν οἶκον εἰσέλθωσιν· οἳ καὶ λέγουσιν· ὡς ἀγαπητὰ τὰ σκηνώματά σου κύριε τῶν δυνάμεων· ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ κυρίου· ἀπὸ γὰρ σκηνῶν ὁ προκόπτων, αὐλῶν ἐπιθυμεῖ, ψάλλων· διελεύσομαι ἐν τόπῳ σκηνῆς θαυμα-
v. 21. στῆς ἕως τοῦ οἴκου τοῦ θεοῦ· ὁ δὲ ἕτερος ἀδελφὸς ὁ Ἰουβάλ ἐστιν ὁ καταδείξας ψαλτήριον καὶ κιθάραν· εἰκότως, γειτνίασιν γὰρ ἔχει πρὸς τὴν τῶν ἡδέων ἀπόλαυσιν καὶ ἡ διὰ μουσικῆς ἀπάτην ἐργαζομένη ταῖς ἀκοαῖς· ὁ δὲ ἕτερος ὁ Θοβὲλ τεχνιτεύει σκεύη πολεμικὰ διὰ χαλκοῦ καὶ σιδήρου.

v. 23. Ὁ Λάμεχ ταῦτα φησί· ἀκούσατέ μου τῆς φωνῆς γυναῖκες Λάμεχ, ἐνωτίσασθέ μου τοὺς λόγους· ὅτι ἄνδρα ἀπέκτεινα εἰς τραῦμα ἐμοί,
v. 24. καὶ νεανίσκον εἰς μώλωπά μοι· ὅτι ἑπτάκις ἐκδεδίκηται ἐκ Κάϊν, ἐκ δὲ Λάμεχ ἑβδομηκοντάκις ἑπτά· τὸ ἐνωτίζεσθε παρὰ μόνῃ τῇ θείᾳ παιδεύσει νομίζω φέρεσθαι· διαφέρει δὲ τοῦ ἀκοῦσαι, ὅτι τὸ μὲν ἐνωτίζεσθαι, τὴν ἐκ τοῦ σύν-

εγγυς ἀκοὴν σημαίνει· τὸ δὲ ἀκοῦσαι τὸ ὁπωσοῦν ἀκοῦσαι, καὶ εἰ μὴ ἐγγὺς ὁ λόγος ἐστί· καὶ ὁ μέν τις φησὶν ἐκ παραλλήλου κεῖσθαι ταῦτα· ὁ δὲ καὶ ἐπὶ τούτων ἀκρίβειαν ζητῶν, λέγοι ἂν ὅτι ἐπὶ μὲν τῆς φωνῆς τὸ ἀκούσατε, ἐπὶ δὲ τῶν λόγων τὸ ἀκριβέστερον, ὅπέρ ἐστι τὸ ἐνωτίζεσθε, ἔταξεν· ἐν δὲ τῷ ἑβραϊκῷ, φασὶ, τὸ ἑβδομηκοντάκις ἑπτὰ καὶ τὸ ἑβδομήκοντα ἑπτὰ τοῖς αὐτοῖς γράμμασιν ὁμοίως γράφεται· ὁ δὲ σῦρος ἑβδομήκοντα ἔχει. Cap. 4.

Φαίνεται δὲ ὁ Λάμεχ ἀφ' ὧν λέγει δύο ἀποκτείνας ἄνδρας· δύναται δὲ ὁ ἀνὴρ καὶ μέσης εἶναι ἡλικίας, καὶ λοιπὸν γέρων· ὁ δὲ νεανίσκος νεώτερος· ὁ δὲ Λάμεχ ἕβδομος ὢν ἀπὸ τοῦ Ἀδὰμ, υἱὸς δὲ Κάϊν, δεκαπλασιάζων ἢ πολυπλασιάζων τὴν ἐκδίκησιν καθ' ἑαυτοῦ, ταῦτα προλέγει· ὅτι θεοῦ σημεῖον ὑπεριδὼν, φησὶν, ἄνδρ' ἀπέκτεινα, ἢ τὸν Κάϊν ἀποκτείνας ἢ ἕτερον· καὶ ἐκ μὲν τοῦ Κάϊν ἑπτάκις ἢ ἑπταπλασιάκις, ἢ ἑβδομαίᾳ διαδοχῇ ἀπὸ Ἀδὰμ ἐκδεδίκηται ὁ Ἄβελ, ἢ τὸ ἁμάρτημα, ἢ τοῦ πνεύματος τὰ χαρίσματα· ἐκ δὲ τοῦ Λάμεχ ἢ κατὰ ἀριθμὸν ἑβδομηκοντάκις ἑπτὰ, ἢ ἑβδομηκοστῇ καὶ ἑβδόμῃ διαδοχῇ· ὡς τοῦ μὲν Κάϊν μὴ προακούσαντος τὸ μὴ ἀνελεῖν, τοῦ δὲ Λάμεχ τοῦτο ἐγνωκότος ἀπὸ τοῦ σημείου καὶ ἀνελόντος ὃν

Cap. 4. οἱ ἄλλοι διὰ τὸ σημεῖον ἀνελεῖν ἀπετρέποντο· ὅθεν τὰ ζ̅ ἐκδικούμενα πρόσωπα τῶν πατέρων παρέλυσεν, ἀντὶ τοῦ διέλυσε τῆς ἀγανακτήσεως, ἐκλύσας ἑβδόμῃ γενεᾷ τῶν προγόνων τοὺς ἐπὶ τῷ Κάϊν θυμούς· ὅθεν ἑπτὰ ἐκδικούμενα τῷ θεῷ παραλύσαι λέγεται, ἢ πρόσωπα ἢ πνεύματα· ᾧ συμφωνεῖ Θεοδοτίων ἑρμηνεύσας, δι' ἑβδομάδος ἐξεδίκησε· ἢ ἑβδομαῖος ὢν ὁ Λάμεχ τῷ Κάϊν ἀπέδωκε τὴν ἐκδίκησιν, κατὰ Σύμμαχον· τὸ μὲν γὰρ εἴρηται πρὸς τὸ δοῦναι δίκην τὸν Κάϊν ὑπὲρ τοῦ Ἄβελ, τὸ δὲ πρὸς τὸ λαβεῖν ὑπὲρ ἑαυτοῦ, ὡς τῆς αὐτοῦ ψυχῆς ἠδικημένης διὰ τοῦ ἁμαρτήματος, νοουμένης προσφέρεσθαι τῆς ἐκδικήσεως εἰς αὐτὸν τινὰ ὑπὲρ αὐτοῦ, ὡς εἰς ἄλλον ὑπὲρ ἄλλου.

Τοιαύτην δηλοῖ τὴν ἐκδίκησιν ὡς ἐκ θεοῦ λέγων Ἰεζεκιήλ· καὶ ἐκδικήσω σε ἐκδικήσει μοιχαλίδων καὶ ἐκχεουσῶν αἷμα· καὶ θήσω σε ἐν αἵματι θυμοῦ καὶ ζήλου· καὶ παραδώσω σε εἰς χεῖρας αὐτῶν· κατασκάψουσι τὸ πορνεῖόν σου· οὕτω καὶ Ἀκύλας· πᾶς ὁ ἀποκτείνας Κάϊν, ἑπταπλασίως ἐκδικηθήσεται, ὡς ἀδικήσας ἑαυτὸν δηλαδή· ἐκ δὲ τοῦ Λάμεχ ἑβδομηκοστῇ καὶ ἑβδόμῃ διαδοχῇ ἐκδικεῖται· τοσοῦτοι γὰρ ἐν τῇ γενεαλογίᾳ ἀπὸ Ἰησοῦ τοῦ Χριστοῦ ἐπὶ τὸν Ἀδὰμ καὶ θεὸν, κατὰ τὸν Λουκᾶν ἀναγράφον-

ται, ἐν ᾗ γενεᾷ ἔκ τε τοῦ Κάϊν καὶ ἐκ τοῦ Λάμεχ ἐκδικεῖται, τουτέστι δίκη δίδοται· ἀποκτείνας γὰρ τὸν Χριστὸν ὁ λαὸς, δίκην ὑπέσχε· πᾶν γὰρ αἷμα φησὶν ἐκχυνόμενον ἀπὸ Ἄβελ τοῦ δικαίου ἕως Ζαχαρίου, ἐκδικηθήσεται· τὸ δὲ ἑπταπλασίως, ἐπειδή τινες μὲν ἁπλῆν ὑπομένουσι τὴν ἐκδίκησιν, πρὸς ὃ τὸ οὐ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτό· ἕτεροι δὲ διπλᾶ τὰ ἁμαρτήματα, ὡς Ἱερουσαλὴμ ἐν Ἡσαΐᾳ· τινὲς δὲ ἑπταπλᾶ, ἀπόδος γὰρ τοῖς γείτοσιν ἡμῶν ἑπταπλάσια· καὶ ἑπτὰ πληγαὶ λέγονται ἐν λευϊτικῷ· ὁ δὲ πάντα μέτρῳ καὶ σταθμῷ διαταξάμενος, οἶδε συμμετρῆσαι ταῖς ἁμαρτίαις τὴν δίκην· οὕτως οὖν ἐξ ἑκατέρων τῶν ἀνδρῶν ἐκδεδίκηται, ἡ κατὰ τὸν ἀριθμὸν διὰ ποιότητα ποινῆς· ἀφετικὸς δὲ ὁ ἑπτὰ ἀριθμὸς ὡς εἴρηται πρότερον, ἀναπάυων μὲν ἐν ἡμερῶν ἑβδομάδι, ἐν ἑβδόμῳ δὲ μηνὶ τὴν ἡμέραν τοῦ ἱλασμοῦ χαριζόμενος· ἐν ἑβδόμῳ δὲ ἐνιαυτῷ γῆς ἄνεσιν ποιῶν καὶ χρεῶν ἀποκοπὰς καὶ δούλων ἐλευθερίαν· ὁ δὲ ἐν ἑπτάκις ἑπτὰ ἔτεσιν μονάδος προστιθεμένης τὸν ἰωβηλαῖον καὶ ὅσα φησὶ Μωϋσῆς ἐχαρίζετο· ὁ δὲ ἑβδομηκοντάκις ἑπτὰ, ἁμαρτημάτων ἀφετικός· πυνθανομένῳ γὰρ τῷ Πέτρῳ ποσάκις ἁμάρτῃ ὁ ἀδελφός μου εἰς ἐμὲ καὶ ἀφήσω, καὶ τὸ σύμβολον τῶν ἑπτὰ ἐκδικουμένων παρὰ τοῦ Κάϊν Cap. 4.

Cap. 4. προτείνοντι, ὁ σωτὴρ προσλαβὼν τὰ τοῦ Λάμεχ, ἄφθονον ποιεῖται τὴν δωρεάν· εἰς ἐμὲ εἶπε, δηλῶν ὅτι οὐκ εἰς τὸν Θεόν· ἔσται γὰρ ἁμαρτία πρὸς τὸν θάνατον, εἰ καὶ τὴν αὐτὴν ἔχει προσηγορίαν· καὶ αἱ συντμηθεῖσαι δὲ ἑβδομήκοντα τῶν ἐτῶν ἑβδομάδες ἐπὶ τὸν λαὸν ἕως Χριστοῦ ἡγουμένου, τὸν ἀριθμὸν τῆς ἀφέσεως ἔχουσιν ἐν πεντακοσιοστῷ που ἐνιαυτῷ· οὕτω καὶ ἡ τοῦ Χριστοῦ παρουσία ἐν ἑβδομηκοστῇ διαδοχῇ ἀπὸ τοῦ Θεοῦ γίνεται πᾶσι χαριζομένη τὴν ἄφεσιν· οὐ μόνον δὲ ἐν τοῖς εἰρημένοις ἡ ἑβδομὰς τετετίμηται, ἀλλ' ἴσως καὶ ἐν ἑκατοντάσι καὶ ἐν χιλιάσι· κατέλιπον γὰρ φησὶν ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας οἳ οὐκ ἔκλιναν γόνυ τῇ Βαάλ.

Ἄλλοι δὲ φασὶν ὡς ἄλλο ἀνὴρ καὶ ἄλλο νεανίσκος καὶ ὅτι ἐπήχθη πάσῃ τῇ γῇ τιμωρία διὰ τὸ πολλὴν γενέσθαι χύσιν τῆς ἁμαρτίας· τὸ δὲ ἁμάρτημα τοῦ Λάμεχ οὐ κατακλυσμοῦ δεῖται πρὸς θεραπείαν, ἀλλ' αὐτοῦ τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου· ἀφ' ὧν δὲ εἶδε τὸν Κάϊν ὁ Λάμεχ παθόντα, ἑαυτοῦ καταψηφίζεται τῷ συνειδότι νυττόμενος· τοσοῦτον τοὺς ἑξῆς ὠφέλησεν ἡ τιμωρία τοῦ Κάϊν. Τινὲς δὲ φασὶν ὡς δύο φόνους ἐτόλμησεν· ἄλλο γὰρ ἀνὴρ καὶ ἄλλο νεανίας, καὶ ἄλλο τραῦμα καὶ ἄλλο μώλωψ· καὶ ἑαυτὸν στηλιτεύει· ὁ γὰρ ὑποβαλὼν

αὐτῷ τὴν πρᾶξιν ἐχθρός ἐστι καὶ ἐκδικητής· καὶ Cap. 4.
τῶν ἀναιρεθέντων φασὶν ἔλαβε τὰς γυναῖκας, πρὸς ἃς ὁμολογεῖ, ἄνδρας μὴ ἐξομολογούμενος· πάντων γὰρ ὁμοίως ἀσέλγεια κατ' ἐκεῖνο τοῦ καιροῦ κατεκράτησε καὶ συνεχεῖς ἀνδροφονίαι διὰ τὰς γυναῖκας ἐγίνοντο, καὶ αὐτὰς τοὺς ἄνδρας ἀμειβούσας οὐκ ἀηδῶς· οὐ γὰρ εἶχον ἐν τῇ εὐνοίᾳ ἀλλ' ἐν τῇ πολυανδρίᾳ τὸ καύχημα· προέκοπτε γὰρ ἐν αὐταῖς τὸ πάθος εἰς ἀκρασίαν· ὥστε καὶ τοὺς υἱοὺς τοῦ θεοῦ ἑλεῖν αὐτὰς πρὸς τὴν μίξιν τοὺς ἐκ τοῦ γένους τοῦ Σὴθ· υἱὸς Ἀδὰμ· υἱὸς θεοῦ· δύο τούτων ὁ Λάμεχ ἀπέκτεινεν, ὧν ἦσαν γυναῖκες Ἀδδὰ καὶ Σελλά· ἡρπάγη καὶ ὁ δίκαιος Ἐνὼχ, ὡς ἂν μὴ ἀναιρεθῇ διὰ Λάμεχ· ἐπίστευσε τοῦ μὴ ἰδεῖν θάνατον, καὶ παρέσχεν ἡ πίστις τῇ φύσει τὴν χάριν· ὃς καὶ ἤλεγξε τὸν Ἀδὰμ θνητὸς ὢν καὶ μὴ ἀποθανὼν, τὸν ἀποθανόντα μὴ ὄντα θνητὸν, ἐπειδὴ τὴν ἐντολὴν οὐκ ἐφύλαξεν· ὁ μὲν γὰρ εἰσῆλθεν εἰς τὸν παράδεισον, ὁ δὲ ἐκβέβληται· ἀλλ' οὔτε Ἐνὼχ οὔτε Ἠλίας τὸν θάνατον κατήργησαν· ὥσπερ ὁ Χριστὸς τὴν φύσιν αὐτὴν ἐν ἑαυτῷ διορθούμενος, κἀκείνοις φύσει θνητοῖς οὖσι τὴν ἀθανασίαν μετὰ πάντων δωρούμενος· εἰ καὶ δι' αὐτῶν τύπον τῆς μελλούσης ἀθανασίας παρέσχετο· ὡς ἂν μὴ εἰς τὴν ἀθυμίαν ἐμβάλῃ τῶν δικαίων χορόν·

Cap. 4. ἔδειξε γὰρ διὰ μὲν τοῦ Ἐνὼχ πῶς ἐπὶ τοῦ μέλλοντος οἱ δίκαιοι τῶν ἁμαρτωλῶν χωρίζονται· ἐν δὲ τῷ Ἡλίᾳ πῶς τὰ σώματα ἐν ἀέρι κουφίζονται;

Συνῆκεν οὖν ἐκ τῆς τοῦ δικαίου μεταθέσεως Λάμεχ οἳ ἦσαν οὓς ἀνεῖλεν· ὅθεν ἑαυτοῦ τοσοῦτον κατηγορεῖ· διὸ κἀκεῖνον οἱ ἀσεβεῖς ἔσπευδον ἀνελεῖν, τῆς ἀρετῆς θέαν μὴ φέροντες· ὅθεν ὁ Νῶε μόνος εὕρηται δίκαιος· δύο διὰ τοῦτο τέχνας ἐξεῦρον, κιθάραν εἰς κώμους, καὶ χαλκείαν εἰς πόλεμον· αἱ δὲ γυναῖκες εἰς ἔλεγχον. τῆς φθορᾶς γίγαντας ἐγέννων καὶ τέρατα καὶ τὴν μέλλουσαν ἐμήνυον συμφοράν· ἕπεται τοῖς τέρασιν ὄλεθρον καὶ δεινόν τι σημαίνειν, ἀναγγέλλει δὲ τὴν ἐκδίκησιν ταῖς γυναιξὶν, ὡς ἀπογόνοις τοῦ Σὴθ, καὶ πενθούσαις τὴν τῶν ἀνθρώπων ἀπώλειαν· ἐπὶ τοῦ Λάμεχ οὖν τέλος ἔσχε τὰ ἑπτὰ ἐκδικούμενα ἅ ἐστιν ἀπόφασις ἐπὶ ἑπτὰ γενεαῖς· ἡ παράλυσις αὐτῶν συντέλεια καὶ ἡ συμπλήρωσις· διὸ καὶ Μωϋσῆς φησὶν ἀποδιδοὺς ἁμαρτίας γονέων ἐπὶ τέκνα ἐπὶ τρίτην καὶ τετάρτην γενεὰν τοῖς μισοῦσί με· ἰδοὺ τὰ ζ̄ ἐκδικούμενα· τρίτη γὰρ καὶ τετάρτη ἑβδόμη γίνεται· πῶς δὲ στήσεται τὸ χρέος τῶν ἑβδομηκοντάκις ἑπτά; συνεχύθη τὸ γένος τοῦ Λάμεχ μετὰ τοῦ γένους τοῦ Ἐνώχ· καὶ οἱ ἀπόγονοι τοῦ Σὴθ· καὶ μόνος εὕρηται Νῶε δίκαιος· καὶ οὐδὲ

εἶπε σὺν τῇ γυναικὶ ὡς ἐπὶ τοῦ Ζαχαρίου καὶ Cap. 4.
τῆς Ἐλισάβετ καὶ τοῦ Ἀβραὰμ καὶ Σάῤῥας,
ἀλλὰ παρεσιώπησεν, ὡς ἂν γνῶμεν ὅτι ἦν ἐν
αὐτῇ διάνοιά τις παράνομος· καὶ γὰρ τὸν ἐξ
αὐτῆς Χὰμ καὶ Χαναὰν ἀπηράσατο· ἀρίθμησον
οὖν τὰ γένη καὶ εὑρήσεις ἐπὶ Ἰησοῦ τοῦ Ναυῆ
τὸ γένος Χαναὰν ἀπολλύμενον· εἶπε δὲ Λάμεχ
τὸ μέλλον οὐ διὰ θείας χάριτος, ἀλλὰ κατ' οἰ-
κονομίαν τοῦ κρείττονος ὡς ἐπὶ τοῦ Βαλαάμ·
ἴσως δὲ καὶ ἀπὸ τοῦ Κάϊν τῆς καθ' ἑαυτοῦ στο-
χάζεται δίκης. Οὗτος Ἐνὼς ὁ τοῦ Σὴθ ἤλπισεν v. 26.
ἐπικαλεῖσθαι τὸ ὄνομα τοῦ Θεοῦ· ἐν τῷ ἑβραϊ-
κῷ φασὶν οὐχ' οὕτως ἔχει· ἀλλ' οὗτος ἤλπισεν
ἐπικαλεῖσθαι τῷ ὀνόματι κυρίου τοῦ θεοῦ· τουτ-
έστιν υἱὸς θεοῦ λέγεσθαι καὶ θεός· οἱ γὰρ ἀπὸ
τοῦ Σὴθ δίκαιοι γεγόνασιν, ὅθεν ἡ γραφὴ ἑαυ-
τῇ ἀκολουθοῦσα, μετὰ ταῦτα φησίν· καὶ εἶδον
οἱ υἱοὶ τοῦ Θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώ-
πων, τουτέστιν οἱ δίκαιοι· οὐ γὰρ ἦν ἐπιμιξία
τῶν υἱῶν Σὴθ πρὸς τοὺς ἀπὸ τοῦ Κάϊν.

ΚΕΦ. Ε.

Αὕτη ἡ βίβλος γενέσεως ἀνθρώπων· τὴν διή- Cap. V. v. 1.
γησιν οὕτω καλεῖ τὴν περὶ τοῦ Ἀδὰμ καὶ τῆς
διαδοχῆς αὐτοῦ ἕως τῶν παρόντων· τὴν δὲ προ-

Cap. 5. λαβοῦσαν βίβλον οὐρανοῦ καὶ γῆς, τοῖς πρὸ τοῦ ἀνθρώπου γεγονόσιν ἀπένειμε· γένεσιν δὲ τὸν λόγον τὸν διαγράφοντα τὴν ποίησιν αὐτοῦ
v. 3. φησίν. Ἔζησε δὲ Ἀδὰμ, ἔτη σλ, καὶ ἐγέννησε κατὰ τὴν ἰδέαν αὐτοῦ· καὶ τὰ ἑξῆς· εἰκότως κατ' ἀρχὰς πολυχρόνιοι ἐτύγχανον οἱ ἄνθρωποι, ἵνα μὴ ἐπιλείψῃ τὸ τῶν ἀνθρώπον γένος ἀπὸ μιᾶς ἀρχῆς καταγόμενον, ὡς ἂν πλείονι χρόνῳ πλείονας τίκτοιεν· ἐν δὲ τῷ τῆς διαδοχῆς λόγῳ τῶν πρωτοτόκων γίνεται μνήμη· καὶ μὴν ὁ Σὴθ τρίτος ἐστὶν· ἀλλ' οὔτε ἀπὸ Καΐν ἔπρεπε φαύλου ὄντος, οὔτε ἀπὸ Ἄβελ ἀτέκνου ἀπελθόντος, γενέσθαι τὴν μνήμην τῆς διαδοχῆς· διόπερ εἰκότως ἀπὸ τοῦ Σὴθ, τρόπον τινὰ πρωτοτόκου ὑπάρχοντος· τὸ δὲ κατὰ τὴν ἰδέαν καὶ κατὰ τὴν εἰκόνα δόξει ἁπλούστερον λαμβανόμενον ταυτὸν εἶναι, μετὰ δὲ τὸν Ἄβελ θάνατον ἐμφερέστατος τῷ κατ' εἰκόνα καὶ ὁμοίωσιν τοῦ θεοῦ, τουτέστι τῷ Ἀδὰμ τίκτεται πάλιν υἱὸς Σὴθ· Χριστοῦ γὰρ ὑπὲρ ἡμῶν ἀποθανόντος ἐγεννήθημεν οἱ πιστεύοντες ἀναμορφούμενοι διὰ πνεύματος εἰς Χριστὸν· τούτου δὲ πρόφασις ὁ Χριστοῦ γέγονε θάνατος· ἐὰν γὰρ μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν, καὶ τὰ ἑξῆς.

Ἰστέον δὲ ὅτι ὁ ἑβραῖος παρὰ ἑαυτὸν ἔτη γενεαλογεῖ· οἷον Ἀδὰμ γέγραπται σλ ἐτῶν γεν-

νῶν τὸν Σὴθ· ὁ δὲ ἑβραῖος ρ̅λ̅ φησίν· ἔζησεν δὲ Cap. 5.
Σὴθ ε̅ καὶ σ̅ ἔτη· ἕως τοῦ εὐηρέστησεν δὲ Ἐνὼχ τῷ θεῷ καὶ οὐχ ηὑρίσκετο· ὅρα πῶς τῶν ἀπὸ Σὴθ ὁ χρόνος ἀκριβῶς ἀναγέγραπται καὶ πρὸ τέκνων γονῆς καὶ μετὰ ταῦτα· οἱ δὲ ἐκ τοῦ Κάϊν ὀνομάζονται μὲν, οὐκ εἴρηνται δὲ πόσον ἕκαστος διεγένετο χρόνον· οὐ γὰρ ἀνέχεται θεὸς τὴν τῶν ἁμαρτωλῶν εἰδέναι ζωήν· οἷς ἐρεῖ κρινομένοις, ἀμὴν ἀμὴν οὐκ οἶδα ὑμᾶς· τῶν γὰρ δικαίων παρ' αὐτῷ καὶ αἱ τρίχες ἠριθμήνται· ὀφθαλμοὶ γὰρ φησὶ τοῦ κυρίου ἐπὶ δικαίους. Σκόπει δὲ καὶ ὡς ἕβδομος μὲν ἀπὸ τοῦ Ἀδὰμ, διὰ τοῦ Κάϊν ὁ Λάμεχ, ἕβδομος δὲ διὰ Σὴθ ὁ Ἐνώχ· ἀλλ' ὁ μὲν ταῖς γυναιξὶν ἃ πείσεται διηγεῖται, ὁ δὲ πίστει μετετέθη κατὰ τὴν τοῦ Παύλου φωνήν· ἐν ἐσχάτοις γὰρ καιροῖς τοῦ ἐν τῷ Χριστῷ πεφηνότος σαββατισμοῦ περιδεὴς μὲν ὁ Ἰσραὴλ ὡς ἄνδρα ἀπεκτονὼς οὐχ' ἕνα τῶν καθ' ἡμᾶς ὡς ὁ Κάϊν τὸν Ἄβελ, ἵνα καὶ ἑπτὰ ἐκδικουμένοις ὑπεύθυνος γένηται· ἀλλὰ τὸν Ἐμμανουὴλ ὡς ὑποκεῖσθαι ταῖς ἑβδομηκοντάκις ζ̅ ποιναῖς· οἱ δὲ πιστεύσαντες εἰς Χριστὸν οὐκ ἂν εὑρεθεῖεν ζητοῦντες ἔτι τὰ τοῦ σατανᾶ· μετατεθήσονται γὰρ παρὰ θεοῦ ἐξ ἀτιμίας εἰς δόξαν, ἐξ ἀσθενείας εἰς δύναμιν· ὅρα δὲ πάλιν ὡς τῇ ἑβδόμῃ ἡμέρᾳ κατέπαυσεν ὁ θεὸς δημιουργῶν

Cap. 5. τὸν κόσμον· καὶ τῇ ἑβδόμῃ γενεᾷ τὰς ἀπαρχὰς τῆς λογικῆς φυσέως ὁ Θεὸς ἔλαβεν τὸν Ἐνὼχ εἰς σύμβολον τῆς συντελείας.

Ἰστέον δὲ ὅτι ὁ μὲν ἀπόστολος λέγει· καὶ οὐχ' εὑρίσκετο αὐτοῦ θάνατος· ἐνθάδε δὲ οὐ κεῖται· ἀλλὰ τάχα διὰ τὸ βάθος τῆς συνέσεως αὐτοῦ μὴ καταλαμβανόμενος ὑπό τινος οὐχ' εὑρίσκετο· ὁ γὰρ πνευματικὸς ὑπ' οὐδενὸς ἀνακρίνεται, μετατεθέντος αὐτοῦ τὸ ἡγεμονικὸν ἐπὶ τελειότητα τοῦ Θεοῦ· ὅτι δὲ τῷ μετέθηκεν ἐπὶ τοῦ σημαινομένου τούτου χρῆται ἡ γραφὴ, δῆλον ἐκ τῶν γεγραμμένων περὶ Ἰεζάβελ καὶ Ἀχαὰβ, ἀντὶ τοῦ τῇ κακίᾳ αὐτῆς μετεποίησεν αὐτὸν ἐπὶ τὸ χεῖρον· καὶ τὸ ἀποστολικὸν δὲ ἀληθὲς· τοῦ γὰρ μετατεθέντος οὕτως, θάνατος ὁ ἐχθρὸς Χριστῷ οὐχ' εὑρίσκεται· κατὰ δὲ τὸ ῥητὸν ἀνελήφθη ὡς Ἠλίας ἢ καθ' ἕτερον τρόπον εἰς θεῖον ἡρπάγη χῶρον· πῶς δὲ φασὶ τὸ ἀποστολικὸν ἀληθεύεται, τὸ καθὼς ἀπόκειται ἀνθρώποις ἅπαξ ἀποθανεῖν, εἴπερ Ἐνὼχ καὶ Ἠλίας μετὰ τῶν παχυτάτων σωμάτων ἀνελήφθησαν εἰς ἀεὶ μετὰ τούτων ἐσόμενοι; ἀλλ' εἰ καὶ τοῦ εἰθισμένου θανάτου φασὶ μὴ κεκοινωνήκασιν, ἀλλὰ τὸ τὴν ἔνυλον ζωὴν ἀποτεθεῖσθαι κατὰ τὸν ἀπόῤῥητον ἡμῖν τοῦ Θεοῦ λόγον τὸ θνητὸν αὐτὸν δεῖ νοῆσαι· καὶ τούτων ἄρα πρωτότοκος ἐκ

τῶν νεκρῶν ὁ σωτὴρ· εἰ μετὰ τὸ γεννῆσαι δὲ τὸν Cap. 5.
Μαθουσάλα εὐηρέστησεν Ἐνὼχ τῷ Θεῷ, δῆλον οὖν ὅτι ἐκ μετανοίας εὐηρέστησεν.

Αὐτὸς διαναπαύσει ἡμᾶς· ἐπὶ τῇ τοῦ παιδὸς v. 29.
γεννήσει προφήτης εὐθὺς ἐνεδείκνυτο· καθάπερ ἀμέλει καὶ Ζαχαρίας ἐπὶ τῷ μακαρίῳ Βαπτιστῇ· ἐπὶ λαμπραῖς ἄρα ταῖς ἐλπίσιν ἡ Νῶε γένεσις προανεφωνεῖτο τοῖς πάλαι· καὶ ἦν δέκατος ἐξ Ἀδὰμ διὰ Σὴθ γενεαλογούμενος· πῶς δὲ Νῶε, φασὶ, διανέπαυσε τὸν Λάμεχ ἀπὸ τῶν ἔργων αὐτοῦ καὶ ἀπὸ τοῦ λυπεῖν, καὶ ἀπὸ τῆς γῆς ἧς κατηράσατο κύριος, καὶ τὰ ἑξῆς, λεγέτωσαν οἱ τῇ λέξει παριστάμενοι· μήποτε * οὖν ἐπὶ τὸν σωτῆρα ἀναφέρεται, ὅς ἐστιν ἀληθῶς ἀνάπαυσις, καὶ τῷ ἁμαρτίαν μὴ πεποιηκέναι, κυρίως δίκαιος; οὕτως γὰρ πάντας τοὺς ἐν ἐλπίδι ἀγαθῇ κατέπαυσε· δύναται δὲ καὶ κατὰ τὸ ῥητὸν εἰρῆσθαι διὰ τὸ θάνατος ἀνδρὶ ἀναπαύσις.

* Cod. μήτε.

ΚΕΦ. ϛ.

Ἰδόντες δὲ οἱ υἱοὶ τοῦ Θεοῦ τὰς θυγατέρας Cap. VI. v. 2.
τῶν ἀνθρώπων, ἔλαβον ἑαυτῶν εἰς γυναῖκας, καὶ τὰ ἑξῆς· γράφεται καὶ ἄγγελοι θεοῦ· καὶ φασί τινες τὰς ἀποστατικὰς αὐτὸν λέγειν δυνάμεις, καί τοι πρὸς γυναῖκας ἀγγέλων μίξις ἀδύνατος

Cap. 6. καὶ παρὰ φύσιν ἐστὶν· ἀνδράσι φασί τινες οἰκήσαντες, δι' αὐτῶν τὰς μίξεις εἰργάζοντο· ἀλλ' οὔτε εἶπεν ἡ γραφὴ, καὶ δυνατὸν τοῦτο λέγειν ἐπὶ πάντων ἀεὶ τῶν ἁμαρτωλῶν· πῶς οὖν ὡς τότε μόνον γενομένον τοῦτο φησὶν ἡ Γραφή; ὅτι δὲ ἀνθρώπους οὓς νῦν ἀγγέλους καὶ υἱοὺς θεοῦ οὕτω καλεῖ, τὰ μετὰ ταῦτα δηλοῖ· εἶπε γὰρ κύριος ὁ θεὸς, φησὶν, οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις· οὐκέτι ἀγγέλους ὀνομάζων αὐτοὺς, ἀλλ' ἀνθρώπους· λοιπὸν γὰρ γεγόνασιν ἄνθρωποι ἀναμιγέντες τοῖς φρονοῦσιν ἀνθρώπινα· τί γὰρ ἥμαρτον οἱ ἄνθρωποι, εἰ οἱ ἄγγελοι τοῦ θεοῦ ἔλαβον τὰς γυναῖκας βιασάμενοι; ἀγγέλους οὖν καὶ υἱοὺς θεοῦ καλεῖ τὸ γένος τὸ ἐκλεκτὸν, τοὺς ἀπὸ τοῦ Σὴθ καὶ Ἐνὼς, οὓς οὕτως ἐκάλουν δι' ὁσιότητα· κατὰ τὸ, ἐγὼ εἶπα θεοί ἐστε· ἀνθρώπους δὲ τοὺς ἀπὸ τοῦ Καῒν, οἳ ψαλτήριον εὗρον καὶ κιθάραν καὶ χαλκευτικὴν· ἀνθρώπινα γὰρ ἐπενοοῦν κατὰ τοὺς ἀναστάντας παίζειν μετὰ τὸ φαγεῖν καὶ πιεῖν.

Ἐν ὅσῳ μὲν οὖν τὸ θεῖον γένος ἀμιγὲς ἐφυλάττετο, ἣν καὶ ἐλέγετο· ἐπειδὴ δὲ παρώλισθον εἰς φιλοσαρκίαν ταῖς ἀπὸ τοῦ Καῒν ἀναμιγνύμενοι γυναιξὶν, ἔτικτον αὐτοῖς ἀλλ' οὐ τῷ θεῷ αἱ γυναῖκες τὰ τέρατα, θνητὰ φρονοῦντες ἀλλ'

οὐκ ἀθάνατα παραχαράττοντες τοῦ θεοῦ καὶ αὐ- Cap. 6.
τὰ λοιπὸν τῶν ἀνθρωπίνων σωμάτων τὰ κάλλη· ὡς τὸ σύνηθες μέτρον τε καὶ δύναμιν ὑπεραίρειν μετρίως τοὺς τικτομένους· ἀλλ' οὐχ' ὡς ἐφικνεῖσθαι νεφῶν, καὶ Σικελίαν ὑφ' ἑνὸς ἀναῤῥίπτεσθαι κατὰ μύθους καὶ τερατείαν ἑλληνικήν· γίγαντας δὲ καλεῖν ἔθος τῇ γραφῇ τοὺς εὐροστάτους μετὰ κακίας· καὶ γοῦν εἴρηται περὶ Περσῶν καὶ Μήδων, γίγαντες ἔρχονται πληρῶσαι τὸν θυμόν μου χαίροντες ἅμα καὶ ὑβρίζοντες· καὶ τοὺς ἀλλοφύλους, ὡς τοὺς Ἐνακὲμ Ῥαφαίν· καὶ ἐπὶ τοῦ Ἀβραὰμ φησίν· οἱ σύροι οἱ κατακόψαντες τοὺς γίγαντας, ἀντὶ τοὺς ἰσχυρούς· καὶ ἐπὶ τοῦ Δαβὶδ ἦσαν γίγαντες, καὶ ὅμως οἱ ἀνελόντες αὐτοὺς δυνατώτεροι γεγονότες οὐκ ἐκλήθησαν γίγαντες, ἐπειδήπερ ἦσαν δίκαιοι· τινὲς δὲ τοὺς δυνατοὺς ἁπλῶς οὕτω καλεῖσθαι φασίν· ἀλλ' ἐπειδὴ οἱ δίκαιοι οὐ τῇ ἑαυτῶν δυνάμει, τῇ δὲ τοῦ θεοῦ βοηθείᾳ καταγωνίζονται τοὺς ἀνθεστηκότας, οὐκ ἐκλήθησαν γίγαντες· ὡς ἂν μὴ τῇ αὐτῶν δυνάμει ἐπιγραφῇ τὸ κατόρθωμα· ὁ δὲ Σύμμαχος, οἱ υἱοὶ τῶν δυναστευόντων ἐξέδωκεν· ἀντὶ τοῦ τῶν ἀξίων τῶν ὑπὸ θεοῦ πρὸς τοὺς ἀνθεστηκότας δυναμουμένων.

Οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀν- v. 3.
θρώποις τούτοις εἰς τὸν αἰῶνα· τὸ πνεῦμα τοῦ

Cap. 6. θεοῦ παραμένῃ ἐν τοῖς ἀνωτέρω χωρήσασι τῶν
ὑλικῶν· οἱ δὲ τούτοις πλησιάζοντες εἴρηνται σάρκες, σαρκῶν νοουμένων τῶν ὑλικῶν καὶ ἐμπαθῶν καταστάσεων· οὐ γὰρ τὴν πρόχειρον σάρκα φησίν· οὕτω γὰρ ἂν συνέβαινε μηδένα ἄνθρωπον μετέχειν τοῦ πνεύματος τοῦ θεοῦ· καὶ Παῦλος δὲ φησίν· οἱ δὲ ἐν σαρκὶ ὄντες, θεῷ ἀρέσαι οὐ δύνανται· εἰ γάρ τις σάρκα λάβοι τὴν ὁρωμένην, πολλοὶ σὺν αὐτῇ θεῷ ἤρεσαν ὡς οἱ ἅγιοι πάντες· καὶ πάλιν λέγων· ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ ἀλλ' ἐν πνεύματι, τὴν ψεγομένην σάρκα σημαίνει· ἔτι γὰρ ἦσαν ἐν τῇ ὁρωμένῃ σαρκὶ οἷς ταῦτα ἔγραφε· προσέτι δὲ καὶ ὅλος ὁ ἄνθρωπος ταύτῃ σημαίνεται τῇ προσηγορίᾳ· ἐκχεῶ γὰρ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, ἀντὶ τοῦ ἐπὶ ἀνθρώπους· εἰς τὸν αἰῶνα δὲ λέγων, τὴν ζωὴν αἰῶνα καλεῖ· ὡς ὁ Δαβίδ, ὁ αἰὼν ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου σου, ἀντὶ τοῦ οὐ πληρώσουσι τὸν χρόνον αὐτῶν τῆς ζωῆς· ἐν τούτοις γὰρ εἶπεν οὐχ' ἑτέροις· οὐ γὰρ ἀναπληρώσω αὐτοῖς τὸν ἀριθμὸν τῶν ἐτῶν τὸν πολὺν ἐκεῖνον.

v. 5. Καὶ πᾶς τις διανοεῖται ἐν τῇ καρδίᾳ αὐτοῦ
ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ καθ' ἡμέραν, καὶ τὰ
ἑξῆς· τὸ πάσας τὰς ἡμέρας τὸ ἑβραϊκὸν οὐκ
v. 6. ἔχει· καὶ τὸ ἐνεθυμήθη δὲ τὸ ἑβραϊκὸν ἔχει
διενοήθη ἢ προσέσχεν, ἐνταῦθα μόνον· ἀλλαχοῦ

δὲ, εἴ που ἔχει, μετεμελήθη δηλοῖ ἢ παρεκλήθη ἀντὶ τοῦ ἐποίησε κατ᾽ ἀνθρώπων αἴτησιν ἀξιωθείς· ὡς τὸν Σαοὺλ ᾐτήσαντο οἱ Ἰουδαῖοι, καὶ ἔδωκεν αὐτοῖς ὁ θεὸς τὸν Σαούλ· οὔπω γὰρ ἦν ὁ Δαβὶδ ἐπιτήδειος, ἀλλ᾽ ἔτι νέος, καὶ ἡ βασιλεία αὐτῷ Βενιαμὶν ὠφείλετο· ὅμως δὲ καὶ ἀπὸ Βενιαμὶν οὐκ ἀργῶς· ἐπειδὴ μετὰ τοῦ Ἰούδα Βενιαμὶν ἦν· ἵνα ἡ Ἐφρὲμ ἡ κακῶς ἄρξασα μὴ ἔχῃ λέγειν ὅτι ὁ θεὸς ἀπ᾽ ἐμοῦ ἤρξατο ἢ ἐξελέξατο· τὸ δὲ ἐνεθυμήθη καὶ διενοήθη ἀντὶ τοῦ κατενύγη, σύννουν ἔσχε λογισμόν· δηλοῖ δὲ τὸ πᾶς τις διανοεῖται ἐπιμελῶς, καὶ τὰ ἑξῆς, εἰρημένον πρὸ τοῦ κατακλυσμοῦ καὶ μετὰ τὸν κατακλυσμὸν, τὸ φυσικόν τι προσεῖναι τῷ ἀνθρώπῳ πονηρὸν τὸ ἐπιθυμητικὸν ἤ τι ἕτερον, ὃ θεὸς μὲν εἰς χρῆσιν ἐχαρίσατο, ἡμεῖς δὲ εἰς κακὸν ἐτρέψαμεν· ὁ δὲ ἑβραῖος ἀντὶ τοῦ ἐπιμελῶς, φυσικὸν τοῦ ἀνθρώπου ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος αὐτοῦ· νοεῖται δὲ παρ᾽ αὐτοῖς καὶ οὕτως· τὸ πλάσμα τῆς καρδίας ἀνθρώπου ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος αὐτοῦ· οὐκοῦν οὐ φυσικὸν λέγει, ἀλλὰ πλάσμα μὲν τῆς καρδιας, τουτέστι τὸν αὐτεξούσιον λογισμὸν, ἐγκεῖσθαι δὲ ἥδεσθαι τοῖς κακοῖς ἐκ νεότητος· πεπλάσθαι δὲ εἰς τὸ ἐπιθυμεῖν κοίτης, ἀλλ᾽ εἰς παιδογονίαν οὐκ εἰς πορνείαν· ὡς καὶ τὸ θυμικὸν εἰς φυλα- Cap. 6.

Cap. 6. κὴν οὐκ ἀπήνειαν· τὸ δὲ μεταμελήθη καὶ τὸ ὀργίσθη θυμῷ κύριος, ἀνθρώπινα δι' ἡμᾶς· πῶς γὰρ ὁ προειδὼς μεταμέλεται; ἀλλ' ὡς ἂν νοήσωσιν ὅτι οἱ πάσχοντες δικαίως πάσχουσι, καὶ μεταγνῶσιν ὥσπερ οἱ παρὰ διδασκάλου ἀκούοντες μετεμελήθην ὅτι σοι τηλικαῦτα παρέδωκα· ἐπράττετο γὰρ παρ' αὐτῶν ἡ κακία ἐπιμελῶς καὶ βεβουλευμένως, ὃ δηλοῖ τὸ ἐν τῇ καρδίᾳ· τὸ δὲ ἐκ νεότητος, ἢ ἐκ μικρᾶς ἡλικίας, ἢ ὅτι οὐδεὶς τοιοῦτος πρεσβύτης ἐστίν.

Ἀνθρώπινον δὲ καὶ τὸ ἰδών· καὶ πρότερον γὰρ ἑώρα, ἀλλὰ νῦν ἐπὶ ἐκδικήσει τεθέαται· ὅτε γὰρ μὴ βούλεται κολάσαι τοὺς ἁμαρτάνοντας, λέγεται μὴ ὁρᾶν αὐτοὺς ἀλλὰ καὶ κοιμᾶσθαι· ἐξεγείρεται δὲ ὡς ὁ ὑπνῶν καὶ κεκραιπαληκώς· πολὺ γὰρ μακροθυμήσας, ἀθρόως ἐν τῇ ὑπερβολῇ τὰς κολάσεις ἐπάγει· τὸ δὲ πᾶς διανοεῖται ἀντὶ τοῦ ἐπὶ τὸ πλεῖστον· ὡς καὶ τὸ πᾶς ἀδελφὸς πτέρνῃ πτερνεῖ· καὶ πᾶς φίλος δολίως πορεύεται· ἢ ὅτι ὁ Νῶε οὐκ ἔτι ἦν ἄνθρωπος· ἰδὼ γὰρ εἶπα θεοί ἐστε· τοιοῦτον καὶ τὸ ἐγὼ εἶπα ἐν τῇ ἐκστάσει μου, πᾶς ἄνθρωπος ψεύστης· ὅπου γὰρ ἔρις καὶ ζῆλος, οὐχὶ ἄνθρωποί ἐστε· χρήσῃ δὲ τῷ πᾶς τις διανοεῖται, πρὸς τοὺς φιλοπονοῦντας ἐν ἑτεροδόξοις καὶ ἐπιμελῶς ζητοῦντας τὸν ἐκείνων λόγον συστῆσαι· ἐναντίως δὲ διά-

κειται τούτῳ ὁ ἐκκλησιαστικὸς σοφὸς, διανοού- Cap. 6.
μενος ἐν τῇ καρδίᾳ ἐπιμελῶς ἐπὶ τὰ ἀγαθὰ πά-
σας τὰς ἡμέρας· καλῶς δὲ καὶ τὸ ἀπαλείψω τὸν v. 7.
ἄνθρωπον, ὃν ἐποίησα ἀπὸ προσώπου τῆς γῆς· οὐ γὰρ εἰς ἀνυπαρξίαν αὐτὸν περιάγει· οὐ δὲ κατὰ ψυχὴν ἀπαλείφει, ἀλλὰ ἀπὸ γῆς, ἀπὸ ἀνθρώπου ἕως κτήνους· διὰ τί ἀπειλῶν τὸν ἄνθρωπον ἀπαλείψειν, καὶ τὰ λοιπὰ προσδιαφθείρει; ὅτι οὐ προηγουμένως δι' ἑαυτὰ γέγονεν τὰ ἄλογα, ἀλλὰ χάριν ἀνθρώπων καὶ τῆς τούτων ὑπηρεσίας· ὧν διαφθειρομένων, εἰκότως κἀκεῖνα συνδιαφθείρεται μηκέτ' ὄντων τῶν δι' οὓς γέγονεν· συμμετροῦντος τοῦ θεοῦ τὸν ἀριθμὸν τῶν σωθησομένων ζώων πρὸς τὴν χρείαν τῶν σωθησομένων ἀνθρώπων, ὥσπερ οὖν καὶ ἀπ' ἀρχῆς δύο δύο ἔκτισεν.

Καὶ Νῶε εὗρε χάριν ἐναντίον κυρίου τοῦ v. 8.
θεοῦ, καὶ τὰ ἑξῆς· ἐκ τῆς οἰκείας προπαρασκευῆς εὗρε χάριν ἐναντίον τοῦ θεοῦ· αὐτὸς διὰ τῶν τῆς ἀρετῆς ἔργων χαριτώσας ἑαυτὸν καὶ ἐκ τούτου δεξάμενος παρὰ θεοῦ χάριν· εὖ δὲ καὶ τὸ εὗρεν, ἵνα δειχθῇ ὅτι ζητήσας δεόντως, εὗρεν· εἰπὼν δὲ δίκαιος τέλειος ὢν, προσέθηκεν ἐν τῇ γενεᾷ αὐτοῦ· καὶ τάχα τοῦ Νῶε οὐκ ἐπὶ τὰς πράξεις ἔφθασεν ἡ κακία, ἀλλ' ἵστατο ἐπὶ τὴν καρδίαν· ὁ δὲ μὴ βουλόμενος τοῦ Νῶε καθη-

Cap. 6. γορεῖν ἐρεῖ ὅτι οὐδὲ ἄνθρωπος ἦν ὡς δίκαιος·
γέγραπται γὰρ, ἐπληθύνθησαν αἱ κακίαι τῶν
ἀνθρώπων· τὸ δὲ καιρὸς ἥκει, ὁ ἑβραῖος πέρας
v. 9. εἶπεν ἢ τέλος. Τὸ δὲ αὗται αἱ γενέσεις Νῶε,
οὐ κοινῶς φασιν εἴρηται· ἢ γὰρ ἂν εὐθέως ἐπή-
v. 10. νεγκε τῷ Νῶε ἐγέννησε τρεῖς υἱούς· νῦν δὲ ἐπεὶ
δικαιοσύνης ἡ γένεσις αὐτοῦ, προτέτακται τὸ
αὗται αἱ γενέσεις· ἐπιφέρεται δὲ τὸ, ἄνθρωπος
δίκαιος καὶ τέλειος ὤν· καλῶς δὲ καὶ τὸ, ἐφ-
θάρη ἡ γῆ ἐναντίον τοῦ θεοῦ· ἀδικία μὲν γὰρ
φθείρει τὴν γῆν, δικαιοσύνη δὲ σώζει· καὶ ὁ
ἁμαρτάνων τὸ ὅσον ἐφ' ἑαυτῷ φθείρει τὴν γῆν·
οὐκ ἐν τῷ κατακλυσμῷ γὰρ γέγονεν ἐφθαρμένη
ἡ γῆ· τότε γὰρ ἀπελούσατο τὴν φθορὰν, ἀλλ'
ἐν τῇ ἀδικίᾳ· τὸ δὲ καταφθεῖρον τὴν ὁδὸν τοῦ
θεοῦ, οὐκ ἔστι πνεῦμα ἀλλὰ σάρξ· τὸ γὰρ φρό-
νημα τῆς σαρκὸς ἔχθρα εἰς θεόν· καὶ οἱ ἐν σαρ-
κὶ ζῶντες, θεῷ ἀρέσαι οὐ δύνανται.
v. 14. Ποίησον δὲ σεαυτῷ, φησὶ, κιβωτὸν ἐκ ξύ-
λων ἀσήπτων ἢ κεδρίνων· ὁ ἑβραῖος τὸ τετρα-
γώνων φησὶν ἐπὶ πλακῶν πυξίνων· ἐν τῷ Ἡσαΐᾳ·
καὶ γὰρ τέκτων ἐκλέγεται ξύλον ἄσηπτον· ὁ
ἑβραῖος ἐκλεκτὸν· ζητεῖται δὲ ποταπὸν δεῖ νοῆ-
σαι τὸ σχῆμα τῆς κιβωτοῦ· ὅπερ νομίζω, φη-
σὶν, ὅτι πυραμοειδές ἐστιν, ἀρχόμενον ἀπὸ μή-
v. 15. κους τ̄ πηχῶν, ἀπὸ δὲ πλάτους ν̄, καὶ ἐπὶ λ̄

τοῦ ὕψους πήχεις ἐπισυναγόμενον, ὥστε τὴν κο- Cap. 6.
ρυφὴν γενέσθαι μήκους καὶ πλάτους πῆχυν· ἔστω
δὲ τὰ μὲν κάτω αὐτῆς ἅπερ ὠνόμασται κατά- v. 16.
γαια, ὀροφῶν β̄· τὰ δὲ ὑπὲρ τὰς δύο ὀροφὰς
ἐπὶ τὸ ἀνωτέρω ὀροφῶν γ̄· τοῦτο δὲ καὶ ὁ Σύμ-
μαχος σαφῶς ἐξέθετο εἰπὼν, κατὰ τὰ δίστεγα
καὶ τρίστεγα ποιήσεις αὐτήν· νοείσθω δὲ καθ'
ἑκάστην ὀροφὴν ἀπολαμβανόμενα χωρία ὑπὲρ
τοῦ χωρίζεσθαι τὰ ἀνομοιογενῆ ζῶα ἅπερ κα-
λεῖ νοσσιὰς, ὁ δὲ Σύμμαχος καλιάς· τετράγω-
να δὲ ἔστω τὰ ξύλα· πρῶτον μὲν, ἵνα μὴ πο-
λὺς χρόνος καταναλίσκηται εἰς διαίρεσιν αὐ-
τῶν· ἔπειτα, ὅπερ καὶ ἀληθέστερόν ἐστιν, ἵν'
ἐξ ὁλοκλήρων γινομένη ἀσφαλεστέρα τυγχάνῃ·
ἔμελλε γὰρ καὶ ὄρεσι προσπελάζειν, καὶ ζάλην
οὐ μικρὰν ὑφίστασθαι, πρὸς ἅπερ οὐκ ἀντεῖχεν
εἰ μὴ ἐξ ὁλοκλήρων κατεσκεύαστο ξύλων· αἱ δὲ
νοσσιαὶ καὶ διεχώριζον τὰ ζῶα, καὶ σύνδεσιν
εἰργάζοντο τῷ κατασκευάσματι· ὑπὲρ δὲ τοῦ μὴ
ἔχειν παρείσδυσιν τὸ ὕδωρ, ἀσφάλτῳ περιαλε-
λείφθω ἔξωθέν τε καὶ ἔσωθεν· εὖ δὲ καὶ τὸ εἶ-
ναι τὸ μῆκος τοῦ πλάτους μεῖζον· οὕτω γὰρ εὐ-
κίνητον ἦν· τοιαῦτα γὰρ καὶ τὰ σκάφη τῆς ἀνα-
λογίας φυλαττομένης τῷ σχήματι· ἅμα δὲ καὶ
πρὸς τοσοῦτον ὕδωρ ἐτύγχανεν ἀσφαλές· οὔτε
περιτραπῆναι διὰ τὸ σχῆμα δυνάμενον ἐξ ἀνέ-

Cap. 6. μων ἢ τῶν κυμάτων, οὔτε κλινόμενον ἢ πλαγιαζόμενον· τρόπον δὲ οἰκίας τεθεμελιωμένης, ἑστώσης ἐν ὕδατι τῆς κιβωτοῦ· καὶ οὐκ ἄν τις ἀσφαλέστερον ἐπινοήσειε σχῆμα πρὸς τοσαύτην φοβεράν τε καὶ βίαν· εἰ δὲ ὅτι τετράγωνος κάτωθεν γέγονέ τις λέγοι, καὶ τοῦτο οὐκ ἀπεικότως· ἐπείπερ οὐκ εἰς τὸ πλεῖν προηγουμένως, ἀλλ' εἰς τὸ φυλάττειν ἐγένετο· ἄλλως τε καὶ κατεποντοῦτο ταχέως εἰ μὴ τετράγωνον ἦν.

Παραδέδοται δὲ οὐκ ἀπιθάνως ἥ τε χρεία τῶν δύο καταγαίων ὀροφῶν κεχωρισμένων παρὰ τὰς ἀνωτέρω καὶ τῶν τριῶν ἰδίᾳ ὠνομασμένων· ἐπεὶ γὰρ ἐνιαυτὸν πεποίηκε πάντα τὰ ζῶα ἐν τῇ κιβωτῷ· πάντως ἔδει πρόνοιαν γενέσθαι τῆς τε ἐπιτηδείου πᾶσι τροφῆς αὐτάρκους πρὸς ἐνιαυτὸν, καὶ τῆς τῶν ἐκκρινομένων σκυβάλων χώρας δυναμένης μὴ ἐνοχλεῖν τοῖς ζώοις καὶ μάλιστα τοῖς ἀνθρώποις· φασὶ τοίνυν ὅτι ἡ μὲν κατωτέρω καὶ πρὸς τῷ πυθμένι τοῦ διορόφου στέγη, εἰς σκύβαλα ἀποτέτακτο· ἡ δὲ ταύτης ἀνωτέρω, εἰς τὴν συναγωγὴν τῆς τροφῆς τῶν ζώων· τὸ δὲ μετὰ ταῦτα τριώροφον, τοῖς ζώοις ἀπετέτακτο κατὰ τὰς ὀνομασθείσας νοσσιάς· καὶ εἰκὼς, ὅτι τῷ μὲν τῶν ὄφεων γένει καὶ θηρίων, ἡ τοῦ κατωτάτου τριωρόφου χώρα ἀπενεμήθη· τοῖς δὲ κτήνεσι καὶ τοῖς λοιποῖς τῶν τιθασω-

τέρων ἢ ἡμερωτέρων τάξει καὶ λόγῳ τὰ ἀνω- Cap. 6.
τέρω· ἐχρῆν δὲ τὸν ἄνθρωπον ὥσπερ τῇ φύσει
ἄρχοντα τῶν ἀλόγων, οὕτω καὶ χώρᾳ τῇ ἀνω-
τάτω τυγχάνειν περὶ τὴν τρίτην στέγην· πιθα-
νὸν δὲ τὴν πλαγίαν θύραν ἣν εἶπε γεγονέναι
περὶ τὴν κάτωθεν πρώτην στέγην· ἵνα ἐκεῖθεν
εἰσελθόντα τὰ ζῶα πρὸς τὰς τεταγμένας χω-
ροίη νεοττίας· εἰ γὰρ ἄνωθεν ἦν, μετὰ πολλῆς
δυσκολίας ἀνῄει τε τὰ ζῶα πρὸς τὴν κιβωτὸν
καὶ πρὸς τοὺς ἰδίους τόπους κατήρχετο· θειοτέ-
ρας δὲ δυνάμεως ἔχρῃζεν ἡ ἀσφάλεια τῆς κλειο-
μένης ταύτης θύρας, οὐκέτι δυναμένου τινὸς
ἔξωθεν ἀνθρώπου ἀσφαλτῶσαι αὐτὴν ὑπὲρ τοῦ
μὴ παρεισδῦναι ὕδωρ· διὸ ἔκλεισεν ὁ θεὸς ὄπι-
σθεν τοῦ Νῶε· καὶ οὕτως ἐγένετο ὁ κατακλυ-
σμός· μετὰ δὲ τὸν κατακλυσμὸν παρετηρήσαμεν
ὅτι οὐκέτι ὡς ἐν τοῖς ἀνωτέρω θύραν ἀνεῴξεν
ὁ Νῶε, ἀλλὰ θυρίδα ἵνα ἀποστείλῃ τὸν κό-
ρακα· βίαιον δέ τις τὴν παρατήρησιν ὑπελάμ-
βανεν, εἰ μὴ καὶ αἱ λοιπαὶ ἐκδόσεις δεύτερον
μὲν θυρίδα περιεῖχον ἀνοιγομένην ὑπὸ τοῦ Νῶε·
πρότερον δὲ θύραν ἢ ἄνοιγμα ἔλεγον προστετα-
χέναι τὸν θεὸν τῷ Νῶε ποιῆσαι ἐκ πλαγίων
τῆς κιβωτοῦ· θύραν μὲν γὰρ ὁ Θεοδοτίων καὶ
Σύμμαχος, ἄνοιγμα δὲ ὁ Ἀκύλας ἐποίησε· γε-
γράπται δὲ περὶ τῶν τροφῶν ὅτι καὶ προσέτα-

Cap. 6. ξεν ὁ θεὸς εἰσαγαγεῖν καὶ εἰσάγαγε Νῶε· ἡ δὲ τῶν σκυβάλων τῶν ζώων πάροδος καλῶς παρασεσιώπηται· καὶ τοῦ Νῶε δυναμένου τὸ ἀκόλουθον περὶ τούτων σκοπῆσαι καὶ ἡμῶν τὸ παραλελειμμένον στοχάσασθαι.

Ἀπελλῆς δὲ, φασὶν, ὁ τοῦ Μαρκίωνος γνώριμος ψευδῆ δεῖξαι βουλόμενος τὴν γραφὴν, ἐπηπόρησεν εἰ δύναται τηλικαύτη κιβωτὸς ποστημόριον τῶν ἐπὶ γῆς χωρῆσαι ζώων· ἀγνοῶν καθὰ δή τις τῶν παρ᾽ ἑβραίοις ἐλλογίμων παρέδωκεν, ὡς ἄρα οἱ τ̄ πήχεις ὠνομάσθησαν ὡς ἡ καλουμένη παρὰ τοῖς γεωμέτραις δύναμις τοῦ ἀπὸ τοῦ τριακόσια τετραγώνου· ὡς εἶναι τοὺς πήχεις τοῦ μήκους ἐν τῷ κάτω ἐπιπέδῳ θ̄ μυριάδας· οὕτω δὲ καὶ τοῦ πλάτους δισχιλίους πεντακοσίους, καὶ τοῦ ὕψους ἐνναχοσίους· πάσῃ παιδευθεὶς σοφίᾳ τῶν αἰγυπτίων ἐν οἴκῳ τοῦ βασιλέως ὁ Μωϋσῆς οὐκ ἠγνόει ὅτι οἱ κοινότερον νοηθέντες τ̄ τοῦ μήκους, καὶ ν̄ τοῦ πλάτους, καὶ λ̄ τοῦ ὕψους, οὐδὲ ἐλέφαντας ἂν ἐχώρησαν τάχα που δ̄, καὶ τὰς τούτων ἐπ᾽ ἐνιαυτὸν τροφάς· τί δὲ τὸ ἐπισύναξαι εἰς πῆχυν τὴν κιβωτόν; οὐκοῦν τῶν κατὰ δύναμιν εἰρημένων πηχῶν κάτωθεν συναγομένων εἰς πῆχυν, ἐγίνοντο τοῦ μὲν μήκους ῑ πήχεις, τοῦ δὲ πλάτους εἷς καὶ δίμοιρον· ὥστε γενέσθαι τὸ τριακοστὸν τοῦ

ὕψους πῆχυν, δέκα μὲν τοῦ μήκους, ἑνὸς δὲ καὶ Cap. 6.
διμοίρου τοῦ πλάτους· εἶτα μετὰ τοῦτο συντελεῖσθαι εἰς πῆχυν τὴν ἐπισυναγωγήν· εἰ δέ τῳ βίαιος εἶναι δόξει ὁ πῆχυς τριακοστὸς καὶ πρῶτος ὢν τοῦ ὕψους, προσεχέτω τῇ λέξει λεγούσῃ καὶ λ̄ πήχεων τὸ ὕψος αὐτῆς, ἐπισυναγαγὼν ποιήσεις τὴν κιβωτὸν, καὶ εἰς πῆχυν συντελέσεις αὐτήν· οἶμαι γὰρ ἐμφαίνεσθαι μετὰ τὸ καὶ λ̄ πήχεων τὸ ὕψος τὸν πρῶτον καὶ τριακοστὸν πῆχυν διὰ τοῦ καὶ εἰς πῆχυν συντελέσεις αὐτὴν ἄνωθεν· ἐγένετο δὲ οὕτως ἵνα τῶν ὑδάτων ἐπιφορὰ ἔχῃ τὸν ὄλισθον, καὶ μὴ καθάπερ εἰς πέτραν πανταχόθεν ἔχουσαν ὕψος προσταράττῃ τὰ κύματα· καὶ τὸ τὴν θύραν δὲ ἐκ πλαγίων γενέσθαι ἐπιτηδείως προσετάττετο· ἐν ὀροφῇ μὲν γὰρ εἰ γέγονεν ἐκ τῶν ὄμβρων ἐπλήρου τὴν κιβωτόν· ἐκ δὲ τῶν πλαγίων ταχθεῖσα, τὸ ἀσφαλὲς τοῖς ἔνδον παρείχετο, τῆς μὲν κιβωτοῦ ἐφ' ὕδατος φερομένης, τῆς δὲ θυρίδος ἀνωτέρω τούτου τυγχανούσης.

Τὸ δὲ ἰδοὺ ἐπάγω τὸν κατακλυσμὸν ἐπὶ τὴν v. 17.
γῆν καταφθεῖραι πᾶσαν σάρκα ἐν ᾗ ἐπίπνευμα ὑποκάτω τοῦ οὐρανοῦ· καὶ ὅσα ἂν ᾖ ἐπὶ τῆς γῆς τελευτήσει, δηλοῖ ὅτι τά τε ἐν τῇ γῇ καὶ τὰ ἀεροπόρα φθαρήσεται· τάχα γὰρ τὰ ἔνυδρα διεσώζετο τῆς ἐπιχύσεως τοῦ ὕδατος οὐκ ἀνοι-

Cap. 6. κείου πρὸς διατριβὴν αὐτῆς τυγχανούσης· λογίσαιτο δ' ἄν τις ὡς καὶ διὰ ταύτην τὴν αἰτίαν ὁ Νῶε ἀπὸ τῶν ἐνύδρων εἰς τὴν κιβωτὸν οὐκ εἰσήγαγεν· καὶ ὅσα ἐὰν ᾖ ἐπὶ τῆς γῆς τελευτήσει· ὁ μὲν ἁπλούστερος φύσει ὅτι Νῶε οὐκ ἦν ἐπὶ τῆς γῆς τελευτήσει· ὁ μὲν ἁπλούστερος φύσει ὅτι Νῶε οὐκ ἦν ἐπὶ τῆς γῆς, καὶ οἱ σὺν αὐτῷ· ἐπὶ ξύλου γὰρ ἦσαν ὀχούμενοι· ὁ δὲ βλέπων πως ὅπου ὁ θησαυρὸς ἐκεῖ καὶ ἡ καρδία ἑκάστου, ἐρεῖ περὶ τοῦ Νῶε ὅτι θησαυρὸν ἔχων ἐν οὐρανῷ ὅτῳ δίκαιος ἦν, οὐκ ἦν ἐπὶ γῆς ἀλλ'

v. 18. ἐν οὐρανῷ· σημειώση δὲ πρῶτον· ὁ θεὸς διαθήκην αὐτῷ ἵστησι πρὸς Νῶε· εἰσελεύσῃ εἰς τὴν κιβωτὸν σὺ καὶ οἱ υἱοί σου· ταύτης φασὶ τῆς συμφράσεως αἱ διαστολαί εἰσιν αἵδε, καθὰ σοφὸς ἀνὴρ ἡμῖν ἀφηγήσατο, καὶ εἰσελεύσῃ εἰς τὴν κιβωτόν· ἐν τούτῳ γάρ ἐστι· καὶ οἱ υἱοί σου καὶ ἡ γυνή σου· καὶ μέχρι τούτου καὶ αἱ γυναῖκες υἱῶν σου σὺν σοί.

Τὸ δὲ σαφηνισθὲν ἐστὶ τοιοῦτον· ἐπεὶ καθαροὺς διαμένειν ἤθελε τοὺς εἰσελθόντας ἀνθρώπους εἰς τὴν κιβωτὸν ἀπὸ μίξεως, οὕτως αὐτοὺς εἰσάγει· κατὰ τὴν εἰσαγωγὴν κελεύων αὐτοῖς τὴν διατριβὴν ποιήσασθαι τὴν ἐν τῇ κιβωτῷ· πρῶτον Νῶε, διόπερ ἡ θεία γραφὴ λέγει καὶ εἰσελεύσῃ εἰς τὴν κιβωτὸν σύ· καὶ εἶτα τοὺς υἱοὺς

αὐτοῦ σὺν τῇ μητρί· καὶ υἱοὶ γάρ σου καὶ ἡ Cap 6.
γυνή σου φησίν· εἶτα τὰς γυναῖκας τῶν υἱῶν αὐτοῦ σὺν τῷ πατρὶ αὐτῶν, καὶ γυναῖκες υἱῶν σου σὺν σοί· καθαροὶ γὰρ ἅπαντες ἔμελλον. διαμένειν, μηδεμιᾶς προφάσεως ἐρεθισμοῦ καταλειπομένης τῇ τῶν οὕτως εἰσελθόντων συνουσίᾳ· οὐ γὰρ ἔπρεπε τῶν ἑρπετῶν ὁμοίων ἀπολλυμένων, καὶ πάντων τῶν ὁμοίων ζώων ὑποβρυχίων γινομένων, τούτους κοίταις καὶ παιδαποιΐαις σχολάζειν· ὅτε μέν τοι τὰ δεινὰ παρῆλθε καὶ χρεία ἐκάλει τὴν γῆν ἀνθρώπων πληρωθῆναι, κατὰ γαμικὴν αὐτοὺς συζυγίαν ἐκβάλλει, λέγων· ἔξελθέ συ καὶ ἡ γυνή σου καὶ οἱ υἱοί σου καὶ αἱ γυναῖκες τῶν υἱῶν σου.

ΚΕΦ. Ζ.

Καλῶς δὲ ὅλως καὶ τὸ λέγεσθαι εἴσελθε σύ, Cap. VII. v. 1.
καὶ οἱ υἱοί σου· οὐ γὰρ αὐτὸς δι' αὐτοὺς, ἀλλ' αὐτοὶ δι' αὐτὸν καὶ τὴν ἀπ' αὐτοῦ ὠφέλειαν διεσώθησαν· καὶ τοῦτο δὲ βεβαιοῦται ἐκ τοῦ ἐν τοῖς μετέπειτα ἐπιφερομένου· λέγοντος τοῦ θεοῦ πρὸς Νῶε, ὅτι σὲ εἶδον δίκαιον ἐναντίον ἐμοῦ τῇ γενεᾷ ταύτῃ· τὸ δὲ πρὸς σεαυτὸν συνάξεις καὶ ἔσται σοι καὶ ἐκείνοις φαγεῖν, παρατήρησιν ἂν ἔχοι φασίν· ὅτι ἐν οἷς σὺ διαιτᾷ καταγω-

Cap. 7. γίοις καὶ ἄλλα ζῶα οὐ πλησιάζει, συνάγαγε τὰς τροφάς· εἰ γὰρ ἐν τοῖς ἐκείνων τόποις ἀπέκειντο, ἀφειδῶς ἐπιβαίνοντα ταῖς τροφαῖς, ἔνδειαν αὐτῶν εἰργάζοντο. Ἀποροῦσι δέ τινες φασί πως οἷόν τε ἦν ἐν τῇ κιβωτῷ πάντων τῶν ζώων τροφὰς συναγαγεῖν, τοῦ μεγέθους τῆς κιβωτοῦ μὴ ἐπαρκοῦντος πρὸς ἐνιαυτοῦ τροφῶν τῶν τοσούτων ζώων ἀπόθεσιν· πρὸς ὃ λεκτέον, ὡς ἅπαν τὸ κατασκεύασμα ἐξ ἐντολῆς θεοῦ γεγενημένον διὰ τὴν μέλλουσαν τῶν ἀνθρώπων ἐπανανέωσιν· καὶ τότε διὰ τῆς τοῦ θεοῦ δυνάμεως ἀπεπληροῦτο τοῖς ζώοις· ἔχεις τούτου εἰκόνας τὰς ἐπὶ Μωϋσέως μ ἡμέρας ἃς διετέλεσεν ἄσιτος ἐν τῷ ὄρει· οὐ μὴν ἀλλὰ καὶ τὰς τῷ Ἀμβακοὺμ προσενεχθείσας ὑπὸ τοῦ ἀγγέλου τρο-
v. 3. φὰς καὶ τῷ Ἠλίᾳ. Ζητήσαι δ' ἄν τις πῶς τοῦ νόμου μὴ δέπω διαστειλαμένου καθαρὰ καὶ ἀκάθαρτα, ὡς εἰδότι τῷ Νῶε διαφορὰν ἀκαθάρτων ταῦτα λέγεται; ἢ ἀπὸ τοῦ φύσει νόμου ταῦτα ἠπίστατο; ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῶσιν· ἄλλως τε καὶ τῷ δικαίῳ προεθεωρεῖτο ἡ ἐπιστημονικὴ τοῦ νόμου διάταξις· ὁ δὲ θεὸς κελεύει τῷ Νῶε ἀπὸ πάντων τῶν ζώων δύο δύο εἰσαγαγεῖν ἄρσεν καὶ θῆλυ· εἶτα ἐν μέσῳ ἀπὸ τῶν καθαρῶν οὐκ ἔτι δύο δύο ἀλλ' ἑπτά· ἀπὸ δὲ τῶν μὴ καθαρῶν

δύο δύο· καὶ πάλιν ἐν τῷ τέλει τοῦ λόγου δύο Cap. 7.
δύο φησὶν εἰσήγαγεν Νῶε ἀπὸ πάντων, οὐ μέμνηται ὅτι ἑπτά· μή ποτε οὖν δύο μὲν δύο τὸ ἐφ' ἑκάστου γένους, ἄρσεν καὶ θῆλυ πρὸς τὴν διατήρησιν τοῦ γένους εἰσάγειν προστάττεται; ἡ δὲ προσθήκη, ἵνα ἐξελθὼν θυσιάσῃ τῷ θεῷ; ἆρ' οὖν ἑπτὰ ἀφ' ἑκάστου γένους ἐθυσίαζε, καὶ αὐτὸς ἐκέχρητο ἐν τῇ κιβωτῷ;

Εἰ δὲ πρὸ τοῦ κατακλυσμοῦ μὴ ἤσθιον κρέα, πῶς Ἄβελ ποιμὴν προβάτων ἦν; ἢ θυσίαν ἐποίει θεῷ ἀφ' ὧν ἐβδελίσσετο; πῶς δὲ καθαρὰ καὶ ἀκάθαρτα ἐλέγετο, ἐπειδὴ ἐν ἀρχῇ ἀπὸ πάντων δύο δύο κελεύει ὁ θεὸς εἰσαγαγεῖν μετ' αὐτῶν, μετὰ δὲ ταῦτα ἀπὸ τῶν καθαρῶν ἑπτὰ ἑπτά; εἶτα ὅτε εἰσῆγεν ὁ Νῶε εἰς τὴν κιβωτὸν πάντα, οὐκ ἐπισημαίνεται ἡ γραφὴ ὅτι ἑπτὰ ἀλλὰ κατὰ τὴν πρώτην τοῦ θεοῦ φωνὴν ὅτι δύο δύο· οἱ δὲ μὴ βουλόμενοι πρὸ τοῦ κατακλυσμοῦ κρεωφαγίαν εἶναι διὰ τὸ μέλλον αὐτῷ λέγεσθαι πάντα φαγέσθε ὡς λάχανα χόρτου, ἐν τοῖς καθαροῖς ἐπερίσσευσεν ἔφασαν· ἐτόλμησε δὲ εἰπεῖν Βαρδασάνης ἕτερον μὲν τὸν δύο δύο λέγοντα, ἕτερον δὲ τὸν ἑπτὰ ἑπτά· ἐπειδὴ ἡ ἑβραῒς ἑτέροις καὶ ἑτέροις ὀνόμασι καλεῖ τὸν θεόν, δύο θέλει ἀπὸ τούτων ποιεῖν· καθαρὰ δὲ καὶ ἀκάθαρτα λέγεται οὐ τῷ δημιουργῷ τοιαῦτα τυγ-

Cap. 7. χάνοντα· καὶ γὰρ ἄνω φησὶν ὅτε τὰ ζῶα παρήγαγεν ὁ θεὸς, καὶ ἰδοὺ πάντα καλὰ λίαν· ἀλλὰ παρ' ἡμῖν καὶ τοῖς τότε οὕτως ἐκρίνετο· καὶ γὰρ καὶ θεὸς ὀνομάζει τῶν ἐθνῶν τοὺς δαίμονας, οὐκ ἐπειδή εἰσιν, ἀλλ' ἐπειδὴ οὕτω προσηγορεύοντο· σημειωτέον δὲ ὅτι περὶ τῶν ἀλόγων διαλεγόμενος, εἶπεν· εἰσῆλθε πρὸς Νῶε αὐτομάτως, οὐκ εἰσήγαγε Νῶε· δῆλον οὖν ὡς πρόσταγμα θεοῦ ταῦτα πρὸς τὸν Νῶε συνήγαγεν· ὡς καὶ πρὸς τὸν Ἀδὰμ ὅτε τὰ ὀνόματα αὐτοῖς ἐπετίθει· τὸ γὰρ πάντα πανταχόθεν συναγαγεῖν, ὑπὲρ τὴν δύναμιν ὑπῆρχε τοῦ Νῶε, μὴ πανταχοῦ πάντων εὑρισκομένων· πῶς δὲ καὶ πάντα κατέσπασεν ἂν τὰ πτηνά; εἰκότως δὲ ζώπυρον ἑκάστου γένους ἐν κιβωτῷ καταλέλειπται, ὡς ἂν μὴ ἄλλης ἀρχῆς γενομένης ὡς περὶ δύο δημιουργῶν αἵρεσις εἰσαχθῇ, ὅπου γε καὶ τούτου γενομένου εὑρησιλογοῦσιν οἱ αἱρετικοὶ διαφόρους εἰσαγαγόντες θεότητας.

v. 11. Τῷ δευτέρῳ μηνί· εἰ δεύτερος μὴν ὁ ἑξῆς ἐστι τοῦ πάσχα, ὅρα εἰ μὴ ἐγγὺς τοῦ θέρους ἔρχεται ὁ κατακλυσμὸς· οὐ κατὰ φύσιν ὄντος τοῦ ὑετοῦ μάλιστα ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνὸς, περὶ σύνοδον οὔσης τῆς σελήνης ἐν ἀριθμῷ τῇ κιβωτῷ ἀπὸ τοῦ τρία· λέγων δὲ φασὶ πηγὰς ἀβύσσου καὶ καταράκτας οὐρανοῦ, δη-

λοῖ ὅτι πᾶσαν τὴν κτίσιν ὕδωρ περιέχει, καὶ Cap. 7.
ὅτι κακῶς οἴονταί τινες σφαῖραν εἶναι τὸν οὐρανὸν ἀεὶ κινουμένην· ὁ γὰρ οὐρανὸς ἕστηκεν ὁδὸς τῶν ἄστρων τρεχόντων οὐ πεπηγότων ἐν αὐτῷ· ἐγένετο δὲ πάλιν ἡ γῆ ἀόρατος καὶ ἀκατασκεύαστος ἐπὶ τῆς προτέρας ἀμορφίας, τῶν ἄνωθεν ὑδάτων καὶ τῶν κάτωθεν αὖθις συνδραμόντων εἰς τὴν ἀρχαίαν συνάφειαν· δοκεῖ δὲ τὸ ῥητὸν ἀκατάλληλον εἶναι· ποτὲ μὲν ἐπὶ μ̅ ἡμέρας τὸν κατακλυσμὸν εἰπὼν γεγονέναι, καὶ τοῦτο δίς·
φησὶ γὰρ, ἐγένετο ὁ ὑετὸς ἐπὶ γῆς μ̅ ἡμέρας v. 12.
καὶ μ̅ νύκτας· καὶ μετ' ὀλίγον, ἐγένετο ὁ κατακλυσμὸς μ̅ ἡμέρας καὶ μ̅ νύκτας· ποτὲ δὲ τὸ ὕδωρ ἐπὶ ρ̅ν̅ ἡμέρας ὑψῶσθαι· τοῦτο δὲ μεταξὺ παρεμβέβληται, τῶν δεύτερον λεγομένων μ̅ ἡμερῶν· δεῖ οὖν εἰδέναι ὡς μ̅ μὲν ἡμέρας παρέτεινεν ὁ κατακλυσμὸς, καὶ μετὰ μ̅ ἐμνήσθη ὁ θεὸς τοῦ Νῶε· τὸ δὲ ὕψος τοῦ ὕδατος τὸ ἀπὸ τοῦ κατακλυσμοῦ γεγονὸς διήρκεσε μὴ μειούμενον ἐπὶ ρ̅ν̅ ἡμέρας, καὶ μετὰ ταῦτα τῆς μειώσεως τὴν ἀρχὴν ὑπέδεξατο.

ΚΕΦ. Η.

Τὸ δὲ ἐμνήσθη ὁ θεὸς τοῦ Νῶε καὶ πάντων Cap. VIII. v. 1.
τῶν θηρίων καὶ πάντων τῶν κτηνῶν καὶ τὰ ἑξῆς,

Cap. 8. θεοπρεπῶς ἀκουστέον οὐχ' ὡς ἐκ λήθης, ἀλλ'
ὥσπερ περὶ τῶν ἀσεβῶν λέγει, οὐκ οἶδα ὑμᾶς,
ἀντὶ τοῦ οὐδέ ποτε ὑμᾶς ὡς ἡμετέρους ἔσχον·
οὕτως ἐνταῦθα τὸ ἐμνήσθη ἐπὶ τὸ ἀγαγεῖν αὐ-
τὸν εἰς ἀρχὴν γενέσθαι γένους· πνεύματι δὲ φα-
σὶν ἐκόπασε τὸ ὕδωρ· τοῦτο γὰρ καὶ ἐξ ἀρχῆς
v. 4. ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος. Καὶ ἐκάθισεν ἡ
κιβωτὸς ἐν τῷ ἑβδόμῳ μηνὶ ἑβδόμῃ καὶ εἰκάδι
v. 5. τοῦ μηνὸς ἐπὶ ὄρη Ἀραράτ· πῶς λέγει ἐφάνη-
σαν αἱ ἀρχαὶ τῶν ὀρέων ἐν τῷ κατακλυσμῷ,
v. 8. καὶ μετὰ ταῦτα ἐξελθοῦσαν τὴν περιστερὰν μὴ
εὑρεῖν ἀνάπαυσιν τοῖς ποσὶν αὐτῆς; ὅτι τοῦ
ὕδατος τὰ ἄκρα τῶν ὀρέων καλύψαντος ἐπὶ ιε
πήχεις, πολλὴ ἰλὺς ἀκρωρείαις ἐφίζανεν ὡς μὴ
δύνασθαι στῆναι· ἔπειτα οὐκ ἠδύνατο ἔξω χρο-
νίσαι ἡ περιστερά· διὰ χρόνου γὰρ ἱπταμένη,
πρὸς τὴν πτῆσιν ἦν ἀργοτέρα, καὶ ἅμα δυσχε-
ρῶς ἔτεμνε τὸν ἀέρα παχύν τε καὶ ὄντα κάθυ-
γρον· καὶ πάλιν οὐδὲν εὗρεν ὁμογενές· τοι-
γαροῦν καὶ ὁ κόραξ ὑπέστρεψεν, ὡς ἔχει τὸ
ἑβραϊκόν· περὶ δὲ τῆς κιβωτοῦ φησὶν Ἰώσηπος
ὁ ἑβραῖος ἐν τοῖς περὶ ἀρχαιότητος οὕτως· ἧς
κιβωτοῦ τὰ λείψανα μέχρι νῦν πρὸς ἀπόδειξιν
τῶν γεγονότων δείκνυται ἐν ὄρει λεγομένῳ Ἀρα-
ρὰτ, ἃ τυγχάνει ἀνὰ μέσον τῆς ἀρμενίας καὶ
παρθικῆς χώρας κατὰ τὴν τῶν Ἀδιαβηνῶν γῆν·

τοῦ δὲ γενομένου κατακλυσμοῦ ἔτι καὶ ἕτερα Cap. 8.
μαρτύρια εὐαπόδεικτα τοῖς ἀπιθεῖν ἐθέλουσιν·
ἕως γὰρ νῦν ἐφ' ὑψηλοτάτοις ὄρεσι καὶ δυσβάτοις τὰ θαλάσσης λείψανα εὑρίσκεται, κόγχαι καὶ ὀστρέων κελύφαι καὶ τὰ ὅμοια, ὡς καὶ ἡμεῖς εἴδομεν πολλάκις. Ἐπισημαντέον δὲ ὡς ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνὸς τοῦ δευτέρου ὁ κατακλυσμὸς ἄρχεται, καὶ ἑβδόμῃ καὶ εἰκάδι τοῦ ἑβδόμου μηνὸς ἐκάθισεν ἡ κιβωτὸς εἰς τὰ ὄρη·
καὶ ἑβδόμῃ καὶ εἰκάδι τοῦ δευτέρου μηνὸς ἔξεισιν v. 14.
ὁ Νῶε ἐκ τῆς κιβωτοῦ, καθ' ἣν ἡμέραν καὶ ὁ κατακλυσμὸς γέγονεν, ὡς ἐνιαυτὸν ἐπιμεῖναι πληρέστατον.

ΚΕΦ. Θ.

Ζητεῖται δὲ διὰ τί μετὰ τὸν κατακλυσμὸν εἶ- Cap. IX. v. 3.
πεν ὁ Θεὸς τῷ Νῶε καὶ τοῖς μετ' αὐτοῦ περὶ τῶν ζώων, ὡς λάχανα χόρτου ἔδωκα ὑμῖν αὐτά, πρὸ τούτου μὴ εἰπών· ἃ τοίνυν παρέλιπε φασὶν ἐν ἀρχῇ, νῦν λέγει, ἐπειδὴ τὰ μετὰ τὸν κατακλυσμὸν ἀνανέωσίς ἐστι τῆς κτίσεως· ἐπεὶ εἰ μὴ ὁ Θεὸς προστετάχει, πῶς ἤσθιεν Ἄβελ; δηλαδὴ γὰρ ἀφ' ὧν ἤσθιεν ἐτίμα Θεὸν, καὶ οὐκ ἂν μὴ ἐσθίων προσήνεγκε· πῶς δὲ καὶ δίκαιος ἦν ἀφ' ὧν οὐ προσέταξε Θεὸς ἐσθίων; τῷ δὲ

Cap. 9. Ἀδὰμ ἔχοντι τὴν ἐκ τοῦ παραδείσου τροφὴν, οὐκ ἦν ἀναγκαία κρεωφαγία· ἔπειτα δύο δύο ἦν κτισθέντα, καὶ ἔτι αὐξῆσαι καὶ πληθυνθῆναι ἔδει κατὰ τὴν τοῦ θεοῦ φωνήν· ὅθεν εὐθὺς ἐξ ἀρχῆς οὐ προστέτακται· καὶ νῦν οὖν εἰ καὶ νόμῳ μήπω ἦν προστεταγμένον ἱερουργεῖν, ἀλλὰ δίκαιος ὢν ὥσπερ Ἄβελ ὁ Νῶε, ἐξ ὧν ἔκαμνε καὶ εἶχεν, ἀπαρχὰς προσῆγε θεῷ· δίκαιον ἡγούμενος τῷ δεδωκότι εὐχαριστικῶς ἀπάρχεσθαι· τὸ δὲ ἀπὸ πάντων εἰρῆσθαι αὐτὸν τῷ θυσιαστηρίῳ προσενεγκεῖν, συνετῶς ἀκούειν δεῖ· ἐκεῖνα γάρ φησὶ πάντα τὰ καὶ μετὰ ταῦτα διὰ νόμου
v. 4. ἀνάγεσθαι προσταχθέντα· πλὴν κρέα ἐν αἵματι τῆς ψυχῆς οὐ φάγεσθε καὶ τὰ ἑξῆς· ψυχὴν νῦν τὴν ζωὴν σημαίνει καὶ τοῦ ἀνθρώπου καὶ τῶν ζώων· ζωὴν δὲ τὴν διὰ τοῦ αἵματος ἐνεργουμένην· πῶς οὖν θηρία ἐκζητεῖ, τὰ μὴ ἀνι-
v. 5. στάμενα; ἀλλὰ γὰρ ἐκζητήσω φησὶν οὐκ εἰς τὴν μέλλουσαν κρίσιν ἀλλὰ διὰ τοῦ νόμου τοῦ μέλλοντος τίθεσθαι· κελεύει γὰρ ἐν τῷ νόμῳ τὸν φονεύοντα τὰ αὐτὰ πάσχειν, ἄνθρωπόν τε καὶ ζῶον· οὕτως οὖν ἐκζητεῖ διὰ τῶν κατὰ νόμον ἐπεξιόντων· ἄλλος δὲ φησὶν, ἀπεμφαίνοντος τοῦ ῥητοῦ, λεκτέον ὅτι θηρία δυνάμεις ἀντικείμεναί εἰσι τῷ ἁμαρτάνουσαν τὴν ψυχὴν ἀποθνήσκειν, ἀφ' ὧν τῆς χειρὸς ἐκζητηθήσεται ὁ θάνατος τοῦ

ἡμαρτηκότος. τρόμον δὲ καὶ φόβον ἐπὶ τοῖς θηρίοις φησὶ, τὸ δεσποτικὸν σημαίνων ἀξίωμα, καὶ τὸ πάντων ταῖς ἐπινοίαις κατακρατεῖν· ἐγχωρεῖ δὲ πρὸς τοὺς δικαίους εἰρῆσθαι τοῦτο οἷς ὑποτάσσεται καὶ τὰ θηρία ὡς Νῶε καὶ Δανιὴλ καὶ Παύλῳ καὶ τοῖς κατ' εἰκόνα φυλάττουσι κατὰ τὸν ἡ ψαλμόν· καὶ οὐδὲν βρῶμα τῷ τοιούτῳ φευκτόν· πάντα γὰρ καθαρὰ τοῖς καθαροῖς, ὁ Παῦλος φησί· καὶ ἐν ταῖς πράξεσιν, ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου· σημειωτέον δὲ φασί τινες ὅτι πλάσας μὲν ἀπὸ γῆς τὰ ζῶα, πᾶσι δέδωκε τοὺς καρποὺς εἰς βρῶσιν· μετὰ δὲ τὸν κατακλυσμὸν, συνεχώρησε τὴν κρεωφαγίαν, προειδὼς ὅτι προσκυνηθήσεται πανταχοῦ τὰ ἄλογα· διὸ προλαβὼν καὶ θυσίαν ἐξ αὐτῶν δέχεται, καὶ θύεσθαι αὐτὰ καὶ ἐσθίεσθαι προστάσσει, ἵνα καταφρονῶμεν αὐτῶν. Cap. 9. v. 2.

Διὰ δὲ τοῦ λέγειν, τὸ αἷμα τῶν ψυχῶν ὑμῶν ἐκζητήσω ἐκ πάντων τῶν θηρίων, τὴν ἀνάστασιν αἰνίττεται καὶ τὴν ἐν αὐτῇ κρίσιν, οὐχ' ὅτι καὶ τὰ ἄλογα μέλλει ἀνίστασθαι καὶ ἀπαιτεῖσθαι ἃ ἔφαγον, ἀλλ' ὅτι κἂν ὑπὸ τῶν θηρίων βρωθῆτε· πάντα γὰρ γῆ γίνεται, καὶ τὰ ἐσθίοντα καὶ τὰ ἐσθιόμενα, ἐξ αὐτῆς ἐκζητήσω, καὶ συνάξω τοῦ ἀνθρώπου τὴν φύσιν· καὶ κάτω δὲ τὴν κατὰ πάντων κρίσιν προαναφωνεῖ ἔνθα πε-

Cap. 9. ρὶ Σοδόμων Ἀβραὰμ διαλέγεται τῷ θεῷ· ἔχεις καὶ ἐν τοῖς ἀριθμοῖς ὅπου φησὶν, ἀπελύθη Ἀαρὼν καὶ προσετέθη πρὸς τοὺς πατέρας· ἡ γὰρ προσθήκη ὑφεστῶτος τοῦ πράγματος γίνεται προσθήκη· καὶ πάλιν ἔνθα λέγεται ἐπ' ἐσχάτων τῶν ἡμερῶν, ὁμολογουμένως συντέλειαν ἡμερῶν τοῦ αἰῶνος τούτου σημαίνει· ἐπεὶ τὸν θαυμαζόμενον Μωϋσέα τὸν δίκαιον τὸν θεοσεβῆ τί πλέον ὠφέλησεν ἡ τοσαύτη φιλία τοῦ θεοῦ, εἰ τοσαύτας θλίψεις ἀφορήτους ὑποστὰς, μηδὲν πλέον ἀποθανὼν ἕξει; μᾶλλον δὲ μὴ δὲ τὸ εἶναι ἔχει; τί δὲ βούλεται αὐτῷ τὸ πρὸς τὸν θεὸν εἰρημένον ἐν τῷ λβ * τῆς ἐξόδου, ἐξάλειψόν με τῆς [βίβλου, ἧς ἔγραψας, εἰ μὴ συγχωρεῖς τῷ λαῷ τὰς ἀνομίας τῆς μοσχοποιίας; ποία βίβλος ἦν γραφεῖσα παρὰ τοῦ θεοῦ τεταγμένον ἔχουσα τὸν Μωϋσέα, καὶ ἐν τίνι τεταγμένον; αἱ γὰρ πλάκες ἐὰν αὐτὰς εἴπωσιν, ἦσαν ὑπὸ Μωϋσέως κλασθεῖσαι· καὶ τὸ αἷμα δὲ τοῦ Ἄβελ βοᾷ πρὸς τὸν θεόν· καὶ τοῦ Ἐνὼχ μετάθεσις ὁμολογουμένως τὴν ἐλπίδα τῆς ἀναστάσεως ἐμφαίνει· καὶ τὸ ἐν ὅλοις μ ἔτεσι μὴ ἐκτριβῆναι τὰ ἱμάτια τοῦ λαοῦ καὶ τοὺς πόδας αὐτῶν μὴ τυλωθῆναι, προκατήχησις ἦν τῆς μελλούσης ἀσφαλείας· καὶ τὸ ἐν τῷ δευτερονομίῳ πάλιν, ἵνα κακώσῃ σε καὶ ἐκπειράσῃ σε εὖ σε ποιῆσαι ἐπ' ἐσχά-

* Cod. β.

των σου, τὴν ἀνάστασιν αἰνίττεται· εἰ γὰρ ἐν Cap. 9.
τῇ ζωῇ ταύτῃ ἡ ἀντίδοσις, ποία μακαριότης αὕτη; καταθλιβέντα πάσας τὰς ἡμέρας τῆς ζωῆς, περὶ αὐτὸ τὸ γῆρας, ἐὰν καὶ γηράσῃ τὶς, ἢ καὶ πρὸ τοῦ τέλους ἁπλῶς ὀλίγον χρόνον καταθυμίως ζήσαντα, ταχέως ἀφαιρεθῆναι· τοῦτο γὰρ οὐκ ἀπόλαυσις ἀλλὰ κόλασις.

Τὸ δὲ ὁ ἐκχέων αἷμα ἀνθρώπου ἀντὶ τοῦ v. 6.
αἵματος αὐτοῦ ἐκχυθήσεται, τὴν ἐνταῦθα τῶν δικαστῶν κρίσιν νομοθετεῖ· καὶ ὁ σωτὴρ ἐν τῷ κατὰ Ματθαῖον· πάντες οἱ λαβόντες μάχαιραν, μαχαίρᾳ ἀναιροῦνται· πλὴν κρέας ἐν τῷ τῆς ψυχῆς αἵματι οὐ φάγεσθε· ὠμόβρωτα κωλύει φαγεῖν· ἵνα μὴ τὰ αὐτὰ τοῖς θηρίοις ὑπομένοντες, καὶ κατ' ἀλλήλων ἐκ τούτου χωρήσωμεν. Ὅτι ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου, καὶ τὰ ἑξῆς· καθὰ φησὶν ὁ Δαβὶδ, καὶ ἐμνήσθη ὅτι σάρξ εἰσι, πνεῦμα ἐκπορευόμενον καὶ οὐκ ἐπιστρέφον, οὐκ ἐμοῦ οὕτω κτίσαντος ἀλλὰ τῆς παρακοῆς εἰς τοῦτο καταγαγούσης τὴν θνητὴν φύσιν· ἄλλος δέ τις φησὶν ὅτι προοίδα ὡς ἡ νεότης τοῖς ἐσομένοις εὐόλισθος ἔσται οὐκ ἔτι πάσας τὰς ἡμέρας ὡς πρὸ τοῦ κατακλυσμοῦ· μὴ οὖν δείσητε, φησὶ· διὰ τοῦτο γὰρ οὐκ ἔτι ἐπάξω ὑμῖν ἀφανισμὸν παντελῆ· ὡς νέμων βραχεῖάν τινα συγγνώμην τοῖς νέοις διὰ τὸ τῆς ἡλικίας

Cap. 9. εὐόλισθον· ἄλλος δὲ φησὶν, ὅτι οὐ φύσιν αἰτιᾶται, δῆλον ἐκ τοῦ λέγειν, ἐκ νεότητος ἀλλ' οὐκ ἀπὸ γενέσεως· ἀλλὰ διὰ τὴν τῆς ἐπιθυμίας ἄγνοιαν τῆς νεοτερικῆς διὰ τῆς ἐπισπορᾶς τοῦ ἐχθροῦ· ὡς καὶ ἐκκλησιαστὴς, ἡ νεότης καὶ ἡ ἄγνοια ματαιότης· δηλῶν ὅτι ἡ ἄγνοια τὴν Ἀδὰμ φύσιν τοῦ λογικοῦ διὰ τῆς ἐπιθυμίας δελεάζει πρὸς ἁμαρτίαν.

Commentarius redit ad superiora. Καθόλου δὲ περὶ τοῦ κατακλυσμοῦ τάδε τινὲς ἀπεφήναντο, ὡς ἔστι καὶ ἐκ τούτου μαθεῖν τὴν περὶ ἡμᾶς τοῦ θεοῦ κηδεμονίαν, οὐ γὰρ ἀπροσδοκήτως ἐπήνεγκε τὰ δεινὰ, ἀλλὰ καὶ προεῖπε, καὶ οὐ πρὸ χρόνου βραχέος, ἀλλὰ πρὸ εἴκοσι καὶ ἑκατὸν ἐτῶν· ὡς δ' ἂν μὴ διὰ τὸ μῆκος τῆς προῤῥήσεως ἀναπέσωσιν, ἡ κιβωτὸς ἐν ὀφθαλμοῖς γενομένη, τοῦ θεοῦ τὴν ἀπειλὴν ἀνεκήρυττεν· μὴ ἤθελε θεὸς ἐπαγαγεῖν τὸν κατακλυσμὸν, ὡς οὐδὲ τὴν γέενναν, ἀλλ' ἡμεῖς ἀναγκάζομεν τὴν τοιαύτην ἰατρείαν ἐπενεχθῆναι· οἵτε γὰρ κατακλυσθέντες περαιτέρω τῆς κακίας προελθεῖν ἐκωλύθησαν, οἵ τε μετ' αὐτοὺς μειζόνως ἐκέρδανον, ἀφανισθείσης ἐκ μέσου τῆς τῶν κακῶν ὑποθέσεως· οἱ γὰρ ἀφ' ἑαυτῶν ἀεὶ κακίαν ἐπινοοῦντες, τινὲς ἂν ἐγένοντο μετὰ τοῦ παραδείγματος; ὅτι δὲ τῆς κακίας κολαζομένης ἡ ἀρετὴ διασώζεται, Νῶε δεδήλωκεν, ὃς λέγε-

ται χάριν εὑρεῖν παρὰ τῷ θεῷ, ὡς τῶν ἄλλων δι' ἀχαριστίαν ἀπολωλότων· οὐ γὰρ ὡς χάριν λαβὼν ἐκ θεοῦ, κοινὸν γὰρ τοῦτο πάντων ἀνθρώπων, ἀλλ' ἐπεὶ μόνος εὐχάριστος διεφάνη· ἔδει δὲ καὶ χάριτος ἀξιωθῆναι θείας τὸν τοῦ νέου γένους κατάρξαντα: μεγίστης γὰρ χάριτος ἀρχὴν καὶ τέλος ἀνθρώπων γενέσθαι· διὸ καὶ ἀπὸ τῶν ἀρετῶν αὐτὸν γενεαλογεῖ· τοῦ γὰρ σπουδαίου τὸ πρὸς ἀλήθειαν γένος ἐστὶν ἀρετή· πρὸς ὃν καὶ φησὶ, καιρὸς παντὸς ἀνθρώπου ἥκει ἐναντίον ἐμοῦ· ὄντως γὰρ οὐδὲν ὡς ἀδικία πρὸς τὸν θεὸν ἐναντίον. Cap. 9.

Ἐπάγει δὲ καὶ τῆς ἐναντιώσεως αἴτιον τὸ πληθῆναι τὴν γῆν ἀδικίας· καὶ ἐπεὶ θεὸς ὁ καιρὸς παρὰ τοῖς φαύλοις νομίζεται, δείκνυσιν ὡς καιρῶν καὶ χρόνων αὐτὸς ποιητὴς, καὶ τούτοις ὅρον ἐντίθησιν· ὥστε καὶ ἀλλαχοῦ φησιν· ἀφέστηκεν ὁ καιρὸς ἀπ' αὐτῶν, ὁ δὲ κύριος ἐν ἡμῖν· τὸ δὲ καιρὸς ἥκει, σημαίνει τὴν οἱονεὶ συμπλήρωσιν τῶν ἡμαρτημένων, μεθ' ἣν ὁ τῆς δίκης καιρός· κατὰ τοῦτο γὰρ καὶ τὸ οὔπω ἀναπεπλήρωνται αἱ ἀνομίαι τῶν Ἀμοῤῥαίων, τουτέστιν οὔπω τοσαῦτα ἥμαρτον ὡς ἀπογνωσθῆναι αὐτῶν τὴν μετάνοιαν· οὐ ταυτὸν δὲ ἀναπληρῶσθαι ἄνθρωπον ἁμαρτιῶν καὶ ὅλον λαόν· ἐν μὲν γὰρ τοῖς πολλοῖς, πάσας ἐγχωρεῖ τὰς ἁμαρτίας εὐ-

Cap. 9. ρίσκεσθαι, περὶ δὲ ἕνα ἄνθρωπον τὰς κακίας ἐναντίας οὔσας ἀλλήλαις ἀδύνατον· πῶς γὰρ αὐτὸς ἀσελγὴς καὶ ἠλίθιος; ἢ δειλὸς καὶ θρασὺς; ὧν τὰ μὲν ὑπερβολῆς, τὰ δὲ ἐνδείας καθέστηκε· δυνατὸν δὲ πάσας εὑρεθῆναι τὰς ἀρετὰς τὰς ἀντακολουθούσας ἀλλήλαις· τὸ οὖν καιρὸς παντὸς ἀνθρώπου, ὅτι οὐδεὶς τοιαῦτα ἁμαρτήματα ἔχει ὡς συγχωρηθῆναι αὐτῷ· παντὸς δὲ ὡς ἐπὶ τὸ πλεῖστον φησίν· ἦσαν γὰρ ἡ ἐν τῇ κιβωτῷ· ἴσως δὲ καὶ ἄνθρωπον νῦν φησὶν ἔνθα ἔρις καὶ ζῆλος κατὰ τὸν ἀπόστολον· οἷς οὐχ' ὑπόκειται Νῶε ὑπερβαίνων ἐν τούτῳ τὴν ἀνθρώπου κατάστασιν· δύναται δὲ καὶ τὸ ἐναντίον ἐμοῦ, ἐπειδὴ μηδενὸς γεννητοῦ ὑπάρχει τὸ γνῶναι καιρὸν καθ' ὃν ἄξια πεποίηκεν ὅ δε τις τοῦ λοιπὸν ἀπογνωσθῆναι, διὸ εἴρηται ἐναντίον ἐμοῦ.

Φησὶ δὲ καὶ τὸ ἐπλήσθη ἡ γῆ ἀδικίας ἀπ' αὐτῶν· οὐ γὰρ ἄλλων ἁμαρτανόντων, ἐπ' αὐτοὺς ἡ τιμωρία ἔρχεται· δῆλον δὲ ἐκ τούτου ὡς οὐχ' εἱμαρμένη αὐτοῖς ἐπήνεγκε τὸν τοιοῦτον θάνατον· ἐπεὶ γὰρ ἐπλήσθη ἡ γῆ, φησὶν, ἀδικίας ἀπ' αὐτῶν, ὁ καιρὸς ἥκει, ὅσπερ οὐκ ἂν ἐνειστήκει εἰ μὴ ἡμάρτανον· εἴσελθε δὲ φησὶ σὺ καὶ πᾶς ὁ οἶκος σου εἰς τὴν κιβωτὸν, ὅτι σὲ εἶδον δίκαιον ἐναντίον ἐμοῦ ἐν τῇ γενεᾷ ταύτῃ· ὅπερ ἐναργὴς πίστις, ὅτι δὲ δι' ἕνα δίκαιον ἄν-

δρα καὶ ὅσιον πολλοὶ ἄνθρωποι σώζονται· ἴσως Cap. 9.
δὲ καὶ ἐπαινεῖ τὸν δίκαιον ὡς μὴ μόνον ἑαυτῷ περιπεποιηκότα τὴν ἀρετὴν, ἀλλὰ καὶ παντὶ τῷ οἴκῳ· δι' ἣν αἰτίαν καὶ σωτηρίας ἀξιοῦται· καλῶς δὲ καὶ τὸ σὲ εἶδον δίκαιον ἐνώπιον ἐμοῦ· ἑτέρως γὰρ ἄνθρωποι δοκιμάζουσι τοὺς βίους, καὶ ἑτέρως τὸ θεῖον· οἱ μὲν ἐκ τῶν φανερῶν, τὸ δὲ ἐκ τῶν κατὰ ψυχὴν ἀοράτων λογισμῶν· καὶ τὸ ἐν τῇ γενεᾷ ταύτῃ, ἵνα μήτε τὰς πρότερον καταχρίνειν δοκῇ, μήτε τὰς αὖθις ἀπογινώσκειν· καὶ ὡς τῶν ἄλλων τῶν ἐπ' αὐτοῦ εἰς ἄμετρον ἐπιδεδωκότων κακίαν, πρὸς ἐκείνους τε καί τί μέγα τὸ πρὸς τοὺς ἀπεγνωσμένους κριθῆναι; μή ποτε οὖν ὡς τῶν ἐν τῇ κιβωτῷ . . . τέλειος ἦν; εἰκὸς γὰρ εἰ δικαίους ἐκ τῆς πρὸς αὐτὸν συνηθείας· λεχθείη δ' ἂν . . . τοῦ δικαίου ἡ ὁμοιοτροπία ἐστὶν· ὥσπερ εἰπὼν, τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ κυρίου, ἑξῆς ἐπήγαγεν, αὕτη ἡ γενεὰ ζητούντων αὐτὸν· ᾧ ἐναντίον τὸ, οἱ υἱοὶ τοῦ αἰῶνος τούτου, φρονιμώτεροί εἰσι τῶν υἱῶν τοῦ φωτὸς ἐν τῇ γενεᾷ αὐτῶν.

Τὸ δὲ τέλειον ἀκουστέον ὡς ἐν ἀνθρώποις· ὅπερ ὁ Παῦλος ἐκ μέρους φησὶ· καὶ ὅμως περὶ ἑαυτοῦ καὶ τῶν ὁμοίων φησὶν· ὅσοι οὖν τέλειοι, τοῦτο φρονοῦμεν, καὶ σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις· καλῶς δὲ τῆς εὐαρεστήσεως τοῦ θεοῦ

Cap. 9. προτάττει τὸ δίκαιον καὶ τὸ τέλειον· οὐ ψεκτῶς δὲ νῦν τὸ ἄνθρωπος ἐπὶ τοῦ Νῶε λεγόμενον, ἀλλ' ὅτι τὸ κατ' εἰκόνα διέσωζεν· ὅθεν οὐχ ἁπλῶς εὐαρεστεῖ· φθορὰ δὲ γῆς, τῶν χοϊκῶν ἡ ἁμαρτία τῶν ὅσοι χρηματίζουσι· τοσαύτη δὲ ἦν, ὡς καὶ θεὸν αὐτὴν ἰδεῖν τὸν καὶ μεγάλα παρορῶντα πταίσματα· οὐ γὰρ ὀργὴν ἐπάγει καθ' ἑκάστην ἡμέραν, ἀλλ' ἐπειδὰν τῇ ἀμετρίᾳ τῶν ἁμαρτημάτων ἀνέλθῃ πρὸς αὐτὸν ἡ κραυγὴ ὡς φησὶν Ἰωνᾶς, καὶ περὶ Σοδόμων ὁ Μωϋσῆς, τότε λοιπὸν ἐπ' ἐκδικίᾳ ὁρᾷ, οὐ πρότερον ἀγνοῶν· φθορὰ δὲ λέγεται καὶ ἡ ἁμαρτία καὶ ἡ κόλασις· φαίνεται δὲ ὅτι ἄνθρωποι τὸν οἶκον μόνοι τοῦ Νῶε συνεπλήρουν ὀκτώ· θεράποντα γὰρ οὐκ ἐπήγοντο, ἢ διὰ τὸ μήπω καταδεδουλῶσθαι ἀνθρώπους, ἢ διὰ τὸ ἀκτήμονας εἶναι τῶν τοιούτων· διττὸς δὲ ὁ οἶκος, ὥσπερ οὖν καὶ ἡ πόλις, ἢ τὸ οἰκοδόμημα, ἢ τὸ ἐν αὐτῷ ἄθροισμα· γενεὰν δὲ τοὺς σὺν αὐτῷ κέκληκεν ἅτε τῷ αὐτῷ χαρακτῆρι χρωμένους ὑπὲρ οὓς αὐτὸς εὑρέθη ἐναντίον τοῦ θεοῦ δίκαιος, παντὸς δικαίου ἐναντίον τοῦ θεοῦ δικαίου ὄντος· οὕτω δὲ μέγα ἐστὶ τὸ ἐναντίον τοῦ θεοῦ εἶναι δίκαιον, ὡς λέγεσθαι· ἄστρα δὲ οὐ καθαρὰ ἐνώπιον αὐτοῦ· ἀλλὰ καὶ τὸ οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν· τὸ μέγεθος οὖν τῆς ἀρετῆς τοῦ Νῶε διαδείκνυται ἐκ τοῦ ἐναντίου τοῦ θεοῦ εὑρῆσθαι δίκαιον.

Μεθ' ἑπτὰ δὲ τοῦ εἰσελθεῖν ἡμέρας ὁ κατακλυσμὸς γίνεται, τοῦ φιλανθρώπου θεοῦ διδόντος αὐτοῖς ἀναχώρησιν εἰς μετάνοιαν ἁμαρτημάτων, ὁρῶσιν αὐτόχρημα πλήρη τὴν κιβωτὸν ἀντίμιμον γῆς· καὶ τὸ ἐπιεικὲς δείκνυται τοῦ θεοῦ, τὴν πολυετῆ μοχθηρίαν τῶν ἀνθρώπων ἐπιλυομένου τοῖς μετανοοῦσιν ἡμέραις ὀλίγαις· ἔστι δὲ ὁ ἑπτὰ ἀριθμὸς ὑπόμνημα τῆς τοῦ κόσμου γενέσεως· ἐναργῶς δηλοῦντος τοῦ θεοῦ ὅτι αὐτός εἰμι καὶ τότε κοσμοποιῶν καὶ τὰ μὴ ὄντα ἄγων εἰς τὸ εἶναι, καὶ τὰ νῦν ὄντα διαφθείρων· ἀλλὰ τοῦ μὲν, αἴτιον ἀγαθότης ἐμή· τοῦ δὲ, τῶν εὐεργετηθέντων ἀσέβεια· πᾶσαν δὲ τὴν ἀνάστασιν οὐκ ἀπὸ τῆς γῆς ἐξαλείψειν, ἀλλ' ἀπὸ προσώπου λέγει τῆς γῆς, τουτέστι τῆς ἐπιφανείας, ἵνα ἐν τῷ βάθει ἡ ζωτικὴ δύναμις τῶν σπερμάτων ὅλων· ἀπαλείψω δὲ φησὶν, ἐπεὶ τῶν ἀπαλειφομένων τὰ γράμματα μὲν ἀφανίζεται, αἱ δέλτοι δὲ διαμένουσιν· ὅθεν ἐκτρίβων τὴν ἀσεβῆ γενεὰν, τῆς οὐσίας τοῦ γένους ἐφείσατο· διὸ καὶ τὴν ἀνάστασιν φησίν· ἀναστάσει δὲ ἀντίπαλον καθαίρεσις· τὸ δὲ καθαιρεθὲν οὐκ εἰς ἅπαν ἀπόλλυται· ἔπαινος δὲ τοῦ δικαίου τὸ πάντα ποιῆσαι τὰ προσταχθέντα· δεύτερον τὸ ἐντέλλεσθαι μᾶλλον ἐθέλειν ἢ κελεύειν αὐτῷ τὸν θεόν· ἐντέλλονται γὰρ μὲν φίλοι, κελεύουσι δὲ δεσπό- Cap. 9.

Cap. 9. ται· ὑπερβάλλει γὰρ ἐπὶ Θεοῦ τὸ πρῶτον, εἰ καὶ μέγα τὸ δεύτερον.

Πλησίον δὲ τοῦ τῆς ἰσημερίας καιροῦ γέγονεν ὁ κατακλυσμὸς ἐν τῇ πάντων αὐξήσει καὶ γενέσει τῶν ζώων· φοβερωτέραν τὴν ἀπειλὴν ἐπάγοντος τοῦ θεοῦ τῆς ἀσεβείας εἰς ἔλεγχον, τότε δὲ καὶ γεγονέναι τὴν δημιουργίαν εἰκὸς καὶ πεπλάσθαι τὸν ἄνθρωπον· τῷ οὖν Ἀδὰμ ἐξομοιοῦται καὶ Νῶε, γενεᾶς ἀνθρώπων δευτέρας ἀρχόμενος· καλῶς δὲ καὶ σάρκα κινουμένην λέγει τὴν ἐν φθορᾷ· κινεῖ γὰρ τὰς ἡδονὰς ἡ σὰρξ, καὶ κινεῖται ὑπὸ τῶν ἡδονῶν, ἥτις κίνησις αἰτία γίνεται φθορᾶς ταῖς ψυχαῖς, ὡς ἡ ἐγκράτεια σωτηρίας· πῶς δὲ τοῦ Νῶε μνησθεὶς ὁ θεὸς καὶ κτηνῶν καὶ θηρίων, γυναικὸς ἢ τέκνων οὐ μέμνηται; ὅπου συμφωνία πάντων, ὀνομάτων οὐ χρεία πολλῶν· σὺν δὲ τῷ πρώτῳ καὶ τὸν οἶκον ἀνάγκη συνυπακούεσθαι· τοιγαροῦν τῶν συνοικούντων ὡς δεῖ τὴν συμφωνίαν ὁ προφήτης δηλῶν, ἀπίδετε φησὶν εἰς Ἀβραὰμ τὸν πατέρα ὑμῶν καὶ εἰς Σαῤῥαν τὴν ὠδίνουσαν ὑμᾶς. Καὶ ἐπήγαγε φησὶ πνεῦμα εἰς τὴν γῆν καὶ κεκόπακε τὸ ὕδωρ· οὐκ ἀνέμῳ ὕδωρ μειοῦται, κυμαίνει δὲ καὶ ταράττεται· πάλαι γὰρ ἂν τὰ μέγιστα τῶν πελαγῶν ἐξανάλωτο· πνεῦμα τοίνυν τὸ θεῖον φησὶν ᾧ δὴ πάντα καὶ γίνεται καὶ λωφᾷ.

οὐκ ἦν γὰρ εὔλογον ὕδωρ τοσοῦτον ἀνέμῳ παυθῆναι, ἀοράτῳ δὲ καὶ θείᾳ δυνάμει· δῆλον δέ ἐστιν ὡς ταῖς μὲν πρώταις μ̄ ἡμέραις ἄλεκτος ἡ τῆς ῥύμης τῶν ὑδάτων ὑπῆρχε φορά· ταῖς δὲ ἄλλαις ρ̄ καὶ ν̄ ἔχουσα πράως οὐκ ἔτι πρὸς αὔξησιν, πρὸς διαμονὴν δὲ τῆς ἀνακαλύψεως καὶ τοῦ ὕψους συνεβάλλετο· μεθ' ἡμέρας γὰρ φησὶν ρ̄ν̄ ἐπικαλυφθῆναι τάς τε πηγὰς καὶ τοὺς καταράκτας· ἐνήργουν ἄρα πρὸ τῆς ἐπισχέσεως· μετὰ ν̄ δὲ καὶ ρ̄ ἡμέρας ἠλαττοῦτο ὕδωρ· ἄρα τὰς προειρημένας ἐν αἷς ὑψοῦτο τὸ ὕδωρ, ἢ μετὰ τοσαύσας ἑτέρας, οὐκ εὔδηλον· ἡ μὲν οὖν ἀρχὴ τοῦ κατακλυσμοῦ γέγονεν ἑβδόμῃ καὶ εἰκάδι τῆς ἐαρινῆς ἰσημερίας, ἡ δὲ μείωσις ἑβδόμῳ μετὰ ταῦτα μηνὶ τῇ μετοπωρινῇ ἰσημερίᾳ, ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνός· οὗτος γὰρ πέρας μὲν τῆς πρώτης ἰσημερίας, ἀρχὴ δὲ τῆς δευτέρας, ἐν ᾧ καὶ τοῦ κόσμου ἡ γένεσις. Cap. 9.

Σύμβολα δὲ κακίας καὶ ἀρετῆς ὅ τε κόραξ καὶ ἡ περιστερά· εἰ γὰρ αὕτη δευτέρας ἐξελθοῦσα οὐχ' εὗρεν ἀνάπαυσιν, πῶς ὁ κόραξ; οὐδὲ γὰρ τὸ ζῶον ἐστὶν ὑδρόβιον· ἀλλὰ γὰρ ἡ κακία τοῖς κυμαίνουσιν ἐφήδεται πάθεσιν, ἡ δὲ ἀρετὴ τούτων ἀποπηδᾷ, πρὸς τὴν πρώτην δυσχέρανασα θέαν, ἀνάπαυσιν καὶ βάσιν ἐν τούτοις οὐκ ἔχουσα· εὐλαβῶς δὲ Νῶε καὶ παυσαμένου

Cap. 9. τοῦ ὕδατος πρόσταξιν ἀναμένει θεοῦ πρὸς τὴν ἔξοδον, ὥσπερ οὖν ὑπὸ ταύτης εἰσήρχετο· ἐλέγομεν δὲ ὡς Χριστός ἐστιν ὁ διὰ Νῶε τυπούμενος ὄντως ὢν δικαιοσύνη τε καὶ ἀνάπαυσις ἡμετέρα, οὐκ ἐξ ἔργων δικαιοσύνης ἃ ἐποιήσαμεν, ἀλλὰ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος λέγων δεῦτε πάντες οἱ κοπιῶντες καὶ τὰ ἑξῆς, ῥυόμενος ἡμᾶς ἀπὸ τῆς γῆς ἧς κατηράσατο κύριος, γενόμενος ὑπὲρ ὑμῶν κατάρα καὶ ποιήσας πάντα καινά· καὶ ὥσπερ πρῶτον οἱ ἀπὸ τοῦ Ἐνὼς ὃς ἐκλήθη θεὸς κηδεύσαντες τοῖς ἀνθρώποις γεγόνασιν ἑτερότροποι, οὕτως οἱ ἐξ Ἰσραὴλ τὴν μὲν ἀρχὴν ἀξιοπρεποῦς ἦσαν πολιτείας, ὕστερον δὲ τοῖς ὁμόροις ἀναμιχθέντες, τῆς αὐτῶν ἐνεπίμπλαντο δυσσεβείας, γυναιξὶ μὲν τούτων ἐπιμιγνύμενοι, ἀντὶ δὲ τῆς τῶν τικτομένων περιτομῆς καὶ τῶν ἐπ' αὐτῇ θυσιῶν, τοῖς δαίμοσι τὰ ἐκ τῶν ἡγιασμένων λαῶν ἐπιφέροντες· καὶ τῶν ἐπὶ γῆς ἁπάντων ὀλέθρῳ κατεγνωσμένων ὑπὸ θεοῦ, ἵνα μὴ τὸ πᾶν ἀπόληται γένος, τὴν ὡς ἐν πίστει δικαίωσιν καὶ τὴν ὕδατος ἄφεσιν ἐν Χριστῷ πᾶσι χαρίζεται, ὃς κιβωτὸν ἡμῖν τὴν ἐκκλησίαν ἐπήξατο, εἰς ἣν εἰσπηδῶντες τὸν ὄλεθρον διαφεύγομεν· ὥσπερ ὀκτὼ ψυχαὶ, καθὰ φησὶν ὁ Πέτρος, ἐσώθησαν ἐπὶ Νῶε δι' ὕδατος· ὃ καὶ ὑμᾶς ἀντίτυπον νῦν σώζει βάπτισμα.

Τὸ τόξον μου τίθημι ἐν τῇ νεφέλῃ, καὶ ἔσ- Cap. 9. v. 13.
ται εἰς σημεῖον διαθήκης· ζητητέον πότερον φυσικόν ἐστιν ὡς καὶ ἡ ὁρωμένη ἶρις, ἢ τότε γίνεται ὅτε Θεὸς διατίθεται τῷ Νῶε μηκέτι κατακλυσμὸν ἐπαγαγεῖν ἐπαγγελλόμενος· καὶ οἱ μὲν τὴν ἶριν φασὶν οὐκ ἀπὸ τῆς φύσεως, ἀλλ' ἀπὸ τοῦ σχήματος, κυκλοτερὴς γάρ· φησὶν οὖν ὅτι οὐδέποτε οὕτως ἔσται οἰκουμενικὸς κατακλυσμὸς ὡς μὴ τὸν ἥλιον ἔχειν ἐπιβάλλειν τοῖς νέφεσιν ὑγροῖς οὖσι τὰς ἀκτίνας καὶ τὴν ἶριν ἀποτελεῖν· ἀλλὰ κἂν ὁλόκληρον ἔθνος ἢ δεύτερον ἢ καὶ τρίτον κατακλυσθῇ, ἀλλὰ τὸ ἐπέκεινα τοῦ ἀέρος καθαρεῦον νεφῶν καὶ διαπέμπον τὰς ἀκτίνας εἰς τὴν πυκνότητα τῶν νεφῶν ἀποτελέσει τὴν ἶριν· ζητητέον δὲ τὸ σημεῖον οὐχ' ὅπου πάντως ὁ ὑετὸς, καὶ γὰρ ἐν εἴκοσι πολλάκις ἡμέραις ἶρις οὐκ ἐφάνη διὰ τὴν ὄμβρων συνέχειαν, ἐν ἄλλαις δὲ χώραις ἔνθα τῶν ὄμβρων ἡ χαύνωσις· δεῖ οὖν τινῶν κατακλυζομένων, ἀλλαχοῦ χαύνωσιν εἶναι, καὶ φανῆναι τὴν ἶριν, ὥσπερ σημεῖον τοῦ μὴ πανταχοῦ γίνεσθαι τὸν κατακλυσμόν.

Ἦν μὲν οὖν καὶ πρὸ τοῦ κατακλυσμοῦ ἶρις δι' αὐτὸ τοῦτο ὅτι μὴ καθολικὸς ἐγεγόνει κατακλυσμός· ἐν τούτῳ γὰρ οὐ γεγόνει ἶρις τοῦ παντὸς νεφωθέντος ἀέρος· ἐπαγγέλλεται δὲ μη-

Cap. 9. κέτι τοῦτον γενέσθαι· καὶ μὴν φασί τινες σημεῖον ἡ γραφὴ, ξένον ἀεί τι πρᾶγμα σημαίνει· εἰ δὲ ἦν καὶ πρὸ τούτου, πῶς ξένον; ὅπέρ ἐστι ψευδές· πῶς γὰρ ἐν τῇ ἐξόδῳ λέγει ὁ Θεὸς Μωϋσεῖ, καὶ τοῦτό σοι σημεῖον ἔσται ὅτι ἔσομαι μετὰ σοῦ; τὸν δὲ Θεὸν εἶναι μετὰ ἀνθρώπων καὶ μετὰ τοῦ Μωϋσέως, οὐ ξένον· τινὲς δὲ φασὶ μή ποτε παρὰ τὴν ἶριν ἕτερα ἄττα μηνύει, τουτέστιν ἄνεσιν καὶ ἐπίτασιν τῶν ἐπιτείων; μήτε τῆς ἀνέσεως εἰς ἔκλυσιν ὑφιεμένης παντελῆ καὶ ἀναρμοστίαν, μήτε τῆς ἐπιτάσεως ἄχρι ῥήξεως ἐπιτεινομένης, ἀλλὰ μέτροις ὡρισμένοις ἑκατέρας δυνάμεως σταθμηθείσης· ὁ γὰρ μέγας κατακλυσμὸς ῥήξει γέγονεν, ὡς καὶ αὐτὸς φησὶν, ἐῤῥάγησαν αἱ πηγαὶ τῆς ἀβύσσου, ἀλλ' οὐκ ἐπιτάσει ποσῇ τινι· ἄλλως τε φασὶν οὐκ ἔστιν ὅπλον τὸ τόξον ἀλλ' ὄργανον ὅπλου βέλους τιτρώσκοντος ὅπερ καθικνεῖται τοῦ πόῤῥω, τοῦ πλησίον ἀπαθοῦς διαμένοντος· οὕτως οὖν φησὶν οὐ πάντες κατακλυσθήσονται, κᾂν τοῦτό τινας ὑπομένειν συμβῇ· τὸ οὖν τόξον συμβολικῶς Θεοῦ δύναμίς ἐστι ἀόρατος, ἑκάτερον κυβερνῶσα καὶ τὴν ἐπίτασιν καὶ ἄνεσιν, τῷ ἀέρι ἐκ τοῦ Θεοῦ ἐνυπάρχουσα.

v. 18. sq. Ἦσαν δὲ οἱ υἱοὶ Νῶε οἱ ἐξελθόντες ἐκ τῆς κιβωτοῦ, Σὴμ, Χὰμ, Ἰάφεθ· Χὰμ ἦν πατὴρ

Χαναάν· τρεῖς οὗτοί εἰσιν υἱοὶ Νῶε· ἐχρῆν ἢ Cap. 9. v. 19.
σιωπῆσαι νῦν τὸν Χαναὰν ἢ καὶ τῶν ἄλλων τοὺς παῖδας εἰπεῖν· καὶ φασὶν ὡς ὁ Χαναὰν καὶ αὐτὸς ἀσεβὴς ἐγένετο· τὴν τοῦ υἱοῦ τοίνυν ὁμοιότητα πρὸς τὸν πατέρα τὸ πνεῦμα δηλοῦν, τρόπον τινὰ τῆς εὐσεβείας τῶν ἀδελφῶν τὸν Χὰμ ἀπαλλοτριοῖ· εἰ γὰρ καὶ πάντες υἱοὶ Νῶε, ἀλλ' οὐχ' υἱὸς οὗτος τῷ τρόπῳ ἀλλὰ τοῦ ὁμοίου παιδὸς πατήρ· διὸ καὶ ἀδιαφορεῖ τὰ τῆς σωματικῆς, μιᾷ ψυχῇ χρωμένων ἀμφοτέρων· καὶ παράδοσίν τινα μετ' ἀποδείξεως ἐπιφέρουσιν, ὡς ἄρα Χαναὰν πρότερον εἶδε τὴν ἀσχημοσύνην τοῦ πατρὸς ἤτοι τοῦ πάππου· καὶ ἀνήγγειλεν αὐτοῦ τῷ πατρὶ μόνῳ καταμωκώμενος, ὥσπερ τοῦ γέροντος· ὁ δὲ δέον ἐπιπλῆξαι καὶ μὴ προσελθεῖν ἀσεβῶς πρὸς τὸ ἰδεῖν, ἀνήγγειλε τοῖς ἀδελφοῖς· τίς ἡ τούτων ἀπόδειξις; ἐξυπνίσθη γάρ φησιν Νῶε ἀπὸ τοῦ ὕπνου αὐτοῦ, καὶ ἔγνω ὅσα ἐποίησεν ὁ υἱὸς αὐτοῦ ὁ μικροτέρος· καί τοι Χὰμ μικρότερος οὐκ ἦν υἱὸς ἀλλὰ δεύτερος· ἀλλ' ἐπειδὴ καὶ ἐγγόνους υἱοὺς ἀεὶ λέγουσιν οἱ πάπποι, τὸν βραχύτατον τῶν ἐγγόνων τὸν Χαναὰν οὕτως ἐκάλεσεν· ὅθεν εὐθέως ἐπήνεγκεν, ἐπικατάρατος Χαναὰν καὶ τὰ ἑξῆς· τινὲς δὲ φασὶν ὅτι κυρίως ὁ νεώτερος εἶπε περὶ τοῦ Χάμ· ὁ γὰρ νεώτατος ἦν ὁ Ἰάφεθ.

Cap. 9. Καὶ πῶς Χὰμ καὶ αὐτὸς ὢν ἀσεβὴς οὐ τῆς αὐτῆς μετέσχε κατάρας; ὅτι εἰ ἦν αὐτῷ λελεγμένον δοῦλος δούλων ἔσται τοῖς ἀδελφοῖς αὐτοῦ, τῆς δουλείας μετεῖχον οἱ ἀδελφοὶ αὐτοῦ, ὡς οἱ τοῦ Χαναὰν ἀδελφοὶ δοῦλοι ἐγένοντο κατὰ τὴν κατάραν, οἷς ἐδούλευσε Χαναάν· τινὲς δὲ λέγουσιν ὡς τὸν Χὰμ ἐκάλεσε Χαναὰν διὰ τοὺς ἐξ αὐτοῦ Χαναναίους, οἳ καὶ τῆς δίκης αὐτῷ συμμεθέξειν ἤμελλον· ἄλλοι δὲ φασὶν ὡς ὁ μὲν Χαναὰν ἔλαβε τὴν κατάραν οὐκ ὢν ἀλλότριος τῆς πατρικῆς προαιρέσεως· ὁ δὲ Χὰμ εἰς πατέρα ἁμαρτήσας, εἰς υἱὸν κατηράσθη, ἄξιον ὄντα καὶ ἀπὸ τῶν ἰδίων κακῶν τῆς κατάρας· ἀλλὰ καὶ μειζόνως ἤλγει διὰ τοῦ παιδὸς τιμωρούμενος· μείζω γὰρ ὧν πάσχομεν, τὰ τῶν παίδων ἐστὶν εἰς συμφοράν· καὶ μάλιστα ἡνίκα γινώσκομεν ὡς ἀρχηγοὶ καὶ διδάσκαλοι τῶν κακῶν αὐτοῖς βουλευμάτων γενόναμεν· καὶ ἄλλως δὲ Χὰμ προηγουμένως οὐκ ἐδέξατο τὴν κατάραν, εὐλογηθεὶς ἅπαξ ὑπὸ θεοῦ σὺν τοῖς ἀδελφοῖς· καὶ Ἀδὰμ γὰρ τὸ τοῦ θεοῦ ἔχων ἐμφύσημα οὐκ ἤκουσεν ἐπικατάρατος σὺ ὥσπερ ὁ Κάϊν ἀκήκοεν· εἰ δὲ μνησθεὶς τετάρτου τοῦ Χαναὰν ἐπήνεγκε, τρεῖς οὗτοι υἱοὶ τοῦ Νῶε, δεόν, φασὶν, εἰπεῖν τέσσαρες, οὐκ ἀλόγως· διὰ γὰρ τὴν ὁμοιοτροπίαν εἰς ἓν συλλαμβάνει τῷ πατρὶ τὸν υἱόν· οἳ καὶ

φασὶν ὡς εἰκότως νῦν τοῦ Χὰμ ὑπογράφει τὴν γενεὰν, εἰς ἔμφασιν τοῦ ὅτι πατὴρ ἤδη γεγονὼς, τὸν ἑαυτοῦ πατέρα οὐκ ἐτίμησεν, οὐδὲ μετέδωκε τῷ γεννήσαντι ὧν ἂν παρὰ τοῦ παιδὸς ἠξίου τυχεῖν· καὶ ὡς νεωτεροποιὸν πρὸς ἁμαρτίαν ἐκάλεσεν εἰκότως νεώτερον. Cap. 9.

Ἐπίτηδες δὲ ἴσως ἐμνήσθη καὶ τοῦ Χαναὰν τοῦ τῶν Χαναναίων οἰκιστοῦ, πόῤῥωθεν ἐλέγχων τὸ δυσγενὲς, ὧν τὴν γῆν ἀφελῶν, τῷ θεοφιλεῖ παρέσχε λαῷ· ἀλλὰ πῶς ἐδούλευσε τοῖς ἀδελφοῖς; ἐπειδήπερ ἐδούλευσαν οἱ Γαβαωνῖται τῷ Ἰσραὴλ, ἐκ τοῦ Χαναὰν καταγόμενοι τῷ ἐκ τοῦ Σὴμ λαῷ· εἰ καὶ δοκεῖ τοίνυν τῷ ἐγγόνῳ καταρᾶσθαι, ἀλλ' οὖν προαναφωνεῖ ὧν ἄξιον ἔσται τὸ ἐκείνου σπέρμα· αὐτὸς γὰρ Χαναὰν οὐ μόνον οὐκ ἐδούλευσεν, ἀλλὰ καὶ πατὴρ ἐθνῶν πολλῶν γέγονε· καὶ πέπονθε μὲν αὐτὸς δεινὸν οὐδὲν, ἀλλὰ τὸ τούτου σπέρμα, τῶν Χαναναίων καὶ Ἀμοῤῥαίων καὶ ἄλλων ἐθνῶν πρὸ τούτου τὴν Παλαιστίνην οἰκούντων· ὧν τῆς εἰδωλολάτριας τὴν μανίαν καὶ τὴν εἰς πᾶσαν ἁμαρτίαν ἐπίνοιαν, ἧς μέρος ἡ σοδομιτικὴ, προορῶν ὁ θεὸς, ἐν σχήματι κατάρας προλέγει τὸ μέλλον, ἐν τῇ προφητείᾳ φόβον ἐμποιῶν τοῖς ἑξῆς ὡς ἂν γονεῖς μὴ ὑβρίζοιεν· πολλάκις ἡ γραφὴ ἄλλα μὲν σχηματίζεται λέγειν, ἄλλα δὲ οἰκο-

Cap. 9. νομεῖ· ὡς καὶ ἐπὶ τῆς κατάρας ἣν δοκεῖ κατα-
ρᾶσθαι ὁ Ἰακὼβ τὸν Ῥουβίν.
Τοῦ δὲ Χὰμ αὔξει τὸ ἔγκλημα, πρῶτον μὲν
ἐκ τοῦ περιϊδεῖν, δεύτερον δὲ ἐκ τοῦ εἰπεῖν, καὶ
οὐχ' ἑνὶ μόνῳ τῶν ἀδελφῶν ἀλλ' ἀμφοτέροις·
εἰ δὲ καὶ πλείους ἦσαν, ἅπασιν ἐξελάλησεν ἂν
διαχλευάζων πρᾶγμα οὐ χλεύης ἀλλ' αἰδοῦς
καὶ εὐλαβείας ἄξιον ὄν· εἶτα οὐκ ἔνδον ἀλλ'
ἔξω διήγγειλεν· ὅπερ ἐμφαίνει τὸ μὴ ἀκηκοέναι
μόνους τοὺς ἀδελφοὺς ἀλλὰ καὶ τοὺς ἔξω περιε-
στῶτας ἄνδράς τε καὶ γυναῖκας· καί τοι ἡ γρα-
φὴ μυρίας ὑπὲρ τοῦ δικαίου συντίθησι τὰς ἀπο-
λογίας, μᾶλλον δὲ ἑνὶ ῥήματι πᾶσαν αὐτῷ δί-
v. 20. δωσι συγγνώμην· τοιοῦτον γὰρ τὸ ἤρξατο Νῶε
ἀνὴρ γεωργός· οὔτε γὰρ πόσον ἐχρῆν πιεῖν ᾔδει
τὸν οἶνον· οὔτε πῶς πιεῖν, τὴν κρᾶσιν ὡς εἰκὸς
ἀγνοῶν· οὔτε πότε, νέον εὐθὺς ἢ καταστάντα·
ἀλλ' ὅμως ὁ ἐξ αὐτοῦ γεννηθεὶς οὐ τὴν φύσιν
αἰδεσθεὶς, οὐ τὴν δι' αὐτὸν σωτηρίαν, οὐ τῶν
ἄρτι γεγονότων τὸν φόβον λαβὼν, ἐξύβρισεν
εἰς αὐτόν· διὸ παραινεῖ λέγων, μὴ δοξάζου ἐν
ἀτιμίᾳ πατρός σου, οὐ γάρ ἐστί σοι δόξα ὡς
v. 21. ὄνειδος· ὅθεν ποινὴν τὴν δουλείαν ἐδέξατο· πῶς
οὖν καὶ ὁ Λὼτ εἰδὼς τοῦ οἴνου τὴν φύσιν ἐμε-
θύσθη; ἢ μᾶλλον αὐτὸς ἑαυτὸν ἔδωκεν εἰς οἶ-
νον, διὰ τοῦ πότου τὸν φόβον παραμυθούμενος;

ὅμως εἰ καὶ ἐγυμνώθη ὁ Νῶε, ἀλλ' ἐν τῷ οἴκῳ αὐτοῦ· ἁγίου γὰρ τὸ μὴ ἔξω τοῦ οἴκου γυμνοῦσθαι· εἴποι δ' ἄν τις ἐκ τῶν ῥητῶν ὡς οὐδὲ τὸν οἶνον ὅλον ἀλλ' ἐκ τοῦ οἴνου πίνει δι' ἐγκράτειαν δι' ἣν ἐμέτρει τὴν χρῆσιν, τοῦ ἀκρατοῦς οὐκ ἀπαλλαττομένου τῶν συμποσίων πρὶν ὅλον ἐκπίῃ τὸν ἄκρατον· εἶτα καὶ τῷ μεθύειν ἡ γραφὴ νῦν ἀντὶ τῆς νώσεως * κέχρηται· διττὸν γὰρ τὸ μεθύειν, ἢ τὸ πάροινον ληρεῖν ὅπερ ἁμάρτημα καὶ φαύλου ἴδιον, ἢ τὸ οἰνοῦσθαι ὅπερ καὶ εἰς σοφὸν πίπτει· ἐξομοιεῖ δὲ τὸν Νῶε τῷ πρώτῳ διαπλασθέντι ἀνθρώπῳ· ἐξῆλθε γὰρ ἑκάτερος μετὰ τὸν κατακλυσμόν· καὶ γὰρ ἐν τῇ τοῦ κόσμου πρώτῃ γενέσει τρόπον τινὰ κατεκέκλυστο ἡ γῆ· οὐ γὰρ ἂν ἔλεγε συναχθήτω τὸ ὕδωρ εἰς τὴν συναγωγὴν μίαν καὶ ὀφθήτω ἡ ξηρά. Cap. 9.

* Ita tres codd.

Ζητεῖται δὲ πότερον ἡ ἄμπελος πρὸ τοῦ κατακλυσμοῦ ἦν, ἢ Νῶε ταύτης εὑρετής; καί φασί τινες ὡς ἦν μὲν τὸ φυτὸν, ἐξεῦρε δὲ τὸν οἶνον· διόπερ ἀγνοῶν ἐμεθύσθη πιών· εἰ γὰρ ἦν ὁ οἶνος, πῶς οὐ γέγραπταί τις πρὸ τοῦ κατακλυσμοῦ οἴνῳ χρησάμενος; καὶ τάχα θείας οἰκονομίας τὸ μήτε κρεωφαγίαν μήτε οἰνοποσίαν πρὸ τοῦ κατακλυσμοῦ γεγονέναι· εἰ γὰρ καὶ χωρὶς τούτων ἐμαίνοντο, τίνες ἂν μετὰ τούτων ἐγέ-

Cap. 9. νοντο; τῷ δὲ ἀρχῆθεν λόγῳ τῷ βλαστησάτω ἡ
γῆ, καὶ νῦν τὸ φυτὸν ἀναδέδοται, τῷ κατακλυσμῷ πάντων ἠφανισμένων· καλῶς δὲ φησίν· οὐκ ἔτι ἔσται κατακλυσμὸς τοῦ ὕδατος, οὐ πυρός. Ἀλληγορίας δὲ νόμῳ ὁ γεωργὸς Νῶε ἐφύτευσεν ἀμπελῶνα, τὸν κάλλιστον λαὸν τὸν ἐν τῷ Χριστῷ· ἔπιεν ἐκ τοῦ οἴνου πρῶτος, αὐτὸς ἔπαθε τύπον διδοὺς, ἐμεθύσθη, ἐτελειώθη τῷ πάθει, ἐγυμνώθη ἐν τῷ οἴκῳ αὐτοῦ, ἐσταυρώθη παρὰ τοῖς Ἰουδαίοις. Χὰμ ὁ ἰουδαικὸς λαὸς ὁ ὀνειδίσας ἐπὶ τῷ σταυρῷ, τὸ τῆς ἐνανθρωπήσεως ἰδὼν ἀκαλλὲς ὡς πρὸς τὴν θείαν φύσιν κρινόμενον· εἴδομεν γὰρ αὐτὸν καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος, Ἡσαίας φησίν· οἱ δὲ ἄλλοι δύο λαοὶ, ὅ τε πρὸ νόμου πιστὸς καὶ ὁ μετὰ νόμον χρηματίζων Ἰάφεθ, ὅπέρ ἐστι πλατυσμὸς· ἡμῖν γὰρ ἀπεκάλυψεν ὁ θεὸς καὶ πατὴρ τὸν
v. 27. ἴδιον υἱὸν περὶ οὗ καὶ φησί· κατοικησάτω ἐν
τοῖς οἴκοις τοῦ Σὴμ· τοῦ γὰρ ἐν μέσῳ λυθέντος φραγμοῦ, οἱ ἔσχατοι ὧν τύπος Ἰάφεθ ὁ μικύτατος παῖς, τοῖς πρώτοις ὧν τύπος ὁ Σὴμ, ἡνώθησαν τὴν αὐτὴν ὁδεύσαντες ἀρετήν τε καὶ πίστεως τρίβον· τὴν δὲ τοῦ Χὰμ δουλείαν Χριστὸς Ἰουδαίων κατεψηφίσατο λέγων· ὅτι πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας· ὁ δὲ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν

αἰῶνα· ἐὰν οὖν ὁ υἱὸς ὑμᾶς ἐλευθερώσῃ, ὄντως ἐλεύθεροί ἐστε. Cap. 9.

Τινὲς δὲ τὸ κατοικησάτω ἐν τοῖς σκηνώμασι Σὴμ, οὐ περὶ τοῦ Ἰάφεθ ἐδέξαντο, περὶ δὲ τοῦ Θεοῦ, ἵν' ᾖ κατοικησάτω ὁ θεὸς τοῦ πλατύνοντος· ὥσπερ εἶπε ἅπαξ ἐπὶ τοῦ Σὴμ· εὐλογητὸς ὁ Θεὸς τοῦ Σὴμ· ἰδικῶς δὲ τοῦτο εἶπεν, ἐπειδὴ πιστὸν ᾔδει ἐσόμενον τὸ τούτου σπέρμα τὸ πνεῦμα τὸ ἅγιον· ἐξ οὗ Ἀβραὰμ καὶ ὁ Χριστὸς κατὰ σάρκα· διὸ καὶ τὸν Ἰάφεθ εὔχεσθαι φασὶν οἰκεῖν ἐν τοῖς τούτου σκηνώμασι. Καὶ γενηθήτω Χαναὰν παῖς αὐτοῦ· ὁρᾷς ὅτι προφητεία ἦν τὰ παρὰ τοῦ Νῶε· καὶ γὰρ Μαδιὰμ τουτέστιν ὁ Μῆδος τοῦ Ἰάφεθ ὢν υἱὸς, τὸ κάλλιστον τῶν Σὴμ οἰκήσεων κατέσχε, τὴν Μηδίαν, μέρος οὐκ ἐλάχιστον τῆς τῶν Περσῶν γῆς· δυνατὸν δὲ καὶ ῥωμαϊκὸν βασίλειον τοῦτο νοῆσαι, ὅπερ κατέσχε τοῦ Σὴμ καὶ τοῦ Χαναάν· προῤῥήσεις ἄρα τοῦ Νῶε τὰ ἐν σχήματι εὐλογίας ἢ κατάρας· καὶ γὰρ Πέρσαις καὶ Ῥωμαίοις ἐδούλευσαν καὶ δουλεύει τὸ σπέρμα Χαναάν.

ΚΕΦ. Ι.

Υἱοὶ Ἰάφεθ, Γαβὲρ καὶ Μαγὼν καὶ Μαδαὶ καὶ Ἰεουὰν καὶ Ἐλιὰ καὶ Θοβὲλ καὶ οἱ καθ- Cap. X. v. 2.

Cap. 10. εξῆς· οὗτοι κατῴκησαν ἀπὸ Ταύρου καὶ Ἀμμανοῦ τῶν ὀρῶν ἀρξάμενοι, καὶ προῆλθον ἐπὶ μὲν τῆς Ἀσίας, ἄχρι ποταμοῦ Ταναΐδος, ἐπὶ δὲ τῆς Εὐρώπης ἕως Γαδείρων· οἱ δὲ ἀπὸ τοῦ Χὰμ κατῴκησαν τὴν ἀπὸ Συρίας καὶ Ἀμμανοῦ καὶ Λιβάνου τῶν ὀρῶν πρὸς νότον καὶ ὅσα πρὸς θάλασσαν τέτραπτο καταλαβόντες καὶ μέχρι δυτικοῦ ὠκεανοῦ. Υἱοὶ Ἰάφεθ· Γάμερ, ἀφ' οὗ Γαλάται. Μαγὼν, ἀφ' οὗ Σκύθαι. Μαδαΐ, ἀφ' οὗ Μῆδοι. Ἰωυὰν, ἀφ' οὗ Ἰωνία. Ἐλισὰ, ἀφ' οὗ Αἰολεῖς. Θοβὲλ, ἀφ' οὗ Ἴβηρες. Μοσὸχ, ἀφ' οὗ Καππαδόκαι. Υἱοὶ δὲ Χάμ· Χοὺς, ἀφ' Χουσαῖοι Αἰθίοπες. Μεσραΐ, ἀφ' οὗ Μεστραῖοι Αἰγύπτιοι. Φοὺτ, ἀφ' οὗ Ταῖοι Λίβυες. Χαναὰν, ἀφ' οὗ Χαναναῖοι οἱ νῦν Παλαιστῖνοι. Υἱοὶ Χοὺς· Σαβὰ, ἀφ' οὗ Σαβαῖοι Αἰθιόπων ἔθνος. Εὐιλὰ, ἀφ' οὗ Γετοῦλοι. Ῥεγμὰ, ἀφ' οὗ Ῥαμὲ. Σαβαθτὰ, ἀφ' οὗ Ἀσταβαῖοι. Σαβακαθὰ, ἀφ' οὗ Σεβαχθηνοί. Ἰουδαδὰν, ἀφ' Ἰουδαδαῖοι αἰθιοπικὸν ἔθνος. Γενεαλογεῖ δὲ καὶ ἀπὸ τοῦ Σὴμ κάτω ἄλλον Μοσόχ· καὶ σημειωτέον αὐτοὺς, ἵνα ὅταν τοὺς προφήτας ἀναγινώσκομεν, ἀπὸ τῆς ἀκολουθίας εἰδείημεν ποῖον λέγει τὸν δυτικὸν ἢ τὸν ἀνατολικόν. Ἕκαστος κατὰ γλῶσσαν· τὰ μετὰ ταῦτα λέγει· διὸ τὰ κατὰ γλῶσσαν· ἐρέθη δὲ ἀνωτέρω καὶ τοῦ Χοὺς· Εὐιλὰ ἄλλος ἐσ-

τὶν ἀπὸ τοῦ Σὴμ· φησὶ γὰρ ἐκ τῶν υἱῶν Γά- Cap. 10. v. 5.
μερ ἀφωρίσθησαν νῆσοι· εἶτα ἐπάγει· ἕκαστος κατὰ γλῶσσαν ἐν ταῖς φυλαῖς αὐτῶν· τοῦτο δὲ ὕστερον γέγονε μετὰ τὴν τῶν γλωσσῶν σύγχυσιν.

Νεβρὼδ, οὗτος ἦν γίγας κυνηγὸς ἔναντι κυ- v. 8. 9.
ρίου· τοῦτον ἱστορεῖ Ἰώσηπος ἄρχοντα γεγενῆσθαι τῶν τὸν πῦργον ἐπινοησάντων· καὶ ᾠκοδόμησε τὴν Νινευΐ· ἔστι καὶ ἐν τῇ Ἀραβίᾳ πόλις
Ἰουδαίων Νινευὶ καλουμένη· καὶ ἐγένετο ἡ ἀρ- v. 10.
χὴ τῆς βασιλείας αὐτοῦ Βαβυλών· ἐκ τούτου εὑρίσκεται τὸ σπέρμα τοῦ Χὰμ τοῦ τὴν κατάραν τὴν τῆς δουλείας δεξαμένου, πρῶτος βασιλεῦον τῆς γῆς, ἣν ἔλαβεν ὑπὸ τοῦ Νῶε Σὴμ ὁ εὐλογηθείς· διὸ καὶ γίγαντα τὸν Νεβρὼδ καλεῖ ἡ θεία γραφὴ, ὡς ἀνταίροντα τῷ θεῷ, καὶ τὰ τοῦ γίγαντος ἔργα τολμῶντα, καὶ τοσοῦτον ἰδίᾳ δυνάμει τυραννοῦντα, ὥστε ἐπικρατεῖν ἀνθρώπων, καὶ τοῦτο ἐν γῇ τῇ μηδὲν αὐτῷ προσηκούσῃ· δῆλον γὰρ ὅτι τῶν κλήρων φανερῶς ἀπονεμηθέντων ἑκάστῳ τῶν ἀδελφῶν, εὑρίσκεται Νεβρὼδ ὁ ἐκ τοῦ Χὰμ ἐν τῇ ἀλλοτρίᾳ γῇ τοῦ
Σὴμ βασιλεύων. Καὶ τὸν Σαμαραῖον· ἐκ τούτων v. 17.
φανερὸν ὅτι Σαμαραῖος τοῦ Χαναὰν υἱός· φησὶ γάρ· Χαναὰν ἐγέννησεν Σιδῶνα πρωτότοκον· εἶτα εἰπὼν ἄλλους, ἐπάγει καὶ τὸν Σαμαραῖον καὶ τὸν Ἀμαθί· ἀφ' οὗ Σαμάρεια ἡ νῦν ἐν Πα-

Cap. 10. λαιστίνη χώρα τῶν Σαμαραίων προσηγόρευται.
v. 19. Ἕως ἐλθεῖν εἰς Γέραρα, ἀφ' ἧς νῦν καλεῖται
ἡ Γερατικὴ ὑπὲρ τὸν Δάρωμαν κειμένη, ἀπέ-
χουσα Ἐλευθεροπόλεως σημείοις κε πρὸς νότον·
πόλις δὲ ἦν βασιλικὴ τῶν Φυλιστιεὶμ· ἐν μέσῳ
v. 21. δὲ κεῖται Σοὺρ καὶ Κάδης τῶν ἐρήμων. Καὶ τῷ
Σὴμ ἐγεννήθη καὶ αὐτῷ πατρὶ πάντων τῶν υἱῶν
v. 22. Ἔβερ ἀδελφῷ Ἰάφεθ τοῦ μείζονος. Υἱοὶ Σὴμ
Αἰλὰμ, ἀφ' οὗ Ἐλυμαῖοι Περσῶν οἱ ἀρχαῖοι·
Ἀσσοὺρ, ἀφ' οὗ Ἀσσύριοι· Ἀρφαξὰδ, ἀφ' οὗ
Χαλδαῖοι. Ἀρὰμ, ἀφ' οὗ Σύροι· κάτω μέν τοι
* Ita tres codd. τὸ λη * καὶ τὸν Καμουὴλ πατέρα Σύρων· Λοὺδ
ἀφ' οὗ Λύδοι· οὗτοι κατῴκησαν ἀπὸ Ἀσεὶ ἀρ-
ξάμενοι καὶ Εὐφράτου τὰ πρὸς ἀνατολὰς μέ-
χρι τοῦ κατὰ Ἰνδίαν ὠκεανοῦ.

Ζητεῖται δὲ πῶς μείζων Ἰάφεθ τοῦ Σὴμ; καὶ μή ποτε ὡς ὁ Ἰακὼβ τοῦ Ἡσαῦ, εἰ καὶ τῷ χρόνῳ νεώτερος ἦν, οὕτω διὰ τὸ τῶν ἐθνῶν μυστήριον Ἰάφεθ ὁ πατὴρ αὐτῶν μείζων ἐστὶ Σὴμ τοῦ ἑβραίου; οὐχ' ὡς ἂν δέ τις ὑπολάβοι ὁμώνυμός ἐστι τῷ παρατελευταίῳ τῶν υἱῶν Ἰάφεθ· παρὰ γὰρ ἑβραίοις οὐ διὰ τῶν αὐτῶν στοιχείων ἀμφότεροι γράφονται· λέγει δὲ πατρὶ πάντων τῶν υἱῶν Ἔβερ ἀδελφῶν Ἰάφεθ, διὰ τὸ ἀδελφῷ Ἰάφεθ τοῦ μείζονος ἔοικεν Ἰάφεθ πρῶτος εἶναι τῷ Νῶε υἱὸς, καὶ διὰ τὸ ἔγνω ὅσα ἐποίησεν αὐτῷ

ὁ υἱὸς ὁ νεώτερος, τελευταῖος ἐγεννήθη τῷ Νῶε Cap. 10.
ὁ Χάμ. Καὶ υἱοὶ Ἀρὰμ, Οὗς καὶ Ἰεὰλ καὶ Γά- v. 23.
θερ καὶ Μοσὸχ ὃς καὶ ὁ Οὗς κτίζει τὴν Δαμα-
σκὸν καὶ τὴν Τραχωνίτιν. Υἱοὶ δὲ Ἰεκτὰν υἱοῦ v. 26.
Ἔβερ κατῴκησαν ἀπὸ Κωφῆνος ποταμοῦ τὴν Ἰν-
δικὴν καὶ τὴν πρὸς αὐτῇ Συρίαν. Ὀδοῤῥὰ πό-
λις Ἀραβίας. Καὶ Ἰωὰβ· οὐκοῦν ὁ Ἰωὰβ τὸ ὄνο-
μα τῶν προπατόρων εἶχεν ἀπὸ τοῦ Σὴμ καὶ τοῦ
Ἔβερ τοῦ ἐκλεκτοῦ γένους, οὐ μὴν τοῦ Χαναὰν,
εὐγενὴς τῶν ἀφ' ἡλίου ἀνατολῶν. Ἀπὸ Μωσσῆ· v. 30.
χώρα· τῆς Ἰνδικῆς οὕτω καλεῖται.

ΚΕΦ. ΙΑ.

Σενναὰρ πόλις καὶ πεδίον τῆς Βαβυλῶνος οὗ Cap. XI. v. 2.
μέμνηται Ἰώσηπος, ὅθεν ἐξῆλθεν Ἀσσοὺρ. Ἐν
ταῖς ἡμέραις αὐτοῦ διεμερίσθη ἡ γῆ· ὅτε διε-
μέριζεν ὁ ὕψιστος ἔθνη, οὓς διέσπειρεν υἱοὺς
Ἀδάμ. Ἐν τῷ κινῆσαι αὐτοὺς ἀπὸ ἀνατολῶν· τὸν
Ἀσσοὺρ φασὶν οἱ Ἕλληνες εἶναι τὸν Ζωροάστρην,
ὃς πρόσω χωρήσας ἐπὶ τὰ ἀνατολικὰ μέρη, οἰ-
κιστὴς γίνεται Βάκτρων· οὗτος φασὶν ἐξεῦρεν
ἀστρολογίαν· πλὴν ὡς ἡ ἀκρίβεια τοῦ Νεβρὼδ
τοῦ γίγαντος περιέχει, οὗτος ἦν ὁ Κρόνος· οὐ
πολὺ δὲ ἀλλήλων τῷ χρόνῳ διεστήκασι Νεβρὼδ
τε καὶ Ζωροάστρης· ἄλλοι δὲ τὸν Ἀρφαξὰδ φα-

Cap. 11. v. 7. σὶν εὑρηκέναι τὴν ἀστρολογίαν. Δεῦτε καταβάντες· πρὸς τὸν υἱὸν εἴρηται καὶ τὸ πνεῦμα τὸ ἅγιον, οὐ πρὸς τοὺς ἀγγέλους· οὐ γὰρ δημιουργοὶ οἱ ἄγγελοι· δημιουργοῦ δὲ τὸ κτίσαι φωνὰς, ὥς που καὶ τὸ λαλητὸν θεῖναι τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς, ὡς ὁ Ἰὼβ λέγει· τοῦτο γὰρ πνεύματος ἁγίου τοῦ καὶ τοῖς ἀποστόλοις ὕστερον μερίσαντος γλώσσας ἐν εἴδει πυρός· καὶ μᾶλλον ἐμφαντικώτερον τὸ δεῦτε σημαίνει τὰ τρία πρόσωπα τῆς ἁγίας τριάδος, ἥπερ ἐπὶ τοῦ ποιήσωμεν ἄνθρωπον· ὅρα δὲ τὴν ἁμαρτίαν ὅσων κακῶν ἀνθρώποις αἰτία γεγένηται· ἀφείλετο διὰ τοῦ Ἀδὰμ τὴν ἀθανασίαν, ἀφείλετο διὰ τῶν ἐπὶ τοῦ κατακλυσμοῦ τὸ πνεῦμα τὸ ἅγιον· οὐ μὴ γὰρ καταμείνῃ τὸ πνεῦμά μου ἐν αὐτοῖς· νυνὶ δὲ πᾶσι καὶ τὰς γλώσσας ἐμέρισεν· οὐχ᾽ ὡς τοῦ θεοῦ φοβουμένου τὴν ὁμοφωνίαν· οὐδὲ τοῦ πύργου τὴν εἰς ὕψος ἀνάβασιν, ἀδύνατον οὖσαν, εἰ κἀκεῖνοι τὴν ἰδίαν προαίρεσιν ἐπεδείκνυντο· διὰ φιλανθρωπίαν δὲ κωλύοντος πονοῦντας διακενῆς· ἅμα δὲ βουλομένου καὶ πᾶσαν οἰκειωθῆναι τὴν γῆν χωρούντων ἀεὶ τῶν ὁμοφώνων πρὸς ἑαυτούς.

Τινὲς δὲ οὐχ᾽ ὡς εἰς οὐρανὸν ἀνελθεῖν βουλομένους φασὶ τὸν πύργον ἐθέλειν οἰκοδομεῖν, ἀλλ᾽ οἱ μὲν ἁπλῶς δι᾽ ὄνομα τοῖς ἐσομένοις

καὶ μνήμην ἐπὶ μεγάλοις ἔργοις· τοιγαροῦν φα- Cap. 11.
σὶ· καὶ ποιήσωμεν ἑαυτοῖς ὄνομα πρὸ τοῦ δια-
σπαρῆναι ἐπὶ προσώπου τῆς γῆς· ᾔδεσαν γὰρ ὡς
διασπαρήσονται, τοῦ Θεοῦ τοῦτο . . . πάντως
αὐτοῖς φανερὸν καταστήσαντος . . . εἰ καὶ ζητοῦν-
τες ἀναβολὴν, ἄλλοτε ἄλλας προφάσεις ἐξεύ-
ρισκον, οἷον ἦν καὶ τὸ τὸν πῦργον οἰκοδομεῖν·
οἱ δὲ διὰ τὸν ἀρτίως γεγόνοτα κατακλυσμὸν,
ὑφορωμένους μήτι καὶ γένηται δεύτερον· ὅθεν
καὶ ἀσφάλτῳ χρήσασθαι ὡς μᾶλλον ἀντέχειν
δυναμένῃ πρὸς ὕδωρ· ἐγίνετο δὲ περί τι μέρος
τοῦ Εὐφράτου ὡς ἱστοροῦσι Φλέγων τε καὶ Ἡρό-
δοτος· ἀνέστελλε δ' οὖν αὐτοὺς ὁ Θεὸς ἐξ αὐ-
τῆς ῥίζης τοιούτων ἐσομένων πλημμελημάτων,
μὴ τοιούτοις ἀδυνάτοις ἅμα δὲ καὶ ἀνονήτοις
μάτην ἐπιχειρεῖν· λέγει γὰρ· καὶ νῦν οὐκ ἐκλεί- v. 6.
ψει ἀπ' αὐτῶν πάντα ὅσα ἂν ἐπιθῶνται ποιῆ-
σαι· ὅρα δὲ φιλανθρωπίαν· οὐ γὰρ εὐθὺς ἦλ-
θεν εἰς τὸ διατεμεῖν τὴν γλῶσσαν, ἀλλ' ὡς ἐν
δικαστηρίῳ μέλλων εὐθύνας ὑφέξειν, τὴν ἀπο-
λογίαν προτίθεται λέγων· ἰδοὺ χεῖλος ἕν· καὶ
τοῦτο ἤρξατο ποιῆσαι· τουτέστι μηδεὶς μεμφέ-
σθω τὴν ἐπὶ τούτοις διαίρεσιν· ἐπειδὴ γὰρ οὐκ
εἰς δέον ἐχρήσαντο τῇ ὁμοφωνίᾳ, κέχρημαι εἰς
δέον τῇ διαφωνίᾳ· συνεθίζων ἡμᾶς ἀλλήλοις ἀπο-
λογεῖσθαι, κἂν τύχωμεν ἠδικημένοι τὰ μέγι-

Cap. 11. v. 7. στα, παράδειγμα τὸν δεσπότην λαβόντας τοῖς δούλοις ἀπολογούμενον· τὸ δὲ καταβάντες, ἀνθρωπότερον εἴρηται· τὸ γὰρ ἀσώματον καὶ πάντα πληροῦν, ποίαν ἔχει μετάβασιν; εἰ καὶ τὰ μάλιστά τινες ὡς καταβάντας ὑπέθεντο τοῦ θεοῦ τὴν ἐνέργειαν, ἵνα γνῶσι τὸν πεποιηκότα καὶ ἐφ' ὅτῳ πεποίηκε, καὶ μὴ αὐτομάτως γεγενῆσθαι νομίσωσι. Κατὰ δὲ τοὺς λέγοντας μὴ εἰς οὐρανὸν ἀνιέναι διανοεῖσθαι, τὸ ἕως τοῦ οὐρανοῦ τοῦ ὕψους ἁπλῶς ἐστιν ἐμφατικὸν, κατὰ συνήθειαν γραφικήν· περὶ γάρ τοι τῶν πλεόντων, φησὶν ὁ Δαβὶδ· ἀναβαίνουσιν ἕως τῶν οὐρανῶν, καὶ καταβαίνουσιν ἕως τῶν ἀβύσσων.

Κατὰ Γλώσσας αὐτῶν· καὶ μὴν οὔπω ἡ πυργοποιΐα οὐδὲ τῶν γλωσσῶν ἡ διαίρεσις· ἀλλὰ μάλιστα μὲν ὁ Μωϋσῆς ὁ ταῦτα γράψας τούτων ὑπάρχων τῶν χρόνων νεώτερος, προληπτικώτερον λέγει τὰ μετὰ ταῦτα γενόμενα· ὅμως πολλαχόθεν τῆς Γραφῆς ἐστι στοχάσασθαι, καὶ μάλιστα ἐκ τῆς βίβλου Ἰησοῦ τοῦ Ναυῆ ὡς ὑπό τινος τῶν νεωτέρων προφητῶν αἱ θεῖαι γραφαὶ τῆς παλαιᾶς διαθήκης συνελέγησαν πνεύματι ἁγίῳ ὥς φασιν ὑπὸ Ἔσδρα τοῦ Γραμματέως· ἐν Ἰησοῦ γὰρ τοὺς μερισμοὺς καταλέγων καὶ τὰς πόλεις τὰς κληρωθείσας τῇ φυλῇ Ἐφραὶμ, σημειοῦται ὁ τὰς γραφὰς ἐν πνεύματι τῷ ἁγίῳ

συναγαγὼν, ὅτι τήνδε καὶ τήνδε τὴν πόλιν οὐκ Cap. 11.
ἠδυνήθησαν ἐξολοθρεῦσαι οἱ υἱοὶ Ἐφραὶμ, ἀλλ᾽
ἔμειναν, ἕως Φαραὼ βασιλεὺς Αἰγύπτου ἀνελθὼν ἐπὶ τῶν βασιλέων τοῦ Ἰσραὴλ ἔλαβεν αὐτὰς αἰχμαλωσίαν. Καὶ πάλιν ἐν τοῖς κριταῖς εἰς τὸ διήγημα τὸ κατὰ Μιχᾶν καὶ τὴν φυλὴν Δὰν καὶ τὸ εἴδωλον Μιχᾶ, σημειοῦται πάλιν ἐκεῖ ὅτι αὐτὸ ἔμειναν σέβοντες οἱ τῆς φυλῆς Δὰν ἕως τῆς μετοικεσίας Βαβυλῶνος.

Καὶ ἐγέννησε τὸν Καϊνάν· ἐν τῷ ἑβραϊκῷ v. 12.
ἔχει Ἀρφαξὰδ τὸν Σαλὰ γεννᾷ· καὶ τὸ μέσον ῥητὸν ὠβέλισται· Σὴμ υἱὸς ρ̄ ἐτῶν ὅτε ἐγέννησε τὸν Ἀρφαξὰδ δευτέρου ἔτους μετὰ τὸν κατακλυσμόν· πῶς οὖν ρ̄ ἐτῶν εἰ πεντακοσιοστῷ ἔτει τοῦτον ἐγέννησε Νῶε; ἔτει δὲ χ̄ γέγονεν ὁ κατακλυσμός· εἰ γὰρ δευτέρῳ ἔτει μετὰ τὸν κατακλυσμὸν, εἴη ἂν ἐτῶν ρ̄β̄, ὥσπερ τὸ ἑβραϊκόν· ἄλλως τε τὸ ἄνω εἰρημένον ὅτι φ̄ ἐτῶν γενόμενος ὁ Νῶε ἐπαιδοποίησεν, οὐκ ἐν αὐτῷ δεῖ νοεῖν τῷ φ̄ ἔτει, ἀλλὰ πάντως ὅτι μετὰ τὸ γενέσθαι αὐτὸν φ̄ ἐτῶν· λοιπὸν δὲ ἀφεὶς τοὺς ἄλλους υἱοὺς τοῦ Νῶε, τὸν Σὴμ μόνον τελείως γενεαλογεῖ διὰ τὸν Χριστὸν, ὡς καὶ ἐπὶ τῆς Ῥοὺθ
ἐποίει διὰ τὴν αὐτὴν αἰτίαν. Καὶ ἔζησε Σαλὰ v. 14.
ἔτη ρ̄λ̄, καὶ ἐγέννησε τὸν Ἔβερ· ἐκ τούτου δῆλον ὅτι περιόντος ἔτι τοῦ Ἔβερ, ἐτολμήθη ἡ

Cap. 11. πυργοποιΐα, ἀφ' οὗ ἡ ἑβραία ὠνόμασται γλῶτ-
τα, παρ' αὐτῷ μόνῳ φυλαχθεῖσα δια τὸ μη
συμφωνῆσαι τοῖς ἄλλοις ἴσως εἰς τὸ τῆς πυρ-
v. 18. γοποιΐας τόλμημα. Καὶ ἔζησε Φάλεκ ἔτη ρλ·
ἀπὸ κτίσεως ἕως τοῦ Φάλεκ συνάγεται ἔτη ,γ,
τὸ ἥμισυ τοῦ σύμπαντος χρόνου τῆς συστάσεως
τοῦ κόσμου· οὐ γὰρ μόνον ἡ γῆ ἀλλὰ καὶ ὁ
χρόνος ἐπὶ αὐτοῦ ἐμερίσθη· θείας ἄρα προνοίας
ἡ κλῆσις ὡς καὶ ἡ τοῦ Νῶε.
v. 26. Τὸν Ἄβραμ καὶ τὸν Ναχὼρ καὶ τὸν Ἀῤῥάν·
μή ποτε φασὶ τριδύμους τούτους ἐγέννησεν; ἀλ-
λως γὰρ ἑβδομηκονταετὴς ὢν οὐ δύναται τῶν
τριῶν ἐκ μιᾶς γεγονέναι πατὴρ· ἀλλ' οὐδὲ δη-
λοῦνται πλείους αὐτοῦ γυναῖκες· πῶς δὲ πάλιν
εἰ Θάῤῥα ο ἐτῶν ἐγέννα τὸν Ἄβραμ καὶ ἀπο-
θνήσκει σε ἐτῶν, οὐκ ἦν τότε Ἄβραμ ρλε ἐτῶν
ἀλλὰ οε μετὰ θάνατον τοῦ πατρὸς ὡς φησὶν ἡ
γραφή; οὐκοῦν δῆλον ὡς μετὰ τὸν ο ἐνιαυτὸν
ἔτεκεν αὐτὸν ὁ Θάῤῥα οὐ πρῶτον οὐδὲ εὐθὺς,
ἀλλ' ὡς εἰκὸς ρλ ἔτει· οὐχ' ὡς πρωτοτόκου ἄρα
μέμνηται λέγων, Θάῤῥα ἐγέννησε τὸν Ἄβραμ
καὶ τὰ ἑξῆς, ἀλλ' ὡς διαβοήτου καὶ ἀναγκαιο-
τάτου πρὸς τὴν νῦν ἱστορίαν· ὡς δὲ φασί τινες,
Θάῤῥα πρῶτος ἐξεῦρεν ἀνδριαντοπλασίαν ἀπὸ
πηλοῦ καὶ κεραμεικῆς ἐπιστήμης· περιέστη δὲ
ὁ αἰὼν εἰς εἰκοστὴν γενεὰν ἕως αὐτοῦ· ἐτῶν

,γ τ λ β· καὶ οὐδεὶς πώποτε τῶν προτέρων ἀν- Cap. 11.
θρώπων φαίνεται πρὸ πατρὸς τελευτήσας ἰδίῳ
θανάτῳ, ἀλλὰ πρῶτος ἀπέβαλε παῖδα ὁ τέχ-
νην ἀντίζηλον τῷ θεῷ προστησάμενος· ὅθεν φη-
σὶν ἡ γραφή· ἀπέθανεν Ἀῤῥὰν ἐνώπιον Θάῤῥα v. 28.
τοῦ πατρὸς αὐτοῦ ἐν τῇ γῇ τῆς γενέσεως αὐ-
τοῦ, τὴν τοῦ θεοῦ δίκην σημαίνουσα. Καὶ ὄνο- v. 29.
μα τῇ γυναικὶ Ναχὼρ Μελχά· ἔοικεν ἡ Μελ-
χὰ ἀδελφὴ οὖσα τοῦ Λὼτ γεγαμῆσθαι τῷ Να-
χὼρ ἀδελφῷ τοῦ Ἄβραμ καὶ τοῦ Ἀῤῥὰν, ἀδελ-
φὴ τῆς Σάῤῥας * καὶ τοῦ Λὼτ, ὡς ἱστορεῖ Ἰώ- * Codd. Μελχᾶς.
σηπος ἐν τῷ πρώτῳ τῆς ἀρχαιολογίας· διὸ καὶ
Ἄβραμ ἀδελφὴν αὐτὴν πανταχοῦ καλεῖ ἐκ πα-
τρὸς οὐκ ἐκ μητρός· ἀδελφοὺς γὰρ καὶ τοὺς συγ-
γενεῖς ἐκάλουν, ὡς καὶ τοὺς ἐγγόνους υἱούς·
καὶ τοῦτο δὲ δείκνυσι πρεσβύτερον τοῦ Ἄβραμ
καὶ τοῦ Ναχὼρ τὸν Ἀῤῥὰν, εἰ καὶ τῇ τάξει
τελευταῖον αὐτὸν τίθησι, προτάττων τὸν Ἄβραμ
ὡς πατριάρχην.

Καὶ ἔλαβε Θάῤῥα τὸν Ἄβραμ καὶ τὸν Να- v. 31.
χὼρ, καὶ τὰ ἑξῆς· ζητητέον πῶς ἐνταῦθα μὲν
λέγει ἀφ' ἑαυτοῦ τὸν Θάῤῥαν ἐξελθεῖν τῆς Χαλ-
δαίων· καὶ τὸν πρὸς Ἄβραμ χρηματισμὸν περὶ
τοῦ ἔξελθε, ἐν Χαῤῥᾷ γεγονέναι φησίν· ἐν δὲ
ταῖς πράξεσιν ὁ Στέφανος πρὶν ἐξελθεῖν αὐτὸν
καὶ κατοικῆσαι ἐν Χαῤῥᾷ ἔτι ὄντι ἐν γῇ Χαλ-

Cap. 11. δαίων, τὸν Θεὸν αὐτῷ χρηματίσαι φησί· δῆλον οὖν ὡς τῷ Θάῤῥᾳ ὁ θεὸς περὶ τῆς ἐξόδου προοικονομήσας ἐνέβαλεν, ἢ ὥς φασί τινες Ἄβραμ κατὰ χρηματισμὸν σιωπώμενον τοὺς ἰδίους παρεσκεύασεν ἐξελθεῖν τῆς Χαλδαίων· ἀλλ' οὐκ εὐθὺς εἰς γῆν Χαναὰν, ἀλλ' εἰς Χαῤῥὰν πρότερον, ὡς ἂν τέως μεταβάλοιντο τὴν προαίρεσιν· τοιγαροῦν ἀμετάβλητος μείνας ὁ Ναχὼρ, εἰς Χαῤῥὰν κατέμεινεν· ὁ δὲ Λὼτ τὴν εὐσέβειαν Ἄβραμ μιμησάμενος, συνεξῆλθεν αὐτῷ· τοῖς γὰρ Χαναναίοις ὁ θεὸς εὐσεβείας ἀπέστειλε σπέρμα, τοὺς μὲν ἔτι τὸν θεὸν ἐπιγινώσκοντας ἀναζωπυροῦν, τοὺς δὲ καταλείψαντας ἐπαναστρέφον· ὥσπερ καὶ ἐν Αἰγύπτῳ τὸν Ἰωσὴφ, καὶ ἐν Βαβυλῶνι τὸν Δανιὴλ καὶ τοὺς τρεῖς παῖδας· ὅτι δὲ Θάῤῥα καὶ Ναχὼρ εἰδωλολάτραι, Ἰησοῦς ὁ τοῦ
v. 32. Ναυῆ διελέγχει. Καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Θάῤῥα ἐν Χαῤῥὰν, ἔτη σε καὶ ἀπέθανεν· οὐχ' ὅτι ἐκεῖ ἔτη σε διέτριψεν, ἀλλ' ὅτι πᾶς ἀριθμὸς τῆς ζωῆς αὐτοῦ ἐκεῖ ἐπληρώθη.

ΚΕΦ. ΙΒ.

Cap. XII. v. 5. Καὶ πᾶσαν ψυχὴν ἣν ἐκτήσαντο ἐν Χαῤῥάν· Λὼτ καὶ Ἄβραμ, οἱ δύο μόνοι δηλονότι, ἐπεὶ
v. 6. ὁ Ναχὼρ ἔμεινεν ἐκεῖ καὶ οἱ ἐξ αὐτοῦ. Ἕως τό-

που Συχέμ. Συχὲμ καὶ ἡ Σίκιμα καὶ ἡ Σηλὼμ Cap. 12.
ἐν προαστείοις Νεαπόλεως. Κατὰ τὰς ἀνατολὰς v. 8.
Βαιθήλ· Βαιθὴλ ἡ καὶ Οὐλαμμαοῦς καλουμένη πρότερον, ἀπὸ ιβ σημείων Ἱερουσαλὴμ ἀπιόντων εἰς Νεάπολιν δεξιὰ, ἡ καὶ Λούζα, φυλῆς δὲ Βενιαμὶν, ὅπου φαίνεται τῷ Ἰακὼβ ὁ Θεός. Ἀγγαὶ δὲ νῦν ἔρημος τόπος ἐστὶ κατὰ δυσμὰς Βαιθὴλ οὐ πλεῖστον. Εἶπον οὖν ὅτι ἀδελφὴ αὐτοῦ v. 13.
εἰμι· οἰκονομία ἦν τὸ φοβηθῆναι τὸν Ἄβραμ καὶ παραγγεῖλαι τῇ Σάῤῥᾳ, καὶ αὐτὴν παρ' αὐτοῦ ληφθῆναι· ἵνα παιδεύων ὁ θεὸς τὸν Φαραὼ καὶ τὸν πιστὸν ἐκδικῶν, καὶ τοῖς ἔθνεσι γνωσθῇ, καὶ τὸν δίκαιον εὐεργετῶν μὴ λάθῃ· ἅμα δὲ καὶ διὰ τύπου δείκνυσι τῷ Ἄβραμ ὁ θεὸς, ὡς ἔθος αὐτῷ, τὰ μέλλοντα τῷ σπέρματι αὐτοῦ συμβῆναι.
Καὶ ἤτασεν ὁ Θεὸς τὸν Φαραὼ ἐτασμοῖς μεγά- v. 17.
λοις· ἐκ τούτου δῆλον ὡς πρὶν αὐτῆς ἅψασθαι τὸν Φαραὼ, τοῦτο ποιεῖ ὁ Θεός· εἰ γὰρ ἐκδικεῖ, δῆλον ὅτι φυλάττων καθαρὰν μιασμοῦ· συγχωρεῖ δὲ τὸν φόβον τῷ Ἄβραμ, ἵνα δείξῃ τὴν βοήθειαν καὶ πιστότερον ἐργασῆται τὸν δίκαιον.

Ἄνωθεν δὲ μικρὸν ἀναλαβόντες τὸν τῆς ἀλληγορίας ἐξετάσωμεν νόμον· οὐ γὰρ ἀποκληρωτικῶς τῷ Ἄβραμ ὁ θεὸς κελεύει ἀποστῆναι τῆς συγγενείας αὐτοῦ, ἀλλ' ἰδὼν ἐν αὐτῷ ἀξιόν τι

Retrocedit commentarius.

Cap. 12. τοῦ ὑπὸ κηδεμονίαν τὴν ἑαυτοῦ τετάχθαι λοιπὸν, τουτέστι τὴν πίστιν, δι' ἣν οὐκ ἐχρῆν εἰδωλολάτραις ἔτι συνεῖναι, μὴ καὶ τῆς ἐξ αὐτῶν ἀπολαύσειε λύμης πονηροῖς συνὼν, ἔτι τυγχάνων νεοπαγής· διὸ καὶ ὁ σωτὴρ φησίν· εἴτις θέλει ὀπίσω μου ἐλθεῖν, καὶ οὐ μισεῖ τὸν πατέρα αὐτοῦ, καὶ τοὺς ἀδελφοὺς, καὶ τὰς ἀδελφὰς, γυναῖκας τε καὶ τέκνα, οὐ δύναται εἶναί μου μαθητής· οὐ πρὸς τὴν φύσιν τὸ μῖσος κινῶν, πρὸς τὸ ἐμπόδιον δὲ τῆς ἀρετῆς· διὸ καὶ οἱ μαθηταὶ ἰδοὺ, φασὶν, ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι. Τῶν δὲ τῷ Ἄβραμ ἐπηγγελμένων οὐδέν ἐστιν ἀνθρώπινον· ὁ γὰρ ποιῶν τὴν ἁμαρτίαν, ἐκ τοῦ διαβόλου ἐστὶ, πατέρα τε αὐτὸν ἔχει, καὶ συγγένειαν τὴν ἐκ τούτου σύστασιν· ἐξ ἧς τὸν δίκαιον ἐξάγει, γῆν αὐτὴν ὀνομάζων· οὐδὲν γὰρ ἐν διαβόλῳ οὐράνιον· ἵνα οὕτως ἀποθέμενος τὴν εἰκόνα τοῦ χοϊκοῦ, ἀναλάβῃ τὴν εἰκόνα ἐπουρανίου· παραγγέλλει δὲ ἥκειν εἰς γῆν ἣν αὐτῷ δείξῃ θεὸς, οὐχ' ὁρατὴν, εἰ καὶ συμβόλου χάριν καὶ τοῦτο παρηκολούθησεν· ἐλπὶς γὰρ βλεπομένη οὐκ ἔστιν ἐλπίς.

Οὐκ ἀρκεῖται δὲ τῷ εὐλογῆσαι αὐτὸν· ἀλλ' ἐπήγαγε, καὶ ἔσῃ εὐλογητὸς, ἄξιος εὐλογίας γινόμενος διὰ τὸ μέγεθος καὶ τὴν ἐπὶ τελείαν ἀρετὴν προκοπήν· εὐλογεῖ δὲ καὶ τοὺς εὐλογοῦν-

τας οὐ ψιλῇ προφορᾷ, ἀλλὰ τῇ αἱρέσει· καὶ ἐκλοξεῖ ὧν αὐτὸς ἐκλέγεται, καὶ καταρᾶται διὰ τῶν ἐναντίων ὁμοίως· τοιγαροῦν καὶ καθ' ἱστορίαν ὅσοι μὲν ἀσμένως ὑπεδέξαντο, εὐλογήθησαν, οἱ δὲ ἐνάντιοι ὑπὸ κατάραν γεγόνασιν ὡς ὁ Ἀβιμέλεχ· καὶ τούτῳ ἀκολουθόν ἐστι τὸ ἐν τῷ λευϊτικῷ λεγόμενον· καὶ ἐξάγαγε τὸν καταρασάμενον ἔξω τῆς παρεμβολῆς, καὶ λιθοβολείτω αὐτὸν πᾶσα ἡ συναγωγὴ· περὶ τοῦ υἱοῦ τοῦ αἰγυπτίου καὶ τῆς ἰσραηλίτιδος καταρασαμένου ἰσραηλίτην· μή τι διὰ τοῦτο οὐδὲ λοίδοροι τὴν τοῦ θεοῦ βασιλείαν κληρονομήσουσι; δύναται δὲ καὶ περὶ ἀοράτων δυνάμεων ταῦτα λέγεσθαι· ἁγίων μὲν ἀγγέλων εὐλογούντων τὸν σπουδαῖον, διαβόλου δὲ καὶ δαιμόνων καταρωμένων αὐτὸν καὶ ὑπὸ κατάραν πιπτόντων· ἕτερον δὲ κατόρθωμα τὸ ἐνευλογηθῆναι αὐτῷ πάσας τὰς φυλὰς τῆς γῆς, ἀπαλλαττομένας τοῦ γῆς εἶναι φυλὰς διὰ τὴν πρὸς αὐτὸν μίμησίν τε καὶ ἁγιότητα, κἂν μὴ πᾶσαι προσέλθωσι, τῇ προαιρέσει ἑαυτὰς ἀπὸ τούτου χωρίζουσαι· λέγοιτο δ' ἂν διὰ τοὺς ἀπὸ τῶν ἐθνῶν πιστεύοντας· ἔσθ' ὅτε διὰ τὸν λόγον ἀλλοτριουμένους τῆς ἑαυτῶν γῆς καὶ συγγενείας καὶ τοῦ οἴκου τοῦ πατρὸς, υἱοὺς γινομένους Ἀβραὰμ τοῦ ταῦτα ἀκούσαντος καὶ ποιήσαντος. Cap. 12.

Cap. 12. Τὸ δὲ μεγαλυνῶ τὸ ὄνομά σου, πεπληρῶται ὅτε εἶπεν αὐτῷ ὁ θεὸς· ἐγὼ θεός σου· καὶ χρηματίζει θεὸς Ἀβραάμ· μεγάλη δὲ μαρτυρία τῷ πατριάρχῃ ὅτι οὕτως πεπόρευται καθάπερ ἐλάλησεν αὐτῷ ὁ θεὸς, οὐδὲν ἑαυτοῦ λείψανον ἀφιεὶς ἐν Χαῤῥάν· ἔλαβεν γὰρ τὴν Σάῤῥαν, τὸν Λὼτ, τὰ ὑπάρχοντα πάντα, καὶ πᾶσαν τὴν ψυχὴν ἣν ἐκτήσαντο· ἀποδεκτέος δὲ καὶ Λὼτ συνακολουθήσας τῷ Ἀβραάμ· ἐπάγεται τὴν κτῆσιν Ἀβραὰμ, οὐχ' ὡς δεδουλωμένος αὐτῇ, ὁ μὴ δὲ τῷ μονογενεῖ δουλωθεὶς υἱῷ, ἀλλ' ἔχων αὐτὰ πρὸς τὰς χρείας· καὶ τὰς ψυχὰς δὲ ἃς ἐκτήσαντο, τοὺς ὁμοτρόπους νοητέον οἰκέτας· οὐδεὶς γὰρ κατὰ τὸ εἰρημένον βραδὺς ἐν οἰκίᾳ σοφοῦ· εἰς δὲ τὴν γῆν ταύτην νεωστὶ μεταστὰς, ἀναγκαίως αὐτῆς τὴν ἰδέαν κατενόει διοδεύων τὸ μῆκος· εἰκὸς δὲ ὅτι καὶ τὸ πλάτος, τὴν περιοχὴν αὐτῆς καταμανθάνων· ὁ γὰρ ἅγιος μεταστὰς ἀπὸ τῶν αἰσθητῶν ἃ καὶ αὐτὰ καλῶς μετῄει ἐπὶ προκοπὴν θειοτέραν, κατενόει τὸ μῆκος· δηλοῖ δὲ τῶν θείων τὸ ὕψος, ὡς καὶ Παῦλος φησὶν ἐν τῇ πρὸς Ἐφεσίους ἐπιστολῇ· τί τὸ πλάτος καὶ μῆκος καὶ βάθος καὶ ὕψος· ταῦτα οὖν ἅπαντα κατενόει, ἀπὸ τοῦ μείζονος καὶ περὶ τῶν ἄλλων μαρτυρούμενος.

Ἔρχεται δὲ ἕως τόπου Συχὲμ, ἔνθα καὶ ἡ

πηγὴ ἐτύγχανεν ἐφ' ᾗ ὁ Ἰησοῦς ἐκαθέσθη κοπιάσας· ὅπερ πιθανῶς ὑποβάλλει, ὅτι ἀπὸ τῆς μείζονος καὶ περὶ θεολογίαν ἀσχολίας, ὃ δηλοῦται διὰ τοῦ μήκους· ἦλθε καὶ εἰς τὸν περὶ τῆς ἐνανθρωπήσεως λόγον, κατὰ τὸ ὑπὸ Ἰησοῦ εἰρημένον· Ἀβραὰμ ἐπεθύμησεν ἰδεῖν τὴν ἡμέραν, καὶ εἶδε καὶ ἐχάρη· ὤφθη δὲ θεὸς Ἀβραὰμ, ἀόρατος ὤν· θεὸν γὰρ οὐδεὶς ἑώρακε πώποτε, ὡς φησὶ τὸ εὐαγγέλιον· καὶ Παῦλος· ὃν εἶδεν οὐδεὶς ἀνθρώπων κατὰ νοῦν καθαρὸν ὥσπερ ὁρᾶται τὰ νοητά· τὴν ἐξ ἀκοῆς παίδευσιν τὴν, ἔξελθε ἐκ τῆς γῆς σου· ἡ δὲ ἀκοὴ τῶν ὑποβαλλομένων συγκατάθεσις εὐπειθής· ὀφθαλμὸν δὲ νοητέον τὴν μετὰ τὴν προκοπὴν κατάληψίν τε καὶ βεβαιότητα· διαφόρως γὰρ τὰ αὐτὰ γινώσκεται εἰσαγωγικώτερον προκόπτοντος· ἐκ δὲ τῆς κατανοήσεως προκόπτοντι, κατεπαγγέλλεται καὶ τῷ σπέρματι δοῦναι τὴν γῆν· περὶ ἧς εἴρηται· μακάριοι οἱ πραεῖς ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν, δηλαδὴ καὶ ἐπουράνιον, ἥ τίς ἐστι γνῶσις θεοῦ τελειοτάτη· ταύτην δίκαιοι κληρονομήσουσι καὶ κατασκηνώσουσι εἰς αἰῶνα ἐπ' αὐτήν· σπέρμα δὲ τὸ τέκνον καλεῖ· ὅπου μὲν γὰρ τέκνον, καὶ σπέρμα· οὐ μὴν πάντως τοὐναντίον· οὕτω καὶ ἐν τοῖς κατὰ ψυχήν· ἐν γοῦν ψαλμοῖς φησὶ· σπέρμα Ἀβραὰμ δοῦλοι αὐτοῦ, υἱοὶ Ἰακὼβ ἐκ- Cap. 12.

Cap. 12. λεκτοὶ αὐτοῦ, οὐ μὴν ἀνάπαλιν· ὡς φησὶν ὁ Παῦλος· οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ, οὗτοι Ἰσραὴλ, οὐδ᾽ ὅτι εἰσὶ σπέρμα Ἀβραὰμ πάντως τέκνα.

Ὁ τοίνυν Ἀβραὰμ εὐχαριστηρίους προσάγει θυσίας πνευματικὰς εὐπροσδέκτους τῷ θεῷ· τοιοῦτον οἰκοδομεῖ θυσιαστήριον ὁ προκόψας καὶ ἀκολουθήσας τῷ καλέσαντι· προκόπτων δὲ ὑψηλότερον ἀπέστη ἐκεῖθεν εἰς τὸ ὄρος κατὰ ἀνατολὰς Βαιθὴλ: οἶκος δὲ θεοῦ τὸ Βαιθήλ· σὺν ἄλλοις δὲ τῷ γὰρ τοιούτῳ ἐμφανίζει ἑαυτόν· οὐ γὰρ εἴρηται εἶδεν Ἀβραὰμ τὸν θεόν· ἀνέφικτον γὰρ γενετῇ φύσει τὸ χρῆμα· θεοῦ δὲ τοῦτο φιλανθρωπίας· φησὶ μὲν γὰρ Ἡσαίας· εἶδον τὸν θεὸν καθήμενον· ἀλλ᾽ ἐκ τῶν πρὸς Ἀβραὰμ παιδευόμεθα ὅτι θεοῦ ἑαυτὸν διδόντος εἰς κατανόησιν· ὁρᾷν γὰρ καὶ τὸ νοεῖν, ὡς ὁ Παῦλος· τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται· καὶ Μωϋσῆς φησὶ, γνωστῶς ἴδω σε, ὃν ᾔδει κατὰ φύσιν ἀόρατον· καὶ ἐν μὲν τοῖς αἰσθητοῖς πρῶτον ὁρῶντες, εἶτα τὰ ἐκ τῆς αἰσθήσεως τύπου τῇ διανοίᾳ γινομένου νοοῦμεν αὐτά· τὰ δὲ νοητὰ, ἑαυτὰ δίδωσιν εἰς κατανόησιν, τοῦ νοῦ μηδὲν προενεργήσαντος ἢ τὴν ἑαυτοῦ καθαρότητα· γίνεται δέ ποτε καὶ ἀπὸ τῶν δημιουργημάτων, τοῦ θεοῦ κατανόησις· ἐκ γὰρ καλλονῆς τῶν κτισμάτων ἀνα-

λόγως ὁ γενεσιουργὸς αὐτῶν θεωρεῖται τῇ δη- Cap. 12.
μιουργίᾳ, ὡς ἐκ τῆς ἐξαημέρου δῆλον, τῆς τοῦ κυρίου προσηγορίας ἐπὶ νομοθεσίας λεγομένης· κατανοῶν γὰρ τὸν κόσμον, ἔγνω τὸν ποιητὴν, καταγνοὺς τῆς πολυθέου πλάνης ἣν ὁ πατὴρ αὐτῷ παραδέδωκε.

Καὶ ἀκολούθως ἑαυτὸν ὁ θεὸς δίδωσιν αὐτῷ πρὸς κατανόησιν· μετὰ τοῦτό ἐστιν ὡς ἐν τοῖς ᾄσμασι φησὶν· ὅμοιός ἐστιν ἀδελφιδός μου τῷ δόρκωνι ἢ νεβρῷ ἐλάφων ἐπὶ τὰ ὄρη Βαιθήλ· πολλὰ γὰρ ὄρη καὶ βουνοὶ ἐν τῷ οἴκῳ τοῦ θεοῦ εἰσιν· ὡς ἐκ τοῦ, ἰδοὺ οὗτος ἥκει πηδῶν ἐπὶ τὰ ὄρη, ἁλλόμενος ἐπὶ τοὺς βουνούς· καὶ καθ' ἑκάστην προκοπήν ἐστιν εἰς βουνὸν ἀνελθεῖν, ἐκ τοῦ βουνοῦ εἰς ὄρος, καὶ ἐκ ταπεινοτέρων ὀρῶν εἰς ὑψηλότερα· εὖ δὲ καὶ τὸ ὄρος τοῦτο εἰρῆσθαι ὡς κατὰ ἀνατολάς ἐστι· πάντοθεν γὰρ φῶτα ἔχει κατ' ἐνεργείας διαφόρους· τὸ δὲ ὄρος, οἱ μὲν φασὶ τὸν ἐνανθρωπήσαντα λόγον εἶναι, οἱ δὲ τὴν ἐκκλησίαν· κατὰ ἀνατολὰς δ' οὖν τοῦ οἴκου τοῦ θεοῦ τοῦ διόλου καταυγαζομένου ἦλθεν ὁ ἅγιος ἐκ τῶν ἀρετῶν χειραγωγούμενος. ἔστι δὲ καὶ τὰ ποικίλα δόγματα τῆς εὐσεβείας ἀνατολὰς εἰπεῖν, δι' ὧν ἐληλυθὼς ὁ Ἀβραὰμ τὴν σκηνὴν ἐπήξεν ἢ ἐκέχρητο πρὸς τὰς προκοπάς· τοῦτο γὰρ ἡ σκηνὴ δηλοῖ τοῦ οἴκου τοῦ

Cap. 12. θεοῦ μονίμου τυΓχάνοντος· διελεύσομαι γὰρ ἐν τόπῳ σκηνῆς θαυμαστῆς, ἕως τοῦ οἴκου τοῦ θεοῦ· εἰς ὃν οἱ φθάσαντες μακαρίζονται, λέγοντος τοῦ ψαλμοῦ, μακάριοι πάντες οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου, οὐχ' οἱ παροικοῦντες· δι' ὧν ἡ θεία πολιτεία δηλοῦται, κἂν τὸ πρόσωπον τοῦ Ἀβραὰμ ἔτι τελείωσιν ἐπιδέχηται· οὔπω γὰρ μετωνόμασται· κατὰ δὲ θάλασσαν τὴν σκηνὴν πήγνυσι, βέβαιος ὢν καὶ ἄσειστος διὰ τὸ τελείως ἀντέχεσθαι τῆς ἀρετῆς· ὥστ' ἂν εἰπεῖν· τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; καὶ τὰ ἑξῆς· ἅπερ θάλασσαν λέγων, οὐκ ἐν ἁμάρτοις, ὅπου ποτὲ γὰρ ἂν ὁ ἅγιος ἐφεδρεύουσαν ἔχει τὴν ζάλην· ὁ δὲ αὐτὸς καὶ ἐν Ἀγγαὶ κατὰ νότον πήγνυσι τὴν σκηνήν· οἰκείως τῷ ἐφθακέναι εἰς τὸ ὄρος τοῦ οἴκου τοῦ θεοῦ, δι' ὅλων πεφωτισμένος ἐκ τῶν ἀνατολῶν, αἵ τινές εἰσιν αἱ κατ' εἶδος ἀρεταὶ, καὶ μηδεμίαν ἔτι τῶν ἀντιστατούντων φροντίδα τιθέμενος· οὐ δὲ γὰρ αἱ ἐκ τῆς θαλάττης τρικυμίαι ἀνατρέπουσιν αὐτοῦ τὸ οἰκοδόμημα καλῶς ἱδρυμένον· ἐν ἑορτῇ γινόμενος ὅπέρ ἐστιν Ἀγγαί· ἡ μεγάλη γὰρ ἑορτὴ, ἡ τῆς ἀρετῆς ἐστι τελείωσις.

Καὶ ᾠκοδόμησεν ἐκεῖ τῷ κυρίῳ θυσιαστήριον, καὶ ἐπεκαλέσατο ἐπὶ τῷ ὀνόματι κυρίου· ἢ ὅτι κυρίου ἐπωνόμασεν αὐτὸ, ἢ ὑπεραναβεβηκότως

εἰπεῖν, ἐπὶ τῷ ὀνόματι κυρίου ἐπεκαλέσατο· οὐ Cap. 12.
ψιλῇ συλλαβῇ, ἀλλὰ πραγματικῶς τοῦ νοῦ τὴν ἔνταξιν θεῷ ποιουμένου· μὴ δι' ἄλλο τὰς ἀρετὰς ἐνεργοῦντος, ἀλλὰ δι' αὐτὸ τὸ ἀγαθόν. Εἶτα φησὶν, ὡς ἀπῆρεν Ἀβραὰμ καὶ πορευθεὶς ἐστρατοπεδεύσατο ἐν τῇ ἐρήμῳ· κἂν γὰρ τέλειός τις ᾖ, οὐκ ἀπαλλάττεται τῶν πολεμούντων· οὐ γάρ ἐστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα· οὐ λέγει, οὐ γέγονεν, ἀλλ' οὐκ ἔστι· τελείου τοίνυν τὸ πολεμεῖν· εὖ δὲ καὶ τὸ ἐν τῇ ἐρήμῳ ἐστρατοπεδευκέναι· οὕτω γοῦν καὶ ὁ σωτὴρ ἐν ἐρήμῳ πειράζεται· ἐνταῦθα γὰρ ὡς ἐπὶ τὸ πλεῖστον οἱ πειρασμοὶ, διὰ τὸ ἀβοηθήτους αὐτοὺς εὑρίσκεσθαι ἐκ τῶν ὁμοίων ἀνθρώπων· ἀδελφὸς γὰρ ὑπ' ἀδελφοῦ βοηθούμενος ὡς πόλις ὀχυρά· ἡ γὰρ εἰς πειρασμὸν ἐρχομένη ψυχὴ ὥσπερ ἔρημον ἑαυτὴν ὁρᾷ συμμαχίας, θεοῦ τοῦτο οἰκονομικῶς ποιοῦντος· εἰ γὰρ προαπεκάλυπτεν αὐτοῖς τὴν ἔκβασιν ὅτι νικήσουσιν, οὐ μέγα ἦν τὸ ἀνυόμενον· δείκνυται δὲ αὐτοῖς πάλιν ὅτι καὶ συμμαχεῖ θεὸς, ἵνα μὴ δὲ οὕτως ἀποκακήσωσιν.

Ἐγένετο δὲ φησὶ λιμὸς ἐπὶ τῆς γῆς· λιμὸν φησὶ τὸν νοητὸν, ὃς κατέλαβε τὸν Ἀβραὰμ πειραζόμενον· τοῦ ἄρτου γὰρ τοῦ καταβαίνοντος ἐξ οὐρανοῦ στερηθεὶς πρὸς αἴσχίω χωρεῖ· τῆς ἀρετῆς ὥσπερ ἰδίας γῆς πλανηθεὶς καὶ εἰς ἑτέραν

Cap. 12. ἕξιν ἐλθὼν ὑπὸ σκῆπτρα τελοῦσαν τῆς ἀντικειμένης δυνάμεως· οὗ τὴν φθάσασαν ἀρετὴν αἱ πονηραὶ θεασάμεναι δυνάμεις, τῷ σφῶν αὐτῶν ἀγγέλλουσιν ἄρχοντι, καὶ τοῖς ἐκείνου σπερματισμοῖς ὑποβάλλουσιν, ὡς ἂν ἐκείνῳ τεκνογονῇ· τῶν δὲ γινομένων τὴν αἴσθησιν ἀποκλείοντες, τοῖς γηΐνοις αὐτὸν καταπλουτίζουσι, τοῖς παροῦσι θέλγειν πειρώμενοι, ἡνίκα θεὸς ἂν εἴη μόνος ὁ σώζειν δυνάμενος, ἐτάζων αὐτοὺς ἐτασμοῖς μεγάλοις καὶ πονηροῖς· ᾧ καὶ συνεργῷ χρώμενος Ἀβραάμ, οὐκ ἄλλως ἀπέδρα τὴν ὑπ' ἐκείνῳ δουλείαν, εἰ μὴ τὴν Αἰγυπτίων ἀφεὶς πρὸς τὸν ἐξ ἀρχῆς καὶ θεόσδοτον ἀναπεφοίτηκε χῶρον· φησὶ γὰρ ὡς ἀναβὰς ἐξ Αἰγύπτου παγγενῆ τε καὶ πανσκευεὶ, ἐπορεύθη ὅθεν ἐξῆλθεν εἰς τὴν ἔρημον ἕως Βαιθὴλ, εἰς ἀνενόχλητόν τε καὶ καθαρὰν διανοίας κατάστασιν· ἕως τοῦ θυσιαστηρίου τοῦ ἐν ἀρχαῖς, τουτέστι τοῦ πάλαι προσπεφυκότος ἁγιασμοῦ· τὴν δὲ κάθοδον τὴν εἰς Αἴγυπτον τινὲς οὐ χείρω κατάστασιν ἐμφαίνειν λέγουσιν, ἀλλ' ὡς τέλειος φασὶν ἀπῆλθε πρὸς ἀτελεῖς, ἵνα ὠφεληθῶσιν· ἔχων τὴν ἀρετὴν οὐχ' ὡς ἀποκληρωτικῶς αὐτῷ προσοῦσαν, ἀλλ' ἅπασιν αὐτὴν ὑποδεικνὺς ὡς ἀδελφὴν συγκατιὼν, ἵν' οὕτω δυνηθῶσι θεασάμενοι ἀγαπῆσαι αὐτήν.

Παρατήρει δὲ φασὶν ὅτι οἱ ἄρχοντες αὐτὴν εἶδον· εἰσὶ γὰρ ἐν τῷ τάγματι τῶν κατὰ ἀλληγορίαν Αἰγυπτίων καθαριώτεροί τινες, οἱ καὶ πολλὴν ἔχουσιν ἐπιτηδειότητα πρὸς τὸ θεάσασθαι τὴν ἀρετήν· οὗτοι οὐκ ἄχρι τοῦ θεάσασθαι μόνον ἐγένοντο, ἀλλὰ καὶ εἰσήγαγον αὐτὴν πρὸς τὸν ἡγεμονεύοντα αὐτῶν λόγον μετὰ τοῦ ἐπαινεῖν αὐτήν· καὶ κατὰ ἱστορίαν δὲ ἁρμόζεται συνετῶς πρὸς τὴν τῶν Αἰγυπτίων φιληδονίαν· σωζομένων παρ' Αἰγυπτίοις, ἐλογίζετο Ἀβραὰμ ὅτι ἵνα μὴ δόξωσιν εἶναι μοιχοὶ, δολοφονήσουσιν αὐτόν· ὅθεν ὡς ἀδελφὴν περιέφερε τὴν γυναῖκα. Τὸν σύρον λέγειν φασὶν ἐκάλεσε τὸ ὄνομα κυρίου, τουτέστιν ἐπεκάλεσε τῷ ὀνόματι κυρίου τὴν γῆν· ὅτι λοιπὸν θεοῦ ἦν κληρονομία· ἐῤῥέθη γὰρ αὐτῷ ἐν Συχὲμ· τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην· καὶ ἐλθὼν ἀνὰ μέσον Βαιθὴλ καὶ Ἀγγαὶ, θυσιαστήριον ποιήσας ἐκάλεσε τῷ ὀνόματι κυρίου τὴν γῆν· ὥσπερ ὁ Σὴθ ἤλπισεν ἐπικαλεῖσθαι, οὐκ εὔχεσθαι λέγει ἀλλὰ καλεῖσθαι ὀνομάζεσθαι θεοῦ ἄνθρωπος· διὰ τί δὲ εἰς Συχὲμ ὤφθη θεὸς αὐτῷ πρῶτον; ὅτι φασὶν ἐκεῖνος μέσος τῆς κληρονομίας ὁ τόπος. Cap. 12.

Ζητεῖται δὲ φασὶν εἰ ἐκοινώνησεν ὁ Φαραὼ τῇ Σάῤῥᾳ καὶ διὰ τοῦτο δεδώκασι τῷ Ἀβραὰμ δῶρα· εἰ δὲ οὐκ ἐκοινώνησε, τί μὴ φησὶν ἡ Γρα-

Cap. 12. φῇ; ἀπὸ τοῦ τοίνυν Ἀβιμέλεχ ἐστὶν ἰδεῖν ὅτι οὐ συνεχώρησεν ὁ θεός· ὁ γὰρ ὕστερον μὴ συγχωρήσας, οὐκ ἂν τὸ πρῶτον ἀφῆκεν· ἡ δὲ γραφὴ πολλὰ ἐν πολλοῖς παραλιμπάνουσα, ἐν ἄλλοις ἀναλαμβάνει· διὰ τί δὲ τοῦτον ἧτασε καὶ οὐ τὸν Ἀβιμέλεχ; μή τι ὡς πράξαντά τι; καὶ μὴν τὸν Ἀβιμέλεχ οὐχὶ πταίσαντα ἐμέμψατο, ἀλλὰ πταῖσαι ἐκώλυσεν· ἀλλ' ὁ μὲν Φαραὼ ἁμαρτωλὸς, καὶ διὰ τοῦτο καὶ ἐτάζεται, ἵνα φανῇ μὲν δίκαιος Ἀβραὰμ, γνωσθῇ δὲ καὶ αὐτὸς διὰ τοῦ Ἀβραάμ· ὁ δὲ Ἀβιμέλεχ δίκαιος, ὡς αὐτός τε φησὶν, ἔθνος δίκαιον ἀπολεῖς; καὶ αὐτὸς ὁ θεὸς συμμαρτυρεῖ· καὶ ὁ Ἀβραὰμ φησί· ἔλεγον γὰρ μή ποτε οὐκ ἔστι φόβος θεοῦ ἐν τοῖς τόποις τούτοις· καὶ μὴν εἰ ἐπὶ τοῦ Φαραὼ ἐγνώκει ὅτι ἦν φόβος θεοῦ, πῶς ἂν τοῦτο ἐπὶ τοῦ Ἀβιμέλεχ ἐπήγαγεν; ἔπειτα λέγει ὁ θεὸς τῷ Ἀβιμέλεχ· μὴ ἅψῃ τῆς γυναικὸς τοῦ δικαίου καὶ τοῦ προφήτου, εἰ δὲ μὴ, ἀποθανῇ· εἰ δὲ τὸν Ἀβιμέλεχ ἁψάμενον ἀνῄρει, πάντως ἂν καὶ τὸν Φαραώ· διὰ τί δὲ καὶ τοὺς οἰκείους αὐτοῦ ἐτάζει; ἤτοι καὶ αὐτοὺς ὡς τοὺς ἁμαρτωλοὺς, ἢ ὅτι αὐτοὶ ἐπῄνεσαν τὴν Σάῤῥαν ἔμπροσθεν Φαραώ.

ΚΕΦ. ΙΓ.

Καὶ ἐγένετο μάχη ἀνὰ μέσον τῶν ποιμένων Cap. XIII. v. 7.
Ἀβραὰμ καὶ Λώτ· πολλὴ τοῦ Ἀβραὰμ ἡ καρτερία· ὅταν γὰρ ὁ διασωσθεὶς ὑπ' αὐτοῦ καὶ τοσούτων γενόμενος κύριος ἀγαθῶν, καὶ ὃν ἐχρῆν ἐκστῆναι πάντων αὐτῷ καὶ τοῖς ἑαυτοῦ ποιμέσιν ἐπιτιμᾷν, οὗτος προτεινομένης τῆς αἱρέσεως ἐπιτρέχει τοῖς εὐφορωτέροις τῶν χωρίων, καὶ τὰ ἐρημότερα κατέλειπεν αὐτῷ μέρη, πῶς οὐ φιλόσοφον δείκνυσιν, ὁμοῦ τῇ ζημίᾳ καὶ τὴν ἀτιμίαν ἐνηνοχότος γενναίως; πλὴν εἰ καὶ ἡ αἵρεσις γέγονε συγχωρηθεῖσα ἀπὸ τῆς ἐπιεικείας τοῦ Ἀβραὰμ τῷ Λώτ, παρατηρητέον ὅτι ὁ μὲν ἐκλεξάμενος οὐκ ἀπολαύει τῆς ἐκλογῆς ἑαυτοῦ, ὁ δὲ παραχωρήσας εὐλογημένον ἴσχει τὸ καταλελειμμένον.
Οἱ δὲ ἄνθρωποι ἐν Σοδόμοις πο- v. 13.
νηροί· ἐπεὶ φασὶ καὶ ἐν ἄλλοις τετηρήκαμεν διαφορὰν πονηρῶν καὶ ἁμαρτωλῶν· ὥσπερ καὶ ἐν τῷ σύντριψον τὸν βραχύονα τοῦ ἁμαρτωλοῦ καὶ πονηροῦ· σκοποῦμεν μή ποτε πονηροὶ μέν εἰσι οἱ ἑκουσίως κακοποιητικοὶ, ἁμαρτωλοὶ δὲ οὐ πάντως τοιοῦτοι, ἀλλ' ἔκ τινος ἀκολασίας καὶ ἡδυπαθείας ἁμαρτάνοντες· ἔτι καὶ τοῦτο σημειωτέον, ὅτι μείζων κατηγορία πονηρῶν καὶ ἁμαρ-

Cap. 13. τωλῶν, ὅτι ἐναντίον τοῦ Θεοῦ λέγονται τοῦτο εἶναι· εἰ δὲ καὶ τὸ σφόδρα μετὰ τούτου προσκέοιτο, ἔτι μᾶλλον κατηγοροῦνται περὶ ὧν ὁ λόγος.

ΚΕΦ. ΙΔ.

Cap. XIV. v. 5. Ἐν Σαυῇ τῇ πόλει· αὕτη νῦν ἐστιν ἡ πόλις τοῦ μακαρίου Ἰὼβ ἐπὶ τῆς Βαταναίας· οὕτω καλούμεναι δύο κῶμαι, ἀπέχουσαι ἀλλήλων σημείοις ἐννέα μεταξὺ Ἀδάρων καὶ Βίβλου τῆς πόλεως· Σηεὶρ δέ ἐστιν ὄρος γῆς Ἐδὼμ ἔνθα ᾤκησεν Ἠσαῦ ἐν τῇ Γεβαλανῇ, ἀφ' οὗ ἐκλήθη Σηεὶρ διὰ δασύτριχον αὐτοῦ. Φανὰν δέ ἐστιν νῦν πόλις ὑπὲρ τὴν Ἀραβίαν ἐπὶ νότον, ἀπέχουσα ἀπὸ Αἰλίας πρὸς νότον ὁδὸν ἡμερῶν τριῶν· δι' ἧς ὥδευσαν οἱ Ἰσραηλῖται ἀπάραντες ἀπὸ Σινά· παράκειται δὲ τοῖς ἐπὶ τῆς ἐρήμου Σαρακηνοῖς, οὗ κατῴκησεν Ἰσμαήλ. Κάδης δέ ἐστιν ἡ παρατείνουσα Πέτρᾳ πόλει τῆς Ἀραβίας, ἔνθα Μαριὰμ ἐτελεύτησεν ἡ ἀδελφὴ Μωϋσέως.

v. 13. Ἀπήγγειλεν Ἀβραὰμ τῷ περάτῃ· ἀντὶ τοῦ, τῷ εἰς τὸ μέρος τὸ πέραν οἰκοῦντι· διηγησάμενος γὰρ τὰ ἐπέκεινα τοῦ Ἰορδάνου, τότε λοιπὸν περάτην ἐκάλεσε τὸν Ἀβραὰμ ὡς εἰς τὸ πέραν οἰκοῦντα τοῦ Ἰορδάνου· ἐπάγει γάρ· αὐτὸς δὲ κατ-

ᾤκει πρὸς τῇ δρυῒ τῇ Μαβρῇ· δεικνὺς διά τι Cap. 14.
περάτην αὐτὸν ἐκάλεσεν. Κατεδίωξεν Ἀβραὰμ v. 14.
ὀπίσω αὐτῶν ἕως Δάν· οὕτω καὶ νῦν ἐστι κώμη
Δὰν καλουμένη ἀπὸ σημείων ιδ Πανεάδος κα-
τὰ τὴν ἐπὶ Τύρον ὁδὸν, ἥ τις καὶ ὅριον τῆς Ἰου-
δαίας ὑπῆρχεν, ἔνθεν καὶ ὁ Ἰορδάνης ἔξεισιν.

Καὶ Μελχισέδεχ βασιλεὺς Σαλήμ· Σαλὴμ v. 18.
ἔστι μὲν πόλις Σικίμων, ἥ τίς ἐστιν ἐν Συχὲμ
ὡς φησὶν ἡ γραφή· ἔστι δὲ καὶ ἄλλη κώμη ἐν
τοῖς δυτικοῖς Αἰλίας· καὶ ἄλλη ἐν τῷ πεδίῳ
Σκυθοπόλεως Σαλουμίας· ὅμως ὁ Ἰώσηπος τὴν
νῦν καλουμένην Ἱερουσαλὴμ ταύτην λέγει εἶναι
τὴν Σαλὴμ ἧς ἐβασίλευσεν ὁ Μελχισέδεκ· καὶ
ἐπειδήπερ ἡ αὐτὴ καὶ Ἰεβοῦς ἐκαλεῖτο, ἡ συν-
δρομὴ τῶν δύο ὀνομάτων τοῦ τε Ἰεβοῦς καὶ τοῦ
Σαλὴμ ἐποίησεν Ἱερουσαλὴμ, τροπὴ τοῦ β εἰς
τὸ ρ· πρὸς ὃ φασί τινες ἀντιλέγοντες ὡς οὔτε
Ἱερουσαλὴμ ἦν οὔτε Συχέμ· ἡ γραφὴ γὰρ φη-
σὶν αὐτὴν εἶναι ἐν τῇ κοιλάδι ἐν Σαυῇ εἰς τὸ
πεδίον τοῦ βασιλέως· τὸν δὲ Μελχισέδεκ ἀλό-
γως τινὲς τὸν Σὴμ νομίζουσιν, οὗ καὶ ὁ τῆς
ζωῆς ἠρίθμηται χρόνος ἀνωτέρω, μὴ δὲ ἕως τῶν
χρόνων τοῦ Θάῤῥα παρεκτείνων· ἄλλως τε πό-
θεν Σὴμ τὸ ἀνατολικὸν λαχὼν, εἰς τὴν τοῦ Χὰμ
ᾤκει; ἄλλοι δὲ ἐν φάσματι καὶ ἐν εἴδει μόνῳ
τῷ καθ' ἡμᾶς τὸ πνεῦμα τὸ ἅγιον ὑπαντῆσαι

Cap. 14. φασὶν Ἀβραάμ· εἰρήνη γὰρ φασὶ τὸ Σαλήμ· θεὸς δὲ μόνος ἄρχων εἰρήνης, καὶ οὔτε ἀρχὴν ἡμερῶν οὔτε ζωῆς τέλος ἔχει, ἅπερ ἀνθρώπων ἀλλότρια· ἄλλοι δὲ διϊσχυρίζονται τοῦτον τῆς τῶν ἀγγέλων πληθύος περιφανῆ τε καὶ ἔγκριτον· καί τοι πόλεως μὲν οὔσης αἰσθητῆς τῆς Σαλήμ, ταύτης δὲ πολλῶν καὶ μετ' αὐτὸν καὶ πρὸ αὐτοῦ βεβασιλευκότων.

Εἰ δὲ τῇ τῶν ὀνομάτων ἑρμηνείᾳ θρασύνονται, καιρὸς καὶ τοὺς βασιλεύσαντας Ἰούδα καὶ Ἰσραὴλ μὴ λέγειν ἀνθρώπους· καί τοι πολλῶν ἐν αὐτοῖς πονηρῶν γεγονότων· ὧν τὸ μὲν ἡρμήνευται νοῦς ὁρῶν θεὸν, τὸ δὲ ὕμνησις· θεὸς γὰρ μόνος βασιλεύειν νοῦ τε βλέποντος καὶ ὑμνήσεως· ἄρ' οὖν καὶ τοὺς αἰσθητοὺς βασιλεῖς καὶ μάλιστα πονηροὺς, ἀγγέλους ἢ πνεῦμα λέξομεν ἅγιον; ἀλλὰ καὶ Ἱερουσαλὴμ, μετέωρος θανάτου ἢ ὅρασις τῆς εἰρήνης ἡρμήνευται· πῶς οὖν οὐχ' ἑώρακε τὸν Χριστὸν ὅς ἐστιν εἰρήνη ἡμῶν, δι' οὗ τὴν προσαγωγὴν ἐσχήκαμεν ποιήσαντος ἀμφότερα ἕν; πῶς δὲ ἡ μετέωρος θανάτου διόλωλε; πῶς δὲ καὶ Ἰσραὴλ οὐχ' ἑώρακε τὸν Χριστὸν, δι' οὗ καὶ αὐτὸν ἐγνώκαμεν τὸν πατέρα; πῶς δὲ εἰς τὸ πνεῦμα τὸ ἅγιον ὁ Μελχισέδεκ ἱερεύς ἐστι τοῦ θεοῦ, ὅπερ κτίσματος ἴδιον; εἰ γὰρ λειτουργόν ἐστιν, ὑμνήσει μετὰ τῶν ἀγγέ-

λων τὸν Θεόν· εὐλογεῖτε γὰρ τὸν κύριον πάν- Cap. 14.
τες οἱ ἄγγελοι αὐτοῦ, λειτουργοὶ αὐτοῦ ποιοῦν-
τες τὰ θελήματα αὐτοῦ· καὶ ἀντὶ τοῦ ἁγιάζειν,
ἁγιασθήσεται μεθ' ἡμῶν· οὐ γάρ που ἑαυτὸ
ἁγιάσει· κρεῖττον γὰρ τὸ ἁγιάζον τοῦ ἁγιαζο-
μένου· πῶς οὖν ἔτι θεὸς τὸ ἁγιαζόμενον; οὐδὲ
γὰρ ὁ υἱὸς ἀρχιερεὺς, εἰ μὴ γέγονε καθ' ἡμᾶς·
διὸ καὶ προφήτης καὶ ἀπόστολος κέκληται.

Ἀλλά φασιν ὡς εἰς τιμὴν τοῦ υἱοῦ πρὸς τύ-
πον τῆς κατ' αὐτὸν ἐσομένης ἱερωσύνης κατὰ
καιροὺς αὐτὸ δι' ἑαυτοῦ διεμορφοῦτο τὸ πνεῦ-
μα· τί οὖν οὐ γέγονεν Ἀαρών; τί δὲ μὴ Κῦ-
ρος ὁ πέρσης; καὶ Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ, καὶ
Ζοροβάβελ, καὶ Μωϋσῆς πρότερον; ὃς ἐφ' ἑαυ-
τῷ τὴν Χριστοῦ μεσιτείαν δεικνὺς, προφήτην φη-
σὶν ἀναστήσει κύριος ὡς ἐμέ· τί δὲ μὴ γέγο-
νεν Ἰησοῦς ὁ τοῦ Ναυῆ, ὁ διαβιβάσας τὸν Ἰορ-
δάνην, καὶ εἰς τὴν γῆν τῆς ἐπαγγελίας εἰσαγα-
γὼν, περιτεμὼν πρότερον πετρίναις μαχαίραις;
ἐν γὰρ Χριστῷ βεβαπτίσμεθα καὶ περιτετμήμε-
θα ἀχειροποιήτῳ περιτομῇ τῇ διὰ πνεύματος·
γεγόναμεν δὲ καὶ κληρονόμοι τῆς τῶν οὐρανῶν
βασιλείας· καὶ οἱ ἄγγελοι δὲ εἰρηκότες· εἰ ἀπά-
τωρ φασὶν, εἰ ἀμήτωρ, εἰ τὸ κρεῖττον εὐλογεῖ
τὸ ἔλαττον, πῶς ἄνθρωπος ὁ εὐλογήσας τοσοῦ- v. 19.
τον ὄντα τὸν Ἀβραάμ; καί τοι εἰ κατ' αὐτοὺς

Cap. 14. τύπος ὁ Μελχισεδὲκ τοῦ Χριστοῦ, τί μὴ τὴν τῶν πραγμάτων ὁρῶσι ποιότητα, τὸν δὲ τοῖς ἱερωσύνης δοκιμάζουσι τρόπον; τί γὰρ ἄτοπον εὐλογεῖσθαι τὸν Ἀβραὰμ ὡς ἐξ ἀνθρώπου τυχὸν τοῦ Μελχισεδὲκ, κἂν εἰ μὴ νοοῖτο κρείττων αὐτοῦ; οὐ γὰρ αἱ φύσεις ἐν τούτοις, ἀλλ' ὁ τῶν δρωμένων δοκιμάζεται νοῦς διὰ σκιῶν προτυπούμενος· ἐπεὶ εἴη ἂν ὁ τῆς θυσίας κριὸς, δι' ἧς Ἀαρὼν ἁγιάζεται πρὸς τὴν ἱερωσύνην, αὐτοῦ τιμιώτερος Ἀαρών· εἴπερ τὸ εὐλογοῦν μὴ ὡς ἐκ τύπου καὶ σκιᾶς ἐκ δὲ φύσεως κρίνεται· πῶς δὲ ἐπαγγέλου γυνὴ μήτε τέλος ἔχειν ἡμερῶν; τύπον δὲ Χριστοῦ τοῦτον ὁ Παῦλος ἐδέξατο, διὰ τὸ λέγεσθαι βασιλέα δικαιοσύνης τε καὶ εἰρήνης· δεδικαιώμεθα γὰρ ἐν αὐτῷ τὸ τῆς ἁμαρτίας ἄχθος ἀποσεισάμενοι· ἐσχήκαμεν δὲ καὶ εἰρήνην τὴν πρὸς τὸν πατέρα τε καὶ θεόν· δέχεται δὲ τῆς ὑπὲρ νόμον ἱερωσύνης σύμβολον, τὸ εὐλογῆσαι τὸν Ἀβραὰμ καὶ τοιαῦτα προσενεγκεῖν· εὐλογούμεθα γὰρ ὑπὸ τοῦ ἀληθινοῦ Χριστοῦ, καταγωνισάμενοι τοὺς ἄρχοντας τοῦ αἰῶνος τούτου, μηδενὸς τῶν ἐν κόσμῳ δεόμενοι, πλοῦτον δὲ μᾶλλον νομίζοντες νοητὸν ὄντα παρὰ θεοῦ· νενικηκότα γὰρ τὸν Ἀβραὰμ
v. 23. καὶ μηδὲν λαβεῖν ἐκ τοῦ Σοδόμων ἀνασχόμενον βασιλέως εἰς κτῆσιν ἰδίαν, ηὐλόγηκεν ὁ Μελχισεδέκ.

Καὶ ὁ μὲν Μελχισεδὲκ εὐλογεῖ τὸν Ἀβραὰμ λέγων· εὐλογητὸς ὁ Θεὸς ὁ ὕψιστος ὃς ἔδωκε τοὺς ἐχθρούς σου ὑποχειρίους σου· ὁ δὲ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τὸ πάντων ἡμῶν ἱλαστήριον, πάτερ ἅγιε φησὶ τήρησον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου· ὅθεν καὶ τὴν ἐν τῇ γραφῇ τοῦ χρόνου καὶ γένους ἀποσιώπησιν, εἰς ἀληθῶν πραγμάτων σύμβολον ὁ Παῦλος ἐδέξατο· καὶ δείκνυσιν ὅτι καὶ νόμου καινότης καὶ ἱερωσύνης αὐτῆς προανεφωνεῖτο μετάθεσις· ἅπερ ἀδύνατα νομίζοντες ἀντέλεγον Ἰουδαῖοι τοῖς περὶ Χριστοῦ κηρύγμασι· καὶ δείκνυσιν τὴν νομικὴν λατρείαν τε καὶ πολιτείαν σημαινομένην διὰ Λευΐ, ὃς ἦν δυνάμει ἐν τῇ ὀσφύϊ τοῦ Ἀβραὰμ, εὐλογηθεῖσαν καὶ πρὸς τὸ κρεῖττον ἐλθοῦσαν διὰ Χριστοῦ οὗ τύπος ἦν ὁ Μελχισεδὲκ· τὸν αἰσθητὸν δὲ πόλεμον τὸν Ἀβραάμ τινες πρὸς Πέρσας ἠγωνίσθαι φασίν· ὁ δὲ πατριάρχης οὐδὲν λαβεῖν παρὰ τοῦ Σοδόμων βασιλέως ἠνέσχετο κατὰ τὸ, ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου· καὶ ἄλλως ἐπεὶ μὴ ἠβούλετο τῆς προσούσης αὐτῷ τῶν πάντων ἀφθονίας ἄνθρωπον αἴτιον νομίζεσθαι ἀλλὰ τὸν Θεόν· ὅθεν ἀποδεξάμενος, εὐθὺς ἐπιφαίνεται αὐτῷ, καὶ τὸ τοῦ πλούτου διάδοχον σπέρμα ἐξ αὐτοῦ εὐαγγελίζεται κατὰ τὰς διαθήκας. Συμμάχος δὲ ἐξέδωκε τὸ

Cap. 14. v. 20.

Haec spectant ad v. 1.

Cap. 14. μὲν Ἐλλασὰδ, Πόντου· τὸ δὲ Ἐλὰμ, Σκυθῶν·
τὸ δὲ τῶν ἐθνῶν, Παμφυλίας.

ΚΕΦ. ΙΕ.

Cap. XV. v. 2. Οὗτος δαμασκὸς Ἑλιέζερ· ὁ σῦρος καὶ ὁ ἑ-
βραῖος δαμασκηνὸς Ἑλιέζερ ὁ ἀπὸ Δαμασκοῦ·
τινὲς δὲ φασὶν τοῦτον εἶναι τὸν οἰκέτην τὸν πι-
v. 5. στὸν Ἀβραὰμ τὸν ἐπὶ τῆς οἰκίας αὐτοῦ. Οὕτως
ἔσται τὸ σπέρμα σου· ἐνταῦθα τὸ σπέρμα ἴσως
τῆς δευτέρας διαθήκης αἰνίττεται, οὓς παραβάλ-
λει τοῖς οὐρανίοις ἄστροις διὰ τὸ οὐράνιον αὐ-
τῶν πολίτευμα· ἀνωτέρω δὲ τὸ σπέρμα τῆς πα-
λαιᾶς αἰνίττεται· διὸ καὶ τῇ ἄμμῳ τῆς Γῆς αὐ-
τοὺς ἀπεικάζει, διὰ τὴν σαρκίνην τοῦ νόμου λα-
τρείαν· ἔθος δὲ τῷ θεῷ διὰ τύπων δεικνύειν τῷ
Ἀβραὰμ τὰ μέλλοντα· ὥσπερ οὖν τὰ ἐν Αἰγύ-
πτῳ μέλλοντα διὰ τῆς εἰσόδου αὐτοῦ προετύ-
πωσε, καὶ τὰ κατὰ τὸν Χριστὸν διὰ τῆς θυ-
σίας τοῦ Ἰσαὰκ, καὶ τὰ τῆς λατρείας τοῦ νό-
μου διὰ τῆς προκειμένης τῶν τετραπόδων καὶ
πτηνῶν θυσίας· ἑκατέρας οὖν διαθήκης ἔγνω τὴν
δύναμιν διὰ τῶν τύπων καὶ μάλιστα διὰ τοῦ
v. 9. Μελχισεδὲκ. Λάβε μοι δάμαλιν τριετίζουσαν· τι-
νὲς φασὶν, ἠπίστησεν Ἀβραὰμ ἐνταῦθα, καὶ διὰ
τοῦτο εἶπεν ὁ θεὸς ὅτι πάροικον ἔσται τὸ σπέρ-

μα σου· εἰ οὖν ὀργίζεται, πῶς μετ' αὐτοῦ δια- Cap. 15.
τίθεται; διὰ τί δὲ υἱοὶ τὴν κατάραν τοῦ πατρὸς λαμβάνουσιν; ἐπειδὴ φασὶ καὶ Χαναὰν καὶ οἱ ἐξ αὐτοῦ ἄλλου ἁμαρτόντος κατήρανται, καὶ οἱ ἄνθρωποι θνητοὶ διὰ τὸν Ἀδάμ, ἐχρῆν εὐλογηθῆναι τοὺς ἐξ αὐτοῦ· καὶ εἰ μὴ αὐτὸν ἐμιμήσαντο, καὶ τοὺς περὶ Ἐνὼχ καὶ τὸν Ἡλίαν μήτε μετατεθῆναι μήτε ἁρπαγῆναι, εἰ καὶ γεγόνασι δίκαιοι, τὰ δὲ τοῦ προπάτορος Ἀδὰμ πεπονθέναι· οὐκοῦν οὐκ ἄτοπον τοὺς ἀπὸ δικαίου ἀδίκους μὴ σώζεσθαι, καὶ τοὺς ἀπὸ ἀδίκων δικαίους σώζεσθαι, ὡς καὶ πᾶς προσήλυτος.

Οὐκ ἀπιστήσας οὖν Ἀβραάμ, ἀλλὰ τοῦ θεοῦ εἰπόντος ὅτι κληρονομήσει τὸ σπέρμα σου τὴν γῆν ταύτην, ἐζήτει τῆς κληρονομίας τὸν τρόπον· πότερον κατ' ὀλίγον ἐκκληθήσεται τὰ ἔθνη ἢ ἀθρόως; θεὸς δὲ αὐτῷ πρότερον προτυποῖ τὰ νόμιμα διὰ συντομίας· ὁ γὰρ κλίβανος τοῦ πυρὸς τοῦ βωμοῦ διασώζει τὸν τύπον, καὶ δηλοῖ ὅτι διὰ πυρὸς ἄνωθεν καταπεμπομένου, δέξεται τὰς θυσίας θεὸς· οὐ χρήζων· οὐ γὰρ ἀνήλωσε τὸ πῦρ· ἀλλὰ παιδεύων· καὶ μὴν τὸ ἄνευ ξύλων οὐ καπνίζεται πῦρ ὡς οὐδὲ ἥλιος, ἀλλὰ τὴν θυσίαν προτυποῖ τὸ γινόμενον· πρὸς δυσμὰς δὲ, ὅτι μετὰ χρόνον τὸ πρᾶγμα· τὴν Αἰγυπτίων δὲ κάκωσιν συγχωρεῖ, ἵνα δυσχερῶν τοσ-

Cap. 15. οὕτων μετὰ πλεῖστον ἀπαλλαγέντες, γνῶσι
μειζόνως τὸν ἀπαλλάξαντα, γνωσθῇ δὲ αὐτὸς
ἐν πασῇ τῇ γῇ δι' ὧν ἐποίει σημείων· ὁ δὲ Ἀ-
βραὰμ ὡς θεῖα θεάματα θεωρῶν, ἐφοβήθη φό-
v. 12. βον τελείῳ προσήκοντα· τὸ δὲ περὶ τοῦ ἡλίου
δυσμὰς, προκοπὴν σημαίνει διὰ τὸ παρεληλυθέ-
ναι αὐτῷ τὴν τῆς παρούσης καταστάσεως ἡμέ-
ραν, ἵνα ἄλλη αὐτὸν προκοπὴ διαδέξηται φθα-
νούσης ἐπ' αὐτὸν εὐλογίας· ἔκστασις δὲ οὐχ' ἡ
παραφροσύνη ὁμοία, ἀλλ' ὁ θαυμασμὸς καὶ με-
ταστῆναι ἀπὸ τῶν ὁρατῶν ἐπὶ τὰ ἀόρατα· ὡς ὁ
ἀπόστολος· εἴτε γὰρ ἐξέστημεν, θεῷ· εἴτε σω-
φρονοῦμεν, ὑμῖν· οὐ γὰρ μανίαν δηλοῖ· ὁ σκο-
τεινὸς δὲ φόβος οὐχ' ὁ σκότους μετέχων, ἀλλ'
ὁ σοφίας καὶ μὴ προχείρως γινωσκόμενος· μέ-
γας δὲ ὢν οὗτος ὁ φόβος, οὐ μικροῖς συμβαί-
νει· τοιοῦτον τὸ, ἔθετο σκότος ἀποκρυφὴν αὐ-
τοῦ· ἡ γὰρ τῶν ὑπερφυῶν δογμάτων θεωριά τε
καὶ κατάληψις, καὶ τοῖς μεγάλοις ἴλιγγον ἐμ-
ποιεῖ.

v. 17. Αἱ δὲ λαμπάδες διῆλθον ἀνὰ μέσον τῶν δι-
χοτομημάτων, καὶ φωτίζουσαι τὸν τόπον πρὸς
τὸ ποσὸν πατριάρχην ὁρᾷν τὰ γινόμενα, καὶ σύμ-
βολα μειζόνων ὑπάρχουσαι, ἅπερ ἀναγκαῖον διε-
ρευνᾶσθαι· οὐ νῦν δὲ πρῶτον διαθήκης γινομέ-
νης πῦρ ἐφάνη, ἀλλὰ καὶ διὰ Μωϋσέως ὁ νό-

μος πυρὶ δίδοται· ἐπειδὴ γὰρ ὁ νόμος ἆθλα Cap. 15.
καὶ ἐπίτιμα ἔχει, ἐν μέσῳ τοῦ πυρὸς δοθεὶς
ἐδήλου, τοῖς μὲν καῦσιν, τοῖς δὲ φωτισμοῦ δεῖν
τοῦ ἀπὸ θεοῦ, καὶ φόβου, ἃ διὰ τοῦ κλιβάνου
σημαίνεται, ἵνα πάντα κατὰ τὸν ὀρθὸν ἐπιτελῆ-
ται λόγον· τῶν δὲ λαμπάδων διελθουσῶν τὰ δι-
χοτομήματα, ἐβεβαιοῦτο ἡ διαθήκη τοῦ θεοῦ
λέγοντος· τῷ σπέρματί σου, καὶ τὰ ἑξῆς· εὖ δὲ v. 18.
καὶ τὸ ἀπὸ τοῦ ποταμοῦ ἕως τοῦ ποταμοῦ· ἡ
γὰρ πρέπουσα ἐπαγγελία τῷ σπέρματι τοῦ ἁ-
γίου, ἡ ἀρετή ἐστιν, ἥ τις μέση τῶν ῥευστῶν
ἐστιν· εἰ δὲ καὶ διὰ τὸ ἐπικεῖσθαι πειρασμοὺς
τῷ ἐναρέτῳ τοῦτο εἴρηται, ἐπιστήσεις, μέσου αὐ-
τοῦ ὄντος τῶν θλιβόντων καὶ ὑπερνικῶντος· καὶ
κακώσουσιν αὐτοὺς $\overline{υ}$ ἔτη· οὐ μάχεται τοῖς ἐν-
ταῦθα τὰ ἐν τῇ ἐξόδῳ· ἐκεῖ γὰρ εἴρηται με-
τὰ $\overline{υλ}$ ἐξῆλθεν ἡ δύναμις κυρίου· οὐ γὰρ ἐῤῥέ-
θη ὡς πληρωθέντων τῶν $\overline{υ}$ ἐτῶν, ἐξῆλθον, ἀλ-
λὰ μετὰ $\overline{υ}$ ἔτη, ὅπερ ἐμφαίνει καὶ τὰ $\overline{λ}$· ἔκρι-
νε δὲ καὶ τὸ ἔθνος ᾧ ἐδούλευσαν, καταποντί-
σας αὐτούς· καὶ τὴν πολλὴν δὲ ἀποσκευὴν ἡ ἱστο-
ρία δεδήλωκε, ἐξ ἧς παιδευόμεθα ὅτι κἂν ἐν
χρόνῳ τινὰ κακώσῃ ὁ θεὸς, ἐπ' ἀγαθῷ τέλει
τοῦτο ποιεῖ.

Πῶς δὲ δουλευσάντων αὐτῶν ἐν Αἰγύπτῳ ἔτη
μόνα $\overline{σιε}$, νῦν φησὶ $\overline{υ}$; ὅτι καὶ ἐν τῇ Χαναὰν

Cap. 15. ἦσαν πάροικοι πρότερον ἕως ἐλθόντες ἐξ Αἰγύπτου ἐξέβαλλον τὰ ἔθνη· καὶ ὁ ψαλμῳδὸς γὰρ φησὶν· ἐν τῷ εἶναι αὐτοὺς ἀριθμῷ βραχεῖς, ὀλιγοστοὺς καὶ παροίκους ἐν τῇ Χαναὰν καὶ ἐν Αἰγύπτῳ· ὡς γὰρ ἐν τῇ ἐξόδῳ φησὶν· Ἀβραὰμ οε ἐτῶν παρῴκησεν εἰς γῆν Χαναὰν, ἑκατὸν δὲ ὢν ἐτῶν ἐγέννησε τὸν Ἰσαὰκ, Ἀβραὰμ οὖν κε ἔτη πάροικος γέγονεν· ὁ δὲ Ἰσαὰκ ξ ἐτῶν ὢν ἐγέννησε τὸν Ἰακὼβ· καὶ γεννᾷ τὸν Λευὶ Ἰακὼβ ἐτῶν ὢν πζ· ὁ δὲ Λευὶ ἐτῶν μγ κατῆλθεν εἰς Αἴγυπτον· τὰ πάντα ἔτη παρῴκησαν ἐν Χαναὰν σιε· ὁ δὲ ἀπόστολος προσέθηκε λ, τά τε πρὸ τῆς διαθήκης ἣν ἐποιήσατο θεὸς μετὰ τοῦ Ἀβραὰμ, καὶ τὴν ἐξ Αἰγύπτου πορείαν ἐν τῇ ἐρήμῳ μέχρι τῆς τοῦ νόμου δόσεως ἐν τῷ λείποντι χρό-
v. 16. νῳ δηλῶν. Τετάρτη δὲ γενεᾷ· τοῦτο φασὶ πότερον μέτρόν ἐστι μετροῦν ἕως ὅτε ἄξιοι γένωνται θάνατου οἱ οἰκοῦντες τὴν Παλαιστίνην, ἢ τῆς τοῦ θεοῦ μακροθυμίας; ἀλλ' εἰ μέτρον τῆς αὐτῶν ἁμαρτίας, πάλαι ἦσαν ἄξιοι· ἡ γὰρ προθεσμία μετὰ τὸ μέτρον δίδοται, ὡς ἐπὶ τοῦ κατακλυσμοῦ τὰ ρκ ἔτη· τούτοις δὲ υ· ὡς τὴν μακροθυμίαν βλάπτειν δοκεῖν· ἐπ' ἐκείνων γὰρ συνέτεμεν ἀπαλλάττων πλειόνων ἁμαρτημάτων, καὶ κωλύων εἰς πλείονας γενεὰς ἐπεκτείνεσθαι τὴν τῶν πονηρῶν διαδοχήν· ἐνταῦθα μέν τοι τὴν προ-

θεσμίαν ἐξέτεινεν εἰς τὸ πληθῦναι μὲν τοῦ Ἀ- Cap. 15.
βραὰμ τὸ σπέρμα, γενέσθαι δὲ τὰ γενόμενα σημεῖα.

Πῶς οὖν τὸ, οὔπω γὰρ ἀνεπληρώθησαν αἱ ἁμαρτίαι τῶν Ἀμοῤῥαίων ἕως τοῦ νῦν; ἵνα δείξῃ ὅτι εὐλόγως ἐκβάλλονται δι' ἁμαρτίας· καὶ γὰρ ὅταν λέγῃ μετεμελήθη, οὐ τοῦτο λέγει ὃ πάσχει, οὐ ταυτὸ πάσχει ὃ λέγει, τὴν δὲ τοῦ γενομένου ἀτοπίαν παρίστησι· καὶ ὁ ἄγγελος λέγων τῷ Βαλαάμ· εἰ δὲ μὴ ἀπέκτεινα ἄν σε καὶ τὴν ὄνον περιεποιησάμην, οὐχὶ τὴν ὄνον κερδάναι θέλων, ἀλλὰ φοβῶν τὸν Βαλαάμ· δυνατὸν δὲ καὶ ὡς μήπω τοῦ μέτρου πληρωθέντος τῶν ἁμαρτημάτων εἰρῆσθαι· ἦσαν γὰρ ἐν Παλαιστίνῃ δίκαιοι ὁ Μελχισεδὲκ ὁ ἱερεὺς τοῦ θεοῦ καὶ ἄλλοι πολλοί· οὐ γὰρ ἂν ἦν ἁπλῶς ἱερεὺς καὶ βασιλεὺς μὴ ὄντων τῶν πειθομένων· τὸ οὖν οὔπω ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῶν Ἀμοῤῥαίων, οὔπω ἐκλέλοιπεν ὅσιος ἐξ αὐτῶν, δέκα γὰρ δίκαιοι ῥύονται πόλιν, τότε δὲ οὐκ ὀλίγοι ἦσαν. Σημειωτέον δὲ ὅτι ἡ γενεὰ ρ̄ ἐτῶν· ἡ δὲ τετάρτη γενεὰ ἀριθμεῖται μετὰ τὴν τελευτὴν Ἀβραὰμ ἀπὸ Λευΐ τοῦ οἰκίσαντος τὴν Αἴγυπτον· Λευΐ, Καάθ, Ἄμραμ, Μωϋσῆς· ἐν δὲ τῇ ἐξόδῳ πέμπτην φησὶ γενεὰν ἀπὸ Ἰακώβ· καλῶς δὲ καὶ τὸ, οὔπω γὰρ πεπλήρωνται· ὡς γὰρ

Cap. 15. ἐν τῷ δευτέρονομίῳ φησὶν, οὐχὶ διὰ τὴν δικαιοσύνην καὶ τὴν ὁσιότητα τῆς καρδίας σου σὺ εἰσπορεύῃ κληρονομῆσαι τὴν γῆν αὐτῶν, ἀλλὰ διὰ τὴν ἀσέβειαν τῶν ἐθνῶν τούτων κύριος ἐξολοθρεύσει αὐτοὺς πρὸ προσώπου σου· καὶ ἵνα στήσῃ τὴν διαθήκην ἣν ἔστησε κύριος τοῖς πατράσιν ὑμῶν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ.

v. 18. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ διέθετο κύριος ὁ θεὸς τῷ Ἀβραὰμ διαθήκην λέγων· ὁρᾷς ὅτι ἡ θυσία διὰ τοῦτο προηγήσατο, ἵνα καθὼς ἔθος τοῖς παλαιοῖς, ἐνώμοτον συστήσεται τὴν πρὸς Ἀβραὰμ διαθήκην, ἀνθρωπίνως τὸν ἄνθρωπον πληροφορῶν καὶ πιστούμενος· τοιγαροῦν ὡς ἐν ἔθει τοῦτο τοῖς Χαλδαίοις, ὅσον τοῦ θεοῦ μόνον λαβεῖν προστάξαντος, αὐτὸς τὰ λοιπὰ προστέθεικεν· ὁ δὲ θεὸς ἐν πυρὶ τυπωθεὶς διὰ μέσου διήρχετο· δυνάμει δὲ ὁ ὅρκος, οὕτω μὴ γενοίμην ὡς ταῦτα· ὅτι δὲ ὅρκου χρείαν ἐπλήρου, δεδήλωκεν ὁ θεῖος ἀπόστολος εἰπών· τῷ δὲ Ἀβραὰμ ἐπαγγειλάμενος ὁ θεὸς, ἐπεὶ κατ' οὐδενὸς εἶχε μείζονος ὀμόσαι, ὤμοσε καθ' ἑαυτοῦ, καὶ τὰ ἑξῆς· τήρει δὲ μεθ' ὅσα μεμαρτύρηται πεπιστευκέναι τῷ θεῷ, καὶ μάλιστα τοιαύτην πίστιν ἥ τις ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην· ὁ γὰρ δίκαιος, φησὶν, ἐκ πίστεώς μου ζήσεται· καὶ αὕτη ἐστὶν ἡ πίστις ἡ ὡς κόκκος σινάπεως, ὥστε ὄρη μεθι-

στάνειν, περὶ ἧς πρὸ Ἀβραὰμ οὐδενὶ ἐν τῇ βί- Cap. 15.
βλῳ μεμαρτύρηται. Σὺ δὲ ἀπελεύσῃ πρὸς τοὺς v. 15.
πατέρας σου· φαίνεται ἐκ τοῦ προχείρου τὴν ἐκ
τοῦ βίου ἀναχώρησιν αὐτῷ ἀπαγγέλλων· πρὸς
δὲ ἀναγωγὴν, ὁ σοφὸς ἐν εἰρήνῃ ἀπέρχεται τοῦ
βίου· ὁ δὲ ἁμαρτάνων συγκεχυμένους ἔχει λο-
γισμοὺς, ταραττομένην ψυχήν· ἄπεισιν οὖν ὁ
σπουδαῖος πρὸς τοὺς κατὰ πνεῦμα πατέρας, τῇ
ὁμοιότητι τῶν τρόπων υἱὸς ὑπάρχων αὐτῶν· ἐναρ-
γῶς δὲ τῆς ψυχῆς τὴν ἀφθαρσίαν αἰνίττεται,
καὶ πρὸς τοὺς πατέρας φησὶν ὡς εἰρήκαμεν· οὐ
γὰρ πάντες οἱ κατὰ σάρκα πρόγονοι τούτου καὶ
πατέρες ἐπαινετοί· ἄπεισι δὲ πρὸς ἐκείνους οὐκ
ἐν γήρει μακρῷ, ἐν ᾧ πολλοὶ καὶ τῶν πονηρῶν
τοῦ σώματος ἀπολύονται, ἀλλ' ἐν γήρει καλῷ.

Κατά τι γνώσομαι ὅτι κληρονομήσω αὐτόν; v. 8.
οὐκ ἦν κατὰ τὸν πιστεύσαντα πίστιν λελογισμέ-
νον αὐτῷ εἰς δικαιοσύνην, ἀπιστεῖν ὡς ἄν τις
οἰηθείη, ἀλλὰ μή ποτε πιστεύσας πρότερον· νῦν
καὶ γνῶσιν αἰτεῖ τὴν περὶ τῶν πεπιστευμένων·
πρὸς ἣν δόξει ἀπρόσλογος εἶναι ἡ ἀπόκρισις ἡ v. 9.
ἀπὸ τοῦ λάβε μοι δάμαλιν τριετίζουσαν· μή πο-
τε οὖν ἐμφαίνει ὡς εἰ πάντα ποιήσεις ἐφ' οἷς
παύεται τὰ ἁμαρτήματα ἐμποδίζοντα γνώσῃ τὴν
κληρονομίαν σου; τινὲς δὲ φασὶν ὡς οὐδὲν θαυ-
μαστὸν εἰ ἐν ἀρχῇ τῆς πίστεως ὢν, διὰ τὸ μέ-

Cap. 15. γεθος τῶν ἐπηγγελμένων ἠπίστησεν· εἶτα πεισθεὶς ὅτι ἕξει υἱὸν περὶ τοῦ πλήθους τῶν ἀπογόνων διὰ τοῦ τῶν ἀστέρων ἐπείθετο παραδείγματος· ὁ δὲ ἑβραῖος ἔλεγε τὰ ζῶα εἰρῆσθαι ἅ τινα προσφέρεται ἐπὶ τὸ θυσιαστήριον μόνα· ἔφασκε δὲ ἐν τῷ ἑβραϊκῷ κεῖσθαι ἀντὶ τοῦ τριετίζοντα τρισσεύουσαν ἢ τρισσεύοντα· ἑκάστου γὰρ τῶν χερσαίων τρεῖς ἡλικίας ἀναφέρεσθαι κατὰ τὴν γραφὴν ἐπὶ τὸ θυσιαστήριον· σαφῶς μὲν ἐπίτε προβάτου καὶ αἰγὸς· τοῦ μὲν, κριὸν καὶ ἀμνὸν καὶ ἀρνεῖον· τῆς δὲ, τράγον καὶ χίμαρον καὶ ἔριφον· ἐπὶ δὲ τοῦ βοὸς ἀναλόγως ἂν ὀνομάσαις· τῶν μέντοι πτηνῶν διαφοραὶ οὐκ εἴσιν ἡλικιῶν· ἀλλὰ δεῖ τὴν τελείαν τρυγόνα προσφέρεσθαι ἐπὶ τὸ θυσιαστήριον· ἡ περιστερὰ δέ ἐστιν νεοσσὸς περιστερᾶς· μή ποτε δὲ ταῦτα σύμβολά ἐστι τοῦ τὴν ἀγίαν κληρονομίαν γίνεσθαι διὰ τῶν ἁγίων θυσιῶν, ὧν ὑποδείγματι καὶ σκιᾷ ἐλάτρευον οἱ παλαιοί; ἐν τῷ ἑβραϊκῷ δὲ καθόλου περιστερὰ οὐκ ἔσται· ἔστι μὲν γὰρ τὸ ἑβραϊκὸν τοῦ περιστερὰ ἰωνᾶ· τὸ δὲ ἐν τῇ ἑβραΐδι βίβλῳ γεγραμμένον νῦν ἐστι τωβὰλ (גוזל) ὅπερ σημαίνει ὁμολογουμένως νεοσσόν· ἀλλ᾽ ἐπεὶ καὶ ἐπ᾽ ἄλλου νεοσσοῦ ὀρνέου δύναται λέγεσθαι, Ἀκύλας ὡς εἰκὸς περιστερίδια ἐκδέδωκεν, εἰ καὶ μὴ φιλαλήθως· Θεοδοτίων δὲ νεοσσὸν εἰπὼν πε-

ρισῖερᾶς, τὸ μὲν ἀμφίβολον ἐξέκλινε, τὸ δὲ μὴ κείμενον ἐν τῷ ἑβραϊκῷ τέθεικεν. Cap. 15.

Οὐ δεῖ δὲ νομίζειν καῖὰ τοὺς ἀνοσίως τοῦτο νομίσανῖας, ὡς Ἀβραὰμ μανῖικῇ τῇ διὰ τούτων ἐχρήσατο· πάντα γὰρ μέμικται, ἵνα μὴ κατὰ ταύτην ἢ κατ' ἐκείνην δόξῃ τὴν παραῖήρησιν γίνεσθαι τὸ δεικνύμενον· οὐ μὴν οὐδὲ θυσίαν ποιησάμενος φαίνεται, ἀλλὰ διχοτομήσας· εἰπόντι μὲν οὖν ὅτι παιδοποιήσεις, ἐπίστευσε τῷ Θεῷ, καὶ ὡς ἄπειρον ἔσῖαι τὸ γένος αὐτοῦ, καὶ κληρονομήσει τὴν γῆν· τὸ δέ ποτε καὶ πῶς, ἐζήτει· οὐ περὶ τῶν ῥηθένῖων ἀμφισβηῖῶν, ἀλλὰ περὶ τῶν μὴ ῥηθέντων· ἑώρα γὰρ τὸ γένος αὐτοῦ ἐξ ἑνὸς λαμβάνον ἀρχὴν, καὶ πλείσῖων ἐτῶν εἰς τὸ πληθυνθῆναι δεόμενον, ὥστε οἰκισθῆναι ὑπ' αὐτῶν τὴν τῆς ἐπαγγελίας γῆν· ὅθεν ὁ Θεὸς διὰ τῶν γ̄ αὐτῷ ζώων δηλοῖ τὴν τῶν γ̄ γενεῶν αὐτῶν ὁμοίως καῖαδούλωσιν καὶ τιμωρίαν· ἐπεὶ καὶ τὰ ζῶα ταῦτα πρὸς καῖαδούλωσιν καὶ βρῶσιν ἀναγκαίαν ἡμῖν παραδέδοται καὶ τὴν ἐν τῇ ἐρήμῳ διατριβὴν, ὡς αἱ τρυγόνες· καὶ τὴν αὐτῶν ἐπάνοδον καὶ συνοίκησιν εἰς τὰ οἰκεῖα, ὡς αἱ περιστεραὶ· καὶ τὴν ἐκ τῶν Αἰγυπτίων βλάβην καὶ πάντων τῶν ἐναντίων καταδρομὴν, ὥσπερ τὴν τῶν ὀρνέων· καὶ τὴν ἐκ πάντων τούτων φυλακὴν τοῦ θεοῦ ἀποδιώκονῖος ῥᾳδίως, ὥσπερ

Cap. 15. τὰ ὄρνεα ὁ Ἀβραάμ, ἵνα μὴ τούτοις λυμαίνωνται· καὶ ταῦτα δηλοῦται διὰ τοῦ, Γινώσκων γνώσῃ, καὶ τὰ ἑξῆς· καὶ πεπίστευκεν οὐ τοῖς συμβόλοις ὥσπερ ἐν μαντικῇ, ἀλλὰ τῷ εἰπόντι θεῷ· ἐπετράπη γὰρ ταῦτα ποιεῖν· οὐδεὶς δὲ ἐξ ὧν αὐτός τι ποιεῖ, ἀλλ' ἐκ τῶν ἔξωθεν συμβαινόντων κατ' οἰωνοσκοπίαν μαντεύεται· οὔτε μὴν αὐτῆς περὶ ταῦτα κατανοήσεως ἔμαθεν ὡς οἱ λεγόμενοι θῦται· οὐκ ἄρα συμβολικὸς ἢ οἰωνιστὴς ἢ θύτης ἦν Ἀβραάμ, διὰ τὸν θεὸν δὲ τούτοις ἐπίστευσεν ὡς ἂν μὴ δηλοῦσι καθ' ἑαυτὰ μηδὲν ὑγιές.

Τινὲς δὲ φασὶν ὡς συνεχώρησεν ὁ θεὸς αὐτῷ τοῖς συνήθεσιν οἰωνισμοῖς ἀποχρήσασθαι· ὅθεν ἰδὼν ἐπιπτάντα τοῖς θύμασιν ὄρνεα βδελυρώτατα καὶ σαρκοφαγεῖν εἰωθότα, αὐτῷ τι σημαίνειν νομίσας, ἐπτόητο· ὁ δὲ χρησμὸς εἰς τοὺς ἀπογόνους τὸ δέος μετέστησε· δέσποτα δὲ φησὶν, ὡς ἂν τοῦ θεοῦ τὴν κατὰ πάντων δεσποτείαν δηλῶν· καὶ τὸ λυπῆσαν αὐτὸν ἀπὸ γάμου μέχρι τῆς παρούσης ἡλικίας ἀποκαλύπτει θεῷ· διὰ βίου γὰρ ὠδυνᾶτο τὴν ἀπαιδίαν νοσῶν· καὶ πλέον ὅτε τὸν πλοῦτον εἶδεν αὐξηθέντα καὶ κληρονό-
v. 18. μου δεόμενον. Τὸ δὲ Αἰγύπτου ποταμοῦ ὀνοματικῶς ἐπ' αὐτοῦ δεῖ λαβεῖν· οὕτω γὰρ ἐλέγετο πρότερον· δηλοῖ δὲ καὶ ὁ ποιητὴς λέγων·

στῆσα δ' ἐν Αἰγύπτῳ ποταμῷ νέας ἀμφιελίσ- Cap. 15.
σας. Οἱ Κιναῖοι ᾤκουν πλησίον τοῦ Ἀμαλὴχ v. 19.
ἐπέκεινα Πέτρας πόλεως ἐχόμενα Κυδυσσοῦ. Κενεζαῖοι καὶ Ἀδνωναῖοι περὶ τὸν Λίβανον καὶ τὸν Ἀμανόν· οἱ Ῥαφαὺν γίγαντες ᾤκουν τὴν Χεβρὼν, καὶ περὶ αὐτὴν οἱ Χετταῖοι· οἱ Φερεζαῖοι v. 20.
ἀναμὶξ τοῖς Χαναναίοις τὴν Παλαιστίνην ᾤκουν· οἱ Ῥαφαεὶν περὶ τὴν Φιλαδέλφειαν ᾤκουν ἥτίς ἐστιν Ἀμμών· οἱ δὲ Ἀμορραῖοι περὶ τὴν Βαιθὴλ καὶ ἐπέκεινα τοῦ Ἰορδάνου μέχρι Φιλαδελφείας, ὧν ἐβασίλευεν ὁ Σηών· οἱ Χαναναῖοι τὴν Σιδῶνα καὶ τὰ περὶ αὐτὴν ἐξαιρέτως, ᾤκουν δὲ σποράδην καὶ τὰ λοιπὰ μέρη τῆς Παλαιστίνης· ἔνθα οὖν ἰδίως καλεῖ Χαναναίους, νόει τοὺς Σιδωνίους, ὅτι Σιδὼν ὁ πρωτότοκος Χαναὰν κτίζει τὴν Σιδῶνα. Οἱ Εὐαῖοι κατῴκουν περὶ τὴν Συχὲμ εἰς πλάτος. Γεργεσαῖοι κατῴκουν περὶ τὴν Γάδαραν καὶ τὴν Γέργεσαν νῦν ἔρημον παρακειμένην τῇ λίμνῃ Τιβεριάδος· Ἰεβουσαῖοι κατῴκουν τὴν Ἰεβοῦς ἥτις ἐστιν Ἱερουσαλήμ.

ΚΕΦ. Ιϛ.

Σάῤῥα δὲ ἡ γυνὴ Ἀβραὰμ οὐκ ἔτικτεν αὐτῷ· Cap. XVI. v. 1.
στεῖρα ἡ τοῦ γένους μήτηρ εἰσάγεται, ἵνα παράδοξος ἡ τῶν ἐκγόνων σπορὰ φαίνηται θαυμα-

Cap. 16. τουργηθεῖσα, καὶ ἵνα μὴ συνουσίᾳ μᾶλλον ἀνδρὸς, ἀλλ' ἐπιφροσύνῃ θεοῦ συλλαμβάνῃ καὶ τίκτῃ· σκόπει δὲ ὡς οἱ ἅγιοι οὕτω συνῴκουν ὡς μὴ ἡδονὰς ἀλλὰ τέκνα θηρᾶν· τοιγαροῦν παραδέδοται ὡς οὔτε κυοφορούσαις οὔτε θηλαζούσαις οὔτε τρεφούσαις βρέφος συνήεσαν, ὅτε δὲ μόνον καιρὸν εἶχον συλλήψεως· βεβαιοῖ δὲ καὶ ὁ Ἰακὼβ τὴν παράδοσιν· μαθὼν γὰρ τὴν Ῥαχὴλ στεῖραν ὑπάρχειν, οὐκ ἔτι προσῆλθεν αὐτῇ· ἐκείνης δὲ τρεφομένης ἐλπίσι τοῦ τίκτειν εἴ γε ταύτῃ συνέλθοι, καὶ λεγούσης δός μοι τέκνα, εἰ δὲ μὴ ἀπόκτεινόν με σύ· οὐχ' ὅτι δημιουργὸν ἐνόμιζε τὸν Ἰακὼβ, ἀλλ' ὅτι συνόδου ἀπῄτει ἧς ἦν ἐκεῖνος παυσάμενος· φησὶ πρὸς αὐτήν· μὴ ἀντὶ θεοῦ σοὶ εἰμὶ ἐγὼ, ὃς ἐστέρησέ σε καρπὸν κοιλίας; Καὶ ἡ Σάῤῥα οὖν σοφὴ καὶ ἁγία οὖσα, καὶ τὴν ἰδίαν στείρωσιν μαθοῦσα τῷ χρόνῳ, ἀπείχετο τῆς πρὸς Ἀβραὰμ κοινωνίας· καὶ ἐπειδὴ ἐγινώσκεν ἀκόλουθον εἶναι τεκνοποιῆσαι τὸν Ἀβραὰμ, τὴν παιδισκὴν ἑαυτῆς παρέσχεν αὐτῷ παλλακίδα· κοινὸν ἡγουμένη τοῦ τεχθησομένου τὸ κέρδος ὡς μετὰ τοῦ Ἀβραὰμ μία τυγχάνουσα σὰρξ· ὁρᾷς ταύτης τὸ σῶφρον καὶ τὸ ἄφθονον προσέτι καὶ φίλανδρον· καὶ τοῦ Ἀβραὰμ τὴν ἀπάθειαν οὐκ ἐξ ἰδίας ὁρμῆς ἑλομένου τοῦτο ποιεῖν, διὰ δὲ τέκνων εἴκοντος γέ-

νεσιν, οὐχ' ὥσπερ οἱ ἀσελγεῖς ὀλιγωρίᾳ τῶν Cap. 16.
ἀστῶν ἐπὶ τὰς θεραπαίνας ἐκμαίνονται· ὁ δὲ
Ἀβραὰμ τότε βεβαιότερος περὶ τὴν σύνοικον,
ὅτε παλλακίδι χρῆσθαι παρήγγελλον οἱ καιροί·
καὶ τότε ταύτην εὗρε γυναῖκα παγιωτέραν ὅτε
παρεισῆλθεν ἑτέρα· πρὸς μὲν γὰρ τὴν παλλακί-
δα μίξις ἦν σωμάτων ἕνεκα παίδων γενέσεως,
πρὸς δὲ τὴν γαμετὴν ἕνωσις ψυχῆς ἁρμοζομέ-
νης ἔρωτι θείῳ.

Καὶ ἠτιμάσθη ἡ κυρία ἐναντίον αὐτῆς· κα- v. 4.
τὰ καιρὸν κυρίαν ἐκάλεσεν, ὅτε τῆς παρὰ τῆς
θεραπαίνης ἠλάττωται· τοῦτο δὲ καὶ εἰς πάντα
διατείνει τοῦ βίου τὰ πράγματα· κυριώτερον γὰρ
ὁ φρόνιμος πένης ἄφρονος πλουσίου, καὶ ὁ ἄδο-
ξος ἐνδόξου, καὶ ὁ νοσῶν ὑγιαίνοντος· τὰ μὲν
γὰρ σὺν φρονήσει πάντα κύρια· τὰ δὲ ἐν ἀφρο-
σύνῃ δοῦλα καὶ ἄκυρα· οὐκ εἶπε δὲ ἠτίμασε τὴν
κυρίαν αὐτῆς, ἀλλ' ἠτιμάσθη ἡ κυρία· οὐ γὰρ
ἐθέλει κατηγορεῖν, δηλῶσαι δὲ τὸ συμβεβηκός.
Ἀδικοῦμαι ἐκ σοῦ· τὸ ἐκ σοῦ οὐκ ἀντὶ τοῦ ὑπὸ v. 5.
σοῦ φασίν· οὐ γὰρ κατηγορεῖ τοῦ Ἀβραάμ, ἣ
διὰ πάσης αὐτὸν ἦγε τιμῆς καὶ κύριον ὀνομά-
ζουσα· ἄμεμπτον γὰρ οἴεται δεῖν τηρεῖν τὸν
ἀγαθὸν καὶ ὑπὸ τῆς γαμετῆς· ἀλλ' ἔστι χρο-
νικὸν τῷ ἑξῆς συναπτόμενον· ἐξ οὗ σοι καὶ ἀφ'
οὗ χρόνου ἐγὼ δέδωκα τὴν παιδίσκην μου· ὁ δὲ v. 6.

Cap. 16. σοφὸς ὄντως Ἀβραὰμ ἰδοὺ φησὶν ἡ παιδίσκη σου· οὐ γὰρ γυναῖκα εἶπεν ἢ γαμετὴν τὴν ἐξ αὐτοῦ κύουσαν· ὁρᾷς ὅπως ἀπαθῶς καὶ τὴν ἀρχὴν ἐδέξατο τὴν παιδίσκην, καὶ νῦν πάλιν ἀφίσταται ὅτε καὶ βούλεται· ἡ δὲ καὶ μέλλουσαν αὐτῷ τίκτειν ἐκβάλλει· δι' αὐτὴν γὰρ ἀπέδρα· οὐ γὰρ πᾶσα ψυχὴ δέχεται νουθεσίαν, ἀλλ' ἡ μὲν ἵλεως ἀγαπᾷ τοὺς ἐλέγχους καὶ τοῖς παιδεύουσι μᾶλλον οἰκειοῦται· ἡ δὲ ἐχθρὰ μισεῖ καὶ ἀποδιδράσκει, τοὺς πρὸς ἡδονὴν λόγους τῶν ὠφελεῖν δυναμένων προκρίνουσα.

v. 7. Εὗρε δὲ αὐτὴν ἄγγελος κυρίου ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος ἐν τῇ ἐρήμῳ ἐπὶ τῆς γῆς ἐν τῇ ὁδῷ Σοὺρ· ὡς γὰρ ἰσχύμων ἀνέκειτο ἀποπνέουσα· ἔρημος δὲ Σοὺρ ἡ κατὰ πρόσωπον Αἰγύπτου παρατείνουσα· ἔνθα καὶ τὴν ἐρυθρὰν θάλασσαν Ἑβραῖοι περάσαντες κατήντησαν, ὡς ἐν ἐξόδῳ φησί· τὸν δὲ ἄγγελον τινὲς φασὶν, τὸν μέλλοντα ἐφίστασθαι τῷ ἔθνει τῷ ἐξ αὐτῆς ἀποτίκτεσθαι μέλλοντι· ἄλλοι δὲ τὸν Χριστὸν εἶναι βουλόμενοι κατὰ τὸν Ἡσαίαν, φασί· καὶ ποῖος ἄγγελος ἐξουσιαστικῶς οὕτω διαλέγεται καὶ εἰς ἐπίδοσιν εὐλογεῖ; δηλοῖ δὲ καὶ ὁ θεὸς μὲν ταῦτα περὶ Ἰσμαὴλ λέγων τῷ Ἀβραάμ· ἰδοὺ εὐλόγηκα αὐτὸν, τὴν ἐνταῦθα δηλῶν εὐλογίαν· ἄλλοι δὲ φασὶν ὡς ὁ ἄγγελος οὐκ ἰδίους λό-

γους ἀπήγγελλεν ἀλλὰ τοῦ Θεοῦ, ὡς οἱ προφῆται· ὅθεν αὐτὸν καὶ θεὸν ὠνόμασε· καὶ ἐκάλεσε γὰρ, φησὶν, Ἄγαρ τὸ ὄνομα κυρίου τοῦ λαλοῦντος πρὸς αὐτὴν, ὁ Θεὸς ἐπεῖδέ με· δηλονότι διὰ τὸν ἐνοικοῦντα· ὡς τῆς μελλούσης χαριζομένης καὶ αὐθεντίαν, καὶ διὰ τὴν ἐνοίκησιν τοῦ Θεοῦ Θεῶν ὀνομαζομένων τῶν μετεχόντων· ἀμέλει καὶ ὁ Μωϋσεῖ λαλῶν ἄγγελος εἴρηται· καὶ ἐκάλεσε γὰρ, φησὶν, αὐτὸν ἄγγελος κυρίου καὶ εἶπεν· ἐγὼ Θεὸς Ἀβραὰμ καὶ Θεὸς Ἰσαὰκ καὶ θεὸς Ἰακώβ· ὡς πρὸς τὸ διακονεῖν οὖν, ἀγγέλων εἰσὶ λόγοι· ὡς δὲ πρὸς τὴν δυνάμιν, θεοῦ· οὐχ' ἡ τυχοῦσα δὲ Ἄγαρ, ἀγγέλου κηδομένου καὶ λαλοῦντος ἠξιωμένη· εἰκὸς γὰρ εἶναι σπουδαίαν ὡς αἱρεθεῖσαν ὑπὸ τῆς Σάῤῥας τῆς ἁγίας εἰς συνοίκησιν Ἀβραὰμ· καὶ τὸ εὔγνωμον δὲ αὐτῆς παρίσταται ἐκ τοῦ λέγειν Σάῤῥαν κυρίαν καὶ μηδὲν περὶ αὐτῆς φαῦλον εἰπεῖν· καὶ τὸ τοῦ ἤθους δὲ ἀνυπόκριτον πῶς οὐκ ἐπαινετὸν; ὁμολογεῖ γὰρ ὃ πέπονθεν, ὅτι πρόσωπον, λέγω δὲ τὴν φαντασίαν τῆς ἀρετῆς καὶ σοφίας καταπέπληκται, καὶ τὸ τῆς ἐξουσίας βασιλικὸν· οὐ γὰρ ὑπομένει τὸ ὕψος καὶ μέγεθος Θεωρεῖν, ἀλλ' ἀποδιδράσκει· ἔνιοι γὰρ οὐ μίσει τῷ πρὸς ἀρετὴν φεύγουσιν αὐτὴν, ἀλλ' αἰδοῖ, κρίνοντες ἑαυτοὺς ἀναξίους συμβιοῦν τῇ δεσποίνῃ. Cap. 16.

ΚΕΦ. ΙΖ.

Cap.XVII. v. 1. Καὶ ὤφθη κύριος τῷ Ἀβραὰμ, καὶ εἶπεν αὐτῷ· εὐαρέστει ἐνώπιόν μου καὶ γίνου ἄμεμπτος· ἢ ὡς μήπω ἀμέμπτῳ, ἢ ὡς τοιούτῳ μὲν, δεομένῳ δὲ ἀεὶ ἐνεργεῖν τὸ ἄμεμπτον ὡς ἂν διὰ
v. 2. παντὸς ἄμεμπτος ᾖ. Τὸ δὲ θήσομαι τὴν διαθήκην μου, ὡς περὶ ἄθλου ἐπαγγελία καὶ αὐτῆς διδομένης τῷ εὐαρεστοῦντι ἐναντίον αὐτοῦ, καὶ γινομένῳ ἀμέμπτῳ· ἐπάγει δὲ καὶ πληθυνῶ σε σφόδρα σφόδρα· καὶ μή ποτε φασὶν οὐ πάντα τὸν πληθύνειν δοκοῦντα πληθύνει θεὸς, ἀλλὰ τὸν Ἀβραὰμ καὶ τοὺς ὁμοίους αὐτῷ; δοκεῖ δὲ τοῦ πληθύνειν τὸ μέν τι εἶναι ἐφ' ἡμῖν καθ' ὃ λέγεται τὸ, αὐξάνεσθε καὶ πληθύνεσθε· τὸ δὲ ἐπὶ θεῷ, διὰ τὸ πληθυνῶ σε· γέγραπται δὲ, ὁ θεὸς ηὔξανε· πληθύνων μὲν οὖν τὸν ἄνθρωπον, ἀνθρώπους πολλοὺς ποιεῖ· ὅπερ οὐ θαῦμα· καὶ γὰρ ἄλλα ἔθνη πολυάνθρωπα γέγονε· τὸν δὲ Ἀβραὰμ οἱονεὶ πολλοὺς Ἀβραὰμ, ὡς πολλοὺς Ἰακὼβ· κατὰ τὸ ἄξια τέκνα ἐξ αὐτῶν μέλλειν ἔσεσθαι τὰ μιμούμενα τά τε ἔργα καὶ τὴν πίστιν τῶν πατέρων αὐτῶν· αὐξάνων δὲ αὐτὸν, εἰς τὸ μέγεθος ἐπαίρει μέγα· προειπὼν δὲ τὸ εὐαρέστει ἐναντίον μου καὶ γίνου ἄμεμπτος,

καὶ ἐπὶ τούτῳ ἐπαγγελίας διδοὺς ἐν τῷ Θησό- Cap. 17.
μαι τὴν διαθήκην μου ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ,
εὐθέως αὐτὴν δίδωσιν, ἀποδεξάμενος τοῦ Ἀ-
βραὰμ τὸ, ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ, ὡς ἐν v. 3.
τούτῳ πληρούμενου τοῦ εὐαρεστεῖν ἐναντίον αὐ-
τοῦ καὶ γίνεσθαι ἄμεμπτον· πάλιν δὲ ὡς φιλάν-
θρωπος δέδωκεν ἑαυτὸν εἰς τὸ ὀφθῆναι τῷ Ἀ-
βραὰμ, καταξιῶν αὐτοῦ εἶναι θεὸς, λέγων· εἰμὶ
ὁ θεός σου· πάντων μὲν οὖν ἐστι θεὸς ὡς δη-
μιουργὸς, τῶν ἁγίων δὲ κατ᾽ ἐξαίρετον καὶ τὴν
ἐκ τούτου λατρείαν· καὶ ὡς πρὸς κληρονόμον
δὲ φησὶ τὸ θήσομαι τὴν διαθήκην μου· υἱὸς γὰρ
ἐγίνετο εὐαρεστῶν ἐνώπιον αὐτοῦ καὶ γινόμενος
ἄμεμπτος.

Τὸ δὲ μέγεθος τῶν ἐπαγγελιῶν, καὶ τὸ τὸν θεὸν ἀξιοῦν αὐτοῦ θεὸν εἶναι καταπλαγεὶς, ἔπεσεν ἐπὶ τὸ πρόσωπον· πεσόντι δὲ βεβαιοῖ τὴν ἐπαγγελίαν ὡς υἱῷ πάλιν διατιθέμενος· πνευματικῶν ἐθνῶν ἔσεσθαι πατέρα τοῦτον εἰπὼν, οὐκ ἠμελημένων, εἰ καὶ τοῦτο κατὰ σάρκα παρηκολούθησε· φησὶ γὰρ ὁ σωτήρ· εἰ τέκνα Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε· προκόψαντι δὲ καὶ τὴν προσηγορίαν ἤμειψεν· οὐ ψιλὴν ταύτην διδοὺς, ἀλλ᾽ ἀνάδειξιν προκοπῆς ἧς αὐτὸς ὑπήρξατο, βεβαιῶν αὐτοῦ τὰς ἐπιβολάς· τότε γὰρ μάλιστά τις προκόπτων θαῤῥεῖ,

Cap. 17. ὅτε διδάσκαλος αὐτῷ μαρτυρεῖ, πολλῷ δὲ πλέον
θεός· εἰκότως αὐτὸν καὶ αὐξάνει· τῷ γὰρ ἀρ-
χὴν ἀρετῆς καταβαλομένῳ ἐπιδίδωσιν ὁ θεὸς καὶ
τὸ τέλος αὔξων μετ' ἐπιτάσεως· ὅπερ δηλοῖ τὸ
v. 6. σφόδρα σφόδρα· αἴτιον δὲ μάλιστα τῆς τοσαύ-
της συγκαταβάσεως καὶ φιλανθρωπίας ἡ τοῦ
Χριστοῦ οἰκονομία· δι' οὗ θεοὺς ἤμελλεν ἐργά-
v. 8. ζεσθαι τοὺς ἀνθρώπους· διὸ καὶ τῷ σπέρματί
σου φησί μετὰ σὲ, καὶ ἔσται ἡ περιτομὴ ἐν ση-
μείῳ διαθήκης ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ· οὐκ ἄρα
διαθήκη ἡ περιτομὴ, ἀλλὰ σημεῖον καὶ σφρα-
γὶς τῆς διαθήκης, ὡς καὶ ὁ ἀπόστολος ἐν τῇ
πρὸς Γαλάτας φησί.

Τίς οὖν ἡ διαθήκη; τὸ εἶναι τοῦ Ἀβραὰμ θεὸς καὶ τῷ σπέρματι αὐτοῦ μετ' αὐτὸν, ὡς ἀνωτέρω φησίν· ἦν οὖν διαθήκη ἐσφραγισμένη, καὶ οὐδενὶ ἐξῆν αὐτὴν ἀποσφραγίσαι εἰ μὴ μόνῳ τῷ κληρονόμῳ ὅς ἐστι Χριστός· οὗτος γὰρ θανάτῳ βεβαιωθείσης τῆς διαθήκης ἀναφανεὶς κληρονόμος, περιεῖλε τὰς σφραγῖδας, καὶ ἀνεφάνισε τὴν μυστικὴν δύναμιν τῆς διαθήκης, καὶ παντὶ βουλομένῳ δέδωκεν αὐτὴν εἰς μεταγραφήν· ὡς καὶ ὁ ἀπόστολος πρὸς Ἑβραίους φησὶν, ὅτι πρὸς Ἀβραὰμ διαθήκη, τοῦ θεοῦ τὸν Χριστὸν ἐπεγράφετο κληρονόμον· σαφῶς δὲ ἔχει καὶ ἐν τῇ πρὸς Γαλάτας οὕτω διαθήκην προκεκυρωμένην

ὑπὸ τοῦ Θεοῦ εἰς Χριστὸν, υ̅ καὶ λ̅ ἔτη γε- Cap. 17.
γονὼς νόμος οὐκ ἀκυροῖ εἰς τὸ καταργῆσαι τὴν
ἐπαγγελίαν· ἐπιφέρει δὲ, καὶ ἔσται ἡ διαθήκη v. 13.
μου ἐπὶ τῆς σαρκὸς ὑμῶν· ἐπὶ γὰρ τῆς σαρκὸς
τοῦ μὴ κατὰ σάρκα στρατευομένου, διαθήκη ἐστὶ
τοῦ θεοῦ καὶ τοῦ πάντοτε τὴν νέκρωσιν τοῦ Ἰη-
σοῦ ἐν τῷ σώματι περιφέροντος, πᾶσαν τὴν πα-
ράκλησιν ὅτι πρὸς πέρας ἐκβήσεται· κληρονό-
μοι γὰρ γεγόναμεν τῶν ἐπηγγελμένων ἀγαθῶν
τοῖς ἁγίοις· μονονουχὶ ὁμωμοκότος καθ' ἑαυ-
τοῦ τοῦ Θεοῦ· παρελήφθη γὰρ ὡς ἐν ὅρκῳ πα-
τρὸς ὁ υἱὸς, ἤτοι τὸ ἐπ' αὐτῷ μυστήριον· ἔθος
γὰρ ὀμνύναι τῷ πατρὶ ὡς κατ' ἰδίας δυνάμεως
τοῦ υἱοῦ· καὶ τοῦτό ἐστι τὸ ὀμνύναι καθ' ἑαυ-
τοῦ· ἄμφω γὰρ ἐν τῇ οὐσίᾳ· καὶ Μωϋσῆς δὲ ἀλ-
λαχοῦ φησὶν ὅτι ἀρῶ εἰς τὸν οὐρανὸν τὴν χεῖ-
ρα μου καὶ ὁμοῦ καὶ τῇ δεξιᾷ μου· δεξιὰ δὲ τοῦ
πατρὸς ὁ υἱὸς, δι' ἧς πάντα παράγει καὶ τῶν
ἄλλων κατακρατεῖ καὶ οἱονεὶ καταδράττεται.

Χριστὸς τοίνυν διὰ τῶν προκειμένων θυμά-
των σημαίνεται, καθ' ὧν ἡ τῆς διαθήκης ὁρκω-
μοσία συνίσταται· ἰσχυρὸς γὰρ ὢν καθὸ Θεὸς,
μόσχῳ παρείκασται· καθὸ δὲ γέγονεν ἄνθρωπός
τε καὶ ὑπὸ νόμον, ὠνόμασται δάμαλις· χίμα-
ρος δὲ ὡς ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν προσαχθείς·
τοῦτο γὰρ ὑπὲρ ἁμαρτίας κατὰ τὸν νόμον τὸ

Cap. 17. θῦμα· κριὸς δὲ τῶν λογικῶν ποιμνίων ἡγούμενος· εἷς γάρ ἐστιν ἡμῶν καθηγητὴς ὁ Χριστὸς, καὶ ἡμεῖς λαὸς αὐτοῦ καὶ πρόβατα τῆς χειρὸς αὐτοῦ· ᾧ ἑπόμενοι ἐν νομῇ ἀγαθῇ καὶ τόπῳ πίονι κατὰ τὸν προφήτην ἐσόμεθα καὶ ἐν αὐλαῖς ἱεραῖς καταλύσομεν· ἔοικε δὲ καὶ τρυγόνι, τοῖς εὐαγγελικοῖς κηρύγμασι κατακηλῶν τὴν ὑπ' οὐρανὸν· πρὸς ὃν ἡ νύμφη φησὶν ἡ ἐξ ἐθνῶν ἐκκλησία· δεῖξόν μοι τὴν ὄψιν σου καὶ ἀκούτισόν με τὴν φωνήν σου· ὅτι ἡ φωνή σου ἡδεῖα καὶ ἡ ὄψις σου ὡραία· αὐτὸς δὲ καὶ ἡ ἁπλῆ καὶ δόλον οὐκ ἔχουσα περιστερὰ· οὐ γὰρ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ· τριετίζοντα δὲ τὰ ζῶα καὶ τῷ τελείῳ τῆς ἡλικίας τόπον τέλειον ἐμφαίνοντα τῆς θεότητος· καθὸ δὲ γέγονε σὰρξ, οἱονεί πως δεδιχοτόμηται, καὶ εἰς θεωρίαν ἡμῖν διπλῆν ὁ ἐπ' αὐτῷ κατευρύνεται λόγος, θεῷ τε ὄντι καὶ γεγονότι ἀνθρώπῳ· ἀλλ' εἰ καὶ γέγονε διττὸς (1), ἀλλ' εἷς ἐστι μὴ διαιρούμενος, ὅπερ διὰ τῶν ὀρνέων τῶν μὴ διαιρεθέντων ἐμφαίνεται· δι' ὧν καὶ τὸ ἐξ οὐρανοῦ τυγχάνειν διεσημαίνετο, καθάπερ διὰ τῶν ἄλλων ζώων τὸ τυγχάνειν ἐκ γῆς· τὴν δὲ ἑκούσιον ὑπὲρ ἡμῶν σφαγὴν ὑπομείναντος, ἡ σὰρξ αὐτοῦ οὐκ εἶδε διαφθορὰν· καὶ ὡς

(1) Notemus hanc auctoritatem contra Monophysitas.

φησὶν ὁ Δαβὶδ, οὐκ ὠφελήσει ἐχθρὸς ἐν αὐτῷ, Cap. 17.
καὶ υἱὸς ἀνομίας οὐ προσθήσει τοῦ κακῶσαι αὐτόν· ὅθεν τὰ καταφθείρειν ἐθέλοντα τῶν διχοτομημάτων ἀπεσοβεῖτο.

Περὶ δὲ ἡλίου δυσμὰς, κλίβανος καπνιζόμενος καὶ λαμπάδες πυρὸς διὰ μέσων ᾖεσαν τῶν διχοτομημάτων· προανατείλαντος γὰρ τοῦ διὰ Μωϋσέως νόμου, ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς γέγονε σὰρξ ὁ λόγος, καθὰ δὴ τὸ πῦρ ἐπὶ τῶν διχοτομημάτων ἐφέρετο· τοῦτο δὲ τὸ μυστήριον τοῖς μὲν ἀπειθήσασιν ἐγένετο κλίβανός τε καὶ φλὸξ πασῶν ἐσχάτη καὶ ἀφόρητος δίκη· ὡς καὶ Δαβὶδ πρὸς τὸν ὅλων πατέρα φησί· θήσεις αὐτοὺς ὡς κλίβανον πυρὸς εἰς καιρὸν τοῦ προσώπου σου· κύριε ἐν ὀργῇ σου συνταράξεις αὐτοὺς καὶ καταφάγεται αὐτοὺς πῦρ· καιρὸς δὲ προσώπου τοῦ πατρὸς, ὁ τῆς ἐνανθρωπήσεως νοοῖτο ἂν εἰκότως· πρόσωπον γάρ ἐστι καὶ εἰκὼν ὁ υἱὸς τοῦ πατρός· τοῖς δὲ ἐπεγνωκόσι τὴν ἐπιφάνειαν αὐτοῦ, λαμπάς ἐστιν ἐν σκότῳ φωτίζουσα, τῆς διαβολικῆς ἀχλύος τὸ πάχος ἀπολεπτύνουσα· τοῦτο καὶ ὁ θεὸς καὶ πατὴρ δι' Ἡσαίου φησί· διὰ Σιὼν οὐ σιωπήσομαι, καὶ διὰ Ἱερουσαλὴμ οὐκ ἀνήσω· ἕως ἂν ἐξέλθῃ ὡς φῶς ἡ δικαιοσύνη μου, καὶ τὸ σωτήριόν μου ὡς λαμπὰς καυθήσεται· ἐν αὐτῷ γὰρ δικαιούμεθα καὶ

Cap. 17. τὸ τοῦ θανάτου νενικήκαμεν κράτος, πρὸς ὅπερ ἦμεν, ἀνασωζόμενοι· φανείσης δὲ τῆς ἀληθείας, ἔδει πεπαῦσθαι τοὺς τύπους.

Ὅθεν Ἄγαρ τεκοῦσα τὸν Ἰσμαὴλ, ὑψηλὰ φρονοῦσα κατὰ τῆς δεσπίνης ἐπαύετο, ὑπὸ τῆς Σάῤῥας ἐλαυνομένη, μᾶλλον δὲ ταύτην ἀποδρᾶσα, πρὸς αὐτὴν ὑποστρέφειν καταπεινοῦσθαι ταύτῃ πρὸς τοῦ φανέντος ἀγγέλου προστάττεται· οἰκέτις γὰρ ἦν ἡ κατὰ νόμους λατρεία προωδίνασα τὸν Ἰσμαήλ· πνεῦμα γὰρ οὐκ εἶχεν ἐλεύθερον τὸν ἐξ Αἰγύπτου λαὸν κυοφορήσασα· ἐφρόνει τε μεγάλα κατὰ τῶν εὐαγγελικῶν κηρυγμάτων λέγουσα τοῖς ἀποστόλοις· παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν μηδένα διδάσκειν ἐπὶ τῷ ὀνόματι τούτῳ, καὶ ἰδοὺ ἐπληρώσατε τὴν Ἱερουσαλὴμ τῆς διδαχῆς ὑμῶν· ἀλλ' ἀπεδίδρασκε νικωμένη τῷ χρόνῳ καὶ ὑποκύπτειν προστάττεται· ταπεινώθητι γάρ φησὶ ὑπὸ τὰς χεῖρας τῆς κυρίας σου· ἀεὶ γὰρ οἱ τύποι ταῖς ἀληθείαις δουλεύουσι· καὶ δι' ἀγγέλων ὁ νόμος δοθεὶς, ταπεινοῦσθαι δι' ἀγγέλου κελεύεται· οὕτω καὶ ὁ θεῖος ἀπόστολος εἰς τὰς δύο διαθήκας τὰς δύο γυναῖκας ἀλληγορεῖ· προανεκηρύττετο δὲ καὶ διὰ τῆς σαρκίνης περιτομῆς ἡ ἐν πνεύματι· κατὰ γὰρ τὴν ὀγδόην ἐπράττετο καθ' ἣν ἀνέστη Χριστὸς, καταλύσας τοῦ θανάτου τὸ κράτος, καὶ

τοῦ πνεύματος ὥσπερ ἀπαρχὴν τοῖς ἰδίοις ἐνε- Cap. 17.
φύσησε μαθηταῖς· οὐδέπω γὰρ ἦν πνεῦμα, φησὶν
Ἰωάννης, ὅτι Ἰησοῦς οὔπω ἐδοξάσθη, δόξαν αὐ-
τοῦ καλῶν τὴν ἀνάστασιν· οὐκ ἔτι οὖν τὸ δου-
λοπρεπὲς ἔχοντες πνεῦμα, κεκράγαμεν ἀββᾶ ὁ
πατὴρ κατὰ τὸν θεῖον ἀπόστολον· ἐν κρυπτῷ
τυγχάνοντες ἰουδαῖοι, καὶ περιτομὴν ἔχοντες
καρδίας ἐν πνεύματι οὐ γράμματι.

Κ Ε Φ. ΙΗ.

Ὤφθη δὲ αὐτῷ ὁ θεὸς πρὸς τῇ δρυῒ τῇ Μαμ- Cap. XVIII.
βρῇ, καθημένου αὐτοῦ ἐπὶ τῆς θύρας τῆς σκη- v. 1.
νῆς αὐτοῦ μεσημβρίας· ἀναβλέψας δὲ τοῖς ὀφ- v. 2.
θαλμοῖς αὐτοῦ, εἶδε· καὶ ἰδοὺ τρεῖς ἄνδρες εἰ-
στήκεισαν ἐπάνω αὐτοῦ· καὶ ἰδὼν προσέδραμεν
εἰς συνάντησιν αὐτοῖς ἀπὸ τῆς σκηνῆς αὐτοῦ,
καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν, καὶ εἶπε· κύριε v. 3.
εἰ εὗρον χάριν ἐνώπιόν σου, μὴ παρέλθῃς τὸν
δοῦλόν σου. Τοὺς τρεῖς ἄνδρας οἱ μὲν, τρεῖς
ἀγγέλους φασὶν, οἱ δὲ ἰουδαΐζοντες ἕνα μὲν
τῶν τριῶν εἶναι λέγουσι τὸν θεὸν, ἀγγέλους
δὲ τοὺς δύο· οἱ δὲ, τύπον ἔχειν φασὶ τῆς ἁγίας
καὶ ὁμοουσίου τριάδος, πρὸς οὓς εἰρῆσθαι μο-
ναδικῶς τὸ κύριε· φαίνεται δὲ πανταχοῦ κατὰ
τὸ ἑβραϊκὸν ἐπὶ τῶν τριῶν κείμενον τὸ ἄφθεκ-

Cap. 18. τον ὄνομα τὸ ἐπὶ μόνου γραφόμενον τοῦ θεοῦ, τετραγράμματον ὂν καὶ ἐν τῷ ἱερατικῷ πετάλῳ γραφόμενον· εἰ δὲ καὶ ὤφθη θεὸς ὡς ἀνὴρ, οὐκ ἀνδρείκελον ἔχει τὸ εἶδος ὁ ἀσώματός τε καὶ ἀπερίγραφος· καὶ γὰρ πνεῦμα εἴρηται ὁ θεὸς, καὶ ἐν φλογὶ πυρὸς ὤφθη· ὡς καὶ νῦν ἀνὴρ ζώῳ λογικῷ θεωρίαν διδούς· σύμφωνον γὰρ τοῖς ὑποκειμένοις ἀεὶ τὴν θέαν παρέχεται· ἀδύνατον γὰρ αὐτὸν ὁρᾶσθαι κατὰ φύσιν αἰσθητοῖς ὀφθαλμοῖς· ἀλλ' ἡ μὲν ὄψις σαφὴς καὶ οὐκ ἀπατηλή· οὐ σαφὴς δὲ ἡ φύσις καὶ τῶν ὀφθέντων ἡ ἰδιότης· τοιοῦτον δὲ καὶ τὸ λέγεσθαι αὐτὸν βεβρωκέναι· τὸ γὰρ ἔφαγον ἐπ' αὐτοῦ, οὐ ψιλὴν ἁπλῶς φαντασίαν καὶ ἀπάτην δηλοῖ, τὴν δὲ θείᾳ δυνάμει τῶν παρατεθέντων ἀνάλωσιν· οὐ γὰρ ὀδοῦσι βέβρωκεν ὁ λέγων, μὴ κρέα μόσχων φάγομαι; οὕτω καὶ σώματος τύπος ἐξ ἀληθείας ἐφαίνετο, ἀλλ' οὐ κατὰ σώματος φθαρτὴν ἰδιότητα, τουτέστιν ἐν σαρκί τε καὶ αἵματι· ὡς καὶ τὸ πνεῦμα ἅγιον ἐν εἴδει περιστερᾶς, οὐ κατὰ φαντασίαν, κατ' ἀληθῆ δὲ θέαν ἀμοιροῦσαν τῆς τῶν περιστερῶν ἰδιότητος.

Οὕτω καὶ ὁ σωτὴρ ἐξ ἀληθείας μετεμορφώθη· οὐ γὰρ ψευδῆ φησὶν ἡ γραφή· καὶ Ἠλίας ὤφθη καὶ Μωϋσῆς ἐν σώματι, καί τοι ψυχὴ μόνον ὑπάρχων ἀσώματος μετὰ θάνατον· καὶ οὐ

νοητὰ ταῦτα πάντα καθάπερ τὰ παρὰ τῆς σοφίας λεγόμενα τῆς σφαζούσης τὰ ἑαυτῆς θύματα, καὶ εἰς κρατῆρα κεραννύσης τὸν ἑαυτῆς οἶνον· καὶ τὸ τῆς κεφαλίδος τοῦ βιβλίου ἣν ἔφαγεν Ἰεζεκιὴλ· οὐχ' οὕτω νοητὰ τὰ προειρημένα, σωματικῶς γὰρ ἐπράττετο. Ἀναβλέψας δὲ, φησὶ, τοῖς ὀφθαλμοῖς αὐτοῦ εἶδεν· οὐ γὰρ εἶδε μὴ ἀναβλέψας τοὺς κεκαλυμμένους ὀφθαλμοὺς οἷς ἡ φύσις οὐκ ἦν θεὸν βλέπειν· οὐδ' ἂν εἶδε ὠφθῆναι θελήσαντος ἐκείνου· πρὸς δὲ τῇ δρυῒ Μαμβρῇ εἶδεν, ὅπέρ ἐστιν ἀπὸ ὁράσεως· πρόσφοροι γὰρ αἱ προσηγορίαι τῇ ὀπτασίᾳ· εἶδε δὲ μεσημβρίας ἐν καθαρωτάτῃ θέρμῃ τε καὶ φωτί· προσδραμὼν δὲ, φησὶ, προσεκύνησεν· εἰκὸς, ὅτι ὡς πρὸς συνήθη λοιπὸν αὐτῷ θεωρίαν προσέδραμεν· εἴρηται γὰρ καὶ πρότερον ὅτι ὤφθη θεὸς αὐτῷ· ὅθεν φιλίως ὁ πρεσβύτης προσδραμὼν μετὰ φόβου καὶ χαρᾶς προσεκύνησεν, ᾧ καὶ τὴν δοξολογίαν εὐχαρίστῳ καρδίᾳ ἀνέπεμψεν, ὅτι αὐτῷ πρέπει τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας. Ἀμήν. Cap. 18.

ΤΕΛΟΣ ΒΙΒΛΙΟΥ

ΤΟΥ ΠΡΟΚΟΠΙΟΥ

ΤΩΝ ΕΚΛΟΓΩΝ ΕΙΣ ΤΗΝ ΓΕΝΕΣΙΝ.

Ἐξισώθη κατὰ τὸ ἑαυτοῦ πρωτότυπον.

ΠΡΟΚΟΠΙΟΥ *

ΧΡΙΣΤΙΑΝΟΥ ΣΟΦΙΣΤΟΥ

ΤΑ ΛΕΙΠΟΜΕΝΑ

ΕΙΣ ΑΣΜΑ.

ΚΕΦ. ϛ.

Cap. VI. v. 8. Μία ἐστὶ περιστερὰ τελεία τῇ μητρὶ αὐτῆς, ἐκλεκτὴ τῇ τεκούσῃ αὐτήν.

Εἴτουν ἡ μετὰ τὸ πιστεῦσαι Θεῷ, καὶ φόβῳ μὲν τῶν ἀπειλῶν καθαρθῆναι, ἐλπίδι δὲ τῶν ἐπαγγελιῶν φωτισθῆναι, ἀγαπητικῶς διατεθεῖσα * περὶ τὸ ἀγαθόν· καὶ μηδ' ἕτερόν τι ποιοῦσα αὐτὸ, ἀλλὰ δι' αὐτὸ ὡς φύσει καλόν· αὕτη γὰρ μία μέν ἐστιν, ὡς κατὰ θέσιν ἑνωθεῖσα τῷ ἑνὶ καὶ μόνῳ Θεῷ, καὶ παρ' αὐτῷ ἀκίνητος μένουσα· περιστερὰ δὲ, ὡς πνευματικὴ καὶ τελεία τῇ παναιτίᾳ σοφίᾳ, ὡς πρὸς ταύ-

* Nempe ψυχή.

(*) Quoniam opus est acephalum, idcirco desideratur auctoris nomen: verumtamen hic commentarius scribitur in codice eadem manu qua Procopii alter commentarius in Proverbia, eique proxime attexitur. Porro in Canticum Salomonis scripsisse Procopium, multo exploratissimum est; eaque lucubratio in aliis procul me codicibus integra, ut puto, servatur.

την ἀνατατικῶς δι' ἑκάστης ἀρετῆς συναχθεῖσα, τὴν ἐν αὐτῇ ποιησαμένην τὴν πρόοδον, κατὰ τὴν ἑκάστης ἀρετῆς γένεσιν· ἤ τινι σοφίᾳ καὶ ἐκλελεγμένη ἐστὶν ἀπὸ τῶν δουλίδων καὶ μισθωτῶν, ὡς υἱοθετησαμένη ταύτην κατὰ τὴν ἐν χάριτι θέωσιν. Cap. 6.

Εἴδοσαν αὐτὴν θυγατέρες, καὶ μακαριοῦσιν αὐτὴν, βασίλισσαι καὶ παλλακαὶ αἰνέσουσιν αὐτήν.

Δηλονότι ἐν πείρᾳ τῶν κατορθωμάτων αὐτῆς γεγόνασιν αἱ μόνον πισταὶ ταύτης μαθήτριαι, ἃς ἐν τῷ λουτρῷ τῆς παλιγγενεσίας ἀπέτεκε, καὶ μόνῳ λόγῳ αὐτὴν ἐκθειάσουσιν· αἱ δὲ διὰ φωτισμοῦ ἔργων καὶ δικαιοσύνης, τῆς τοῦ θεοῦ βασιλείας ἀντιποιούμεναι, καὶ αἱ διὰ φόβον τῶν κολάσεων παντοίων κακῶν ἀπεχόμεναι· καὶ δι' ἔργων ἐπαινέσουσιν αὐτὴν, ἐπειδήπερ δόξα τῆς διδασκάλου ἐστὶ τῶν μαθητριῶν ὁ φωτισμὸς καὶ ἡ κάθαρσις· περὶ ἧς καὶ ἐροῦσι

Τίς αὕτη ἐκκαλύπτουσα * ὡσεὶ ὄρθρος, καλὴ ὡς σελήνη, ἐκλεκτὴ ὡς ἥλιος, θάμβος ὡς τεταγμέναι;

* Aliter ἐκκλύπτουσα. Vulg. ἐκκυπτουσα.

Δηλαδὴ θαυμασία τίς ἐστιν (ἡ) διδάσκαλος ἡμῶν, ὡς ταῖς μὲν ἀποστάσαις τῶν ἔργων τοῦ σκότους διὰ καθάρσεως, μήπω δὲ τὰ ἔργα τῆς δικαιοσύνης καταλαβούσαις, διὰ φωτισμοῦ γνώ- v. 9.

Cap. 6. σεως συγκαταβαίνουσα διδασκαλικῶς, ὥστε ἑωθινὸν φῶς ἐν τῷ τὰ μὲν τέως ἀχώρητα ταύταις μυστήρια κρύπτειν, παραδηλοῦν δὲ τὰ χωρητὰ, καὶ ταῖς ἀπειλαῖς τῶν μελλουσῶν κολάσεων πρὸς ὑπακοὴν ἐπιστύφειν· ταῖς δὲ πιστευσάσαις μὲν τῷ τῆς ἀληθείας κηρύγματι, μήπω δὲ καθαρθείσαις τῶν τοῦ σκότους τῆς κακίας ἔργων, ἀγαθή ἐστιν· ὡς ταῖς πρὸς μετάνοιαν διδασκαλίαις, καθάπέρ τι σεληνιακὸν φῶς, τὴν νύκτα τῆς ἀγνοίας τούτων καταφαιδρύνουσα· ταῖς δ' ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατούσαις ἐναρέτοις ψυχαῖς, ἐκλελεγμένη ἐστιν, οἷά πέρ τις ἥλιος, τῶν λοιπῶν κατ' οὐρανὸν φώτων αἴγλῃ τε καὶ μεγέθει διαφανέστερος· ὡς ἀνατέλλουσα ταύταις φῶς ἀληθοῦς γνώσεως, κἀντεῦθεν ἐκπλήττουσα τὰς ὁρώσας αὐτὴν, καθάπερ ἐπιφάνειά τις ἀγγελικῶν τάξεων· καὶ ταῦτα μὲν αἱ μαθήτριαι περὶ τῆς διδασκάλου εἰρήκασι· τάδε δ' αὕτη περὶ τούτων πρὸς τὸν νυμφίον φησίν.

v. 10. Εἰς κῆπον καρύας κατέβην ἰδεῖν ἐν γεννήματι τοῦ χειμάῤῥου· ἰδεῖν εἰ ἤνθησεν ἡ ἄμπελος, εἰ ἤνθησαν αἱ ῥόαι.

Ἤτοι συγκατέβην ἐκ τοῦ ὕψους τῆς μυστικῆς θεωρίας, ταῖς γεωργούσαις ψυχαῖς, οἱονεὶ καρύα, κατὰ μὲν τὸ ἐκτὸς λέπυρον πικρὰ, κατὰ δὲ τι ἐντὸς σκληρά· κατ' αὐτὸν δὲ τὸν

ἔνδον τῶν τοιούτων λεπύρων καρπὸν, ἤδεα· τὴν Cap. 6.
τῇ πικρίᾳ τῶν ἀκουσίων πεφυλαγμένην γλυκύτητα τῶν ἀρετῶν, ἀπό τε τῶν κατ' ἔλλειψιν αὐτῶν, καὶ τῶν καθ' ὑπερβολὴν παθῶν, ὥστε θεάσασθαι ἐν τῇ ὑπομονῇ αὐτῶν κύημά τι οὔσῃ τῆς ῥεούσης θλίψεως, ἐκ τοῦ χειμῶνος τῶν πειρασμῶν· ἡ θλίψις γὰρ ὑπομονὴν κατεργάζεται· εἴτε εὐχαριστία εἴτε δυσφημία προσάγεταί σοι τῷ ἰατρικῶς ἀλλ' οὐ τιμωρητικῶς παιδεύοντι· θεάσασθαι δὲ πάλιν, ἐάν τε αὐτὸς ὁ ἐν εὐαγγελίοις εἰρηκὼς, ὅτι ἐγώ εἰμι ἡ ἄμπελος, ἐν τῇ ὑπομονῇ ταύτῃ προδείκνυσαι ὡς ἄνθος βότρυος ποιοῦντος οἶνον, τὸν φύσεως ἐκστατικὸν κατὰ τὴν τῆς θεώσεως χάριν· ὁ γὰρ ἐν ὑπομονῇ καὶ αὐτῆς τῆς ἰδίας φύσεως ὑπερορῶν, τὴν ὑπὲρ φύσιν τῆς θεώσεως δέχεται χάριν· καὶ ἐὰν αἱ δίκην ῥοιῶν τῷ μὲν φαινομένῳ λεπύρῳ στύφουσῶν, τῷ δ' ἐντὸς τούτου κεκρυμμένῳ καρπῷ, τοὺς γενομένους γλυκαινουσῶν· πεφυλαγμέναι μὲν τῷ τοῦ φόβου σου στυπτικῷ, εὐφραίνουσαι δὲ τοὺς γευσαμένους τῇ τῆς εἰς σὲ ἐλπίδος γλυκύτητι ἀρεταὶ, δηλαδὴ ἡ φρόνησις καὶ ἡ ἀκεραιότης, δίκην ἀνθοῦντος καρποῦ ἐδείχθησαν ἐν τῇ ὑπομονῇ· ἡ μὲν φρόνησις, τὴν εἰς σὲ πίστιν, ὥς τινα κεφαλὴν ἀπὸ τοῦ ἐχθροῦ φυλάττουσα ἄτρωτον· ἡ δ' ἀκεραιό-

Cap. 6. της, τὴν εἰς τὸν πλησίον ἀγάπην ἀσάλευτον ἐν ταῖς τῶν πειρασμῶν ποικίλαις ἐπαγωγαῖς· καθὼς αὐτὸς ἐν τοῖς εὐαγγελίοις εἴρηκας· ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων· γίνεσθε οὖν φόνιμοι ὡσεὶ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί.

Ἐκεῖ δώσω τοὺς μαστούς μου σοί.

Πάντως ἐν τῷ προειρημένῳ κήπῳ τῶν ἀρετῶν, ὅς ἐστιν ἐν ταύταις πεφυτευμέναι μαθήτριαι, αἳ τὴν εἰς αὐτὰς ἠθικὴν καὶ φυσικὴν διδασκαλίαν μου, οἷά περ γάλακτι, φυσικῇ καὶ καταλλήλῳ τροφῇ ταύτας τρέφουσι, προσάξω σοι τῷ νυμφίῳ ὡς ἐντεῦθεν τὸ σὸν ποιοῦσα θέλημα· καὶ σοὶ τὰς μαθητευομένας μοι προσάγουσα, οἱονεὶ φησὶ πρὸς αὐτὰς, ὅτι εἰ καὶ συγκατέβην ὑμῖν ἐκ τοῦ μυστικώτερον ὁρᾷν ἐν ἑαυτῇ τὸν νυμφίον μου, εἰς τὸ θεάσασθαι αὐτὸν καὶ ἐν ὑμῖν ὡς εἴρηκα.

v. 11. Οὐκ ἔγνων ψυχή μου.

Δηλαδὴ οὔπω ἐθεασάμην αὐτὸν ἐν ὑμῖν, ὡς μὴ τελειωθείσαις ἔτι κατὰ Χριστόν. Οὗτος δ' ἐντεῦθεν

Ἔθετό με ἅρματα Ἀμιναδάβ.

Εἴτουν πεποίηκέ με ὀχήματα ἑαυτοῦ, ὡς ταῖς διδασκαλίαις φέρουσαν αὐτὸν ἐφ' ἑαυτῆς πρὸς ὑμᾶς, διαφόρως καὶ καταλλήλως ὑμῖν· Ἀμινα-

δὰβ Γὰρ, ἄρχων λαοῦ μου ἑρμηνεύεται, ὅς ἐστι Cap 6.
Χριστὸς ὁ ἀρχηγὸς τῆς σωτηρίας ἡμῶν· αἱ δέ
φασι πρὸς αὐτήν.

Ἐπίστρεφε, ἐπίστρεφε, ἡ Σουλαμῖθις, ἐπί- v. 12.
στρεφε, ἐπίστρεφε, καὶ ὀψόμεθα ἐν σοί.

Ἤτοι συγκατάβαινε ἀπὸ τοῦ ὕψους τῆς μυστικῆς θεωρίας, πρὸς τὴν διὰ τῶν τεσσάρων Γενικῶν ἀρετῶν ἠθικὴν διδασκαλίαν ἡμῶν· συμμετριάζουσα κατὰ τὰς εἰρημένας ἀρετὰς τετραχῶς, ταῖς ἔτι ὑπὸ τῶν παθῶν ὀχλουμέναις ἡμῖν, ἡ δι' ἀπάθειαν εἰρηνεύουσα· ἡ Σουλαμῖθις γὰρ εἰρηνεύουσα ἑρμηνεύεται· καὶ θεασόμεθα ἐν σοί, ἃ μήπω ἐν ἑαυταῖς ἑωράκαμεν, διὰ τὴν ἡμετέραν ἀτέλειαν· ἐρωτᾷ δ' αὕτη αὐτάς·

ΚΕΦ. Ζ.

Τί ὄψεσθε ἐν τῇ Σουλαμίθιδι· ἡ ἐρχομένη, Cap. VII. v. 1.
ὡς χοροὶ τῶν παρεμβολῶν;

Ἤγουν τί ἐν ἐμοὶ θεάσασθε, τῇ εἰρηνευούσῃ; ὡς μηκέτι πολεμικῶς καὶ ἀγωνιστικῶς, κατὰ τὴν πρᾶξιν τὴν κεκρυμμένην μου διάθεσιν φανερούσῃ διὰ τοῦ σώματος, ἀλλὰ λογιστικῶς καὶ γνωστικῶς τοῖς ἀληθῶς ἀγαθοῖς ἐμμενούσῃ διὰ τελειότητα, ἡ ἐκ τοῦ κατὰ τῶν παθῶν πολέμου ἐπανερχομένη πληθύς, ὥσπέρ τινες ἐπι-

Cap. 7. νικίους ᾄδοντες ὕμνους χοροὶ τῶν ἐκ πολέμου ἐπανερχομένων· γενναίως γὰρ ἐν τῷ κατὰ τῶν παθῶν πολέμῳ ἀγωνισάμεναι κατὰ τοὺς τρόπους τῶν ἀρετῶν, ὡς ἐπινικίους ὕμνους, τοὺς τούτων λόγους ᾄδετε γνωστικῶς· αἱ δὲ τὸν ταύτης ἔπαινον ποιεῖσθαι ἀπαρχόμεναι, φασίν·

Τί ὡραιώθησαν διαβήματά σου ἐν ὑποδήμασι, θύγατερ Ναδάβ.

Δηλονότι θαυμάσιον κάλλος ἐνδείκνυνται αἱ κατὰ τὰς ἀρετὰς συγκαταβατικαὶ πρὸς ἡμᾶς πορεῖαί σου, ἐν τοῖς τούτων κατὰ πρᾶξιν τρόποις· οὓς οἷά περ ὑποδήματα, ὑποδέδενται· ἵνα διὰ σώματος δειχθῶσι ταῖς ἀτελέσιν ἡμῖν, καὶ τυπωθῶμεν πρὸς ἀρετὴν, τῷ κατὰ σὲ παραδείγματι θύγατερ θεοῦ, ὡς ἀκούοντα τὸν λόγον αὐτοῦ οἷα πατρὸς ὃς πάντων μὲν, κἂν μὴ θέλωσιν, ἄρχει, σοῦ δὲ καὶ ἑκουσίως· Ναδὰβ γὰρ, ἄρχων ἢ ἡγεμὼν ἑκουσιαζόμενος ἑρμηνεύεται· οὕτω δέ εἰσιν αἱ κατὰ ἀρετὴν πορεῖαι σου ὡραῖαι. Ὅτι

Ῥυθμοὶ μηρῶν σου, ὅμοιοι ὁρμίσκοις, ἔργα χειρῶν τεχνίτου.

Δηλαδὴ αἱ κατὰ λόγον εὔτακτοι κινήσεις, τῶν περὶ τὰ ἐν γενέσει καὶ φθορᾷ καταγινομένων πρακτικῶν σου δυνάμεων, τῆς ἐπιθυμίας λέγω καὶ τοῦ θυμοῦ, ὡς ὑπὸ τοῦ τεχνίτου λό-

γου, ἀπὸ τῶν γεννητῶν καὶ φθαρτῶν πρὸς τὰ Cap. 7.
ὑπὲρ ταῦτα καμπτόμεναι, παρεικάζονται ὁρμίσκοις εἰργασμένοις ὑπὸ χειρῶν τεχνίτου, κάμπτοῖς τῷ σχήματι. Ὅτι

Καὶ ὀμφαλός σου κρατὴρ τορνευτὸς, μὴ ὑστε- v. 2.
ρούμενος κρᾶμα.

Πάντως τὸ αἰσθητικόν σου, δι' οὗ ὡς δι' ὀμφαλοῦ τὸ ἐν μήτρᾳ βρέφος τρέφει φυσικῶς τὴν κατ' αἴσθησιν θεωρίαν τῶν ὄντων, συλληφθεῖσα ὑπὸ τῆς πάντων μητρὸς σοφίας, καὶ τῇ κακίᾳ νηπιάζουσα, δοχεῖον ἐστὶ τῆς φυσικῆς τῶν ὁρατῶν γνώσεως, καλῶς τῇ μαχαίρᾳ τοῦ πνεύματος ἐξεσμένον, καὶ τῆς ἀπάτης ἀπηλλαγμένον· κἀντεῦθεν ὡς μὴ ἀλόγως αἰσθητῶν ἀντιλαμβανόμενον, οὐ ψιλὰς τὰς ἐπιφανείας τῶν ὁρατῶν ἐπιφέρεται, ἀλλὰ πάσας τοῖς πνευματικοῖς τούτων λόγοις κεκερασμένας.

Ἡ δὲ κοιλία σου, θημωνία σίτου, πεφραγμένη ἐν κρίνοις.

Ἤτοι τὸ φανταστικόν σου, ὅπερ οἷα κοιλία σὺν τοῖς περιττώμασι, τοὺς ἐκ τῶν βρωμάτων χυμοὺς ἀδιακρίτους τούτων ἐπιφερομένη, ἅμα ταῖς ἐμφανείαις τῶν ὁρατῶν, τοὺς τούτων ἐπιφέρεται λόγους· ἀπόθεσίς ἐστι καὶ διαμονὴ, ὅπερ τὸ θημωνία δηλοῖ τοῦ ἔνδοθεν τῶν φανθεισῶν ἐπιφανειῶν, ὡς ὑπὸ ἀσταχύων σί-

Cap. 7. του περικαλυπτομένου τῆς ἐν ὅλοις ἀληθείας λόγου, ἄχρις ἂν μετ' ἐπιστήμης διακρίνασα, ἐφελκύσηται αὐτὸν ἡ διάνοια, καὶ γυμνὸν παντὸς ἐπικαλύμματος καὶ προβλήματος παραπέμψῃ τῷ νῷ· πεφυλαγμένη δέ ἐστιν ἡ ὑπόθεσις αὕτη, ἐν τῇ διὰ τῶν κρίνων τοῦ ἀγροῦ παραδειγματιζομένῃ ἐν εὐαγγελίους ἀμεριμνίᾳ· ἵνα μὴ ὑπὸ τῶν τοῦ βίου διαφθαρῇ μεριμνῶν, καὶ τοῦ ἐν ταύτῃ πνευματικοῦ καρποῦ ὁ καλὸς Γεωργὸς στερηθῇ· καὶ οὕτω μὲν ἡ κοιλία σου.

v. 3. Οἱ δὲ δύο μαστοί σου ὡς δύο νεβροὶ δίδυμοι δορκάδος.

Ἤγουν ἡ φυσικὴ καὶ ἡ ἠθικὴ διδασκαλία σου· δι' ὧν τὰς ἀτελεῖς τρέφεις ἡμᾶς, οἷά περ γάλακτι, τοῖς φυσικοῖς λόγοις καὶ τρόποις, πρὸς τὴν ἐν Χριστῷ τελειότητα, ἅμα ἐκ σοῦ κατὰ μὲν θεωρίαν ὀξυδερκῶς, κατὰ δὲ πρᾶξιν ἄλγον * ἐπιδεικνυμένης. Πρὸς τούτοις δὲ

* ἄλγος? λογον?

v. 4. Τράχηλός σου, ὡς πύργος ἐλεφάντινος.

Εἴτουν τὸ συνάπτον τῷ νῷ τὴν αἴσθησιν λογικόν σου, καθάπερ τράχηλος τῇ κεφαλῇ τὸ λοιπὸν σῶμα, οἷα μὲν πύργος αἴρεται κατ' ἀρετὴν ἀπὸ τῶν σαρκικῶν, καὶ πρὸς τὰ πνευματικὰ καὶ οὐράνια· οἷα δ' ἐλεφάντινος, λεῖον ὑπάρχει καὶ καθαρὸν, διὰ τὸ ἀπηλλάχθαι τῆς κατ' ἔλλειψιν ἀρετῆς καὶ ὑπερβολὴν, μολυντικῆς τῆς ψυχῆς ἀνισότητος.

Καὶ ὀφθαλμοί σου ὡς λίμναι ἐν Ἐσσεβὼν, Cap. 7.
ἐν πύλαις θυγατρὸς πολλῶν.

Δηλαδὴ αἱ θεωρητικαὶ τῆς ψυχῆς σου οἷά περ λίμναι συναγωγοὶ τῶν ἐκ ταύτης εἰσρεόντων ὑδάτων, συνάγουσιν ἐν τῇ αὐξήσει τῆς κατ' ἀρετὴν θείας καρποφορίας, ὅπερ τὸ Ἐσσεβὼν ἑρμηνεύεται, διὰ μέσων τῶν αἰσθήσεων, δι' ὧν ὡς τινων πυλῶν εἰς νεαρὰν ψυχὴν ἡ τῶν ὅλων γνῶσις εἰσιέναι πέφυκε, τὴν τικτομένην κατὰ θεωρίαν γνῶσιν ἐκ τῆς διαφόρου φύσεως τῶν ὄντων. Πρὸς δὲ τούτοις

Μυκτήρ σου, ὡς πύργος τοῦ Λιβάνου, σκοπεύων πρόσωπον Δαμασκοῦ.

Δηλονότι τὸ οἷά περ εὐωδίαν ἀπὸ δυσωδίας διαχωρίζον, τὰς ὑποθήκας τῶν εἰς διακονίαν ἀποστελλομένων διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν λειτουργικῶν πνευμάτων, ἀπὸ τῶν ὑποβολῶν τῶν τῆς πονηρίας πνευμάτων διακριτικόν σου· οἱονεὶ πύργος ὑψηλοτάτου κατὰ τὸν Λίβανον ὄρους, ἀποβλέπον κατὰ πρόσωπον τῆς πόλεως Δαμασκοῦ· καὶ τὰς ἐκεῖθεν τῶν ἐχθρῶν ἐφόδους τῷ Ἰσραὴλ μηνύων, ἀνέπαφόν σε τῆς παρ' αὐτῶν βλάβης διατηρεῖ· τοιοῦτον δέ σου ἐστι τὸ διακριτικόν. Ὅτι

Κεφαλή σου ἐπὶ σὲ ὡς Κάρμηλος. v. 5.

Πάντως Χριστὸς ὁ νυμφίος σου, ὁ ζῶν καὶ

Cap. 7. ἐνεργὴς λόγος, καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος, ἐπίγνωσίς ἐστιν ἐν σοὶ περιτομῆς, ὅπερ Κάρμηλος ὀνομάζεται, περιελὼν σου τὸ ἀπὸ γενέσεως τῶν παθῶν κάλυμμα, τῇ μαχαίρᾳ τοῦ πνεύματος· κἀντεῦθεν τὸ ὄμμα τῆς διανοίας σου καθαρῶς ὁρᾷν δύναται τὰς μηχανὰς τῶν νοητῶν ἐχθρῶν, μή τινος πάθους ἐπισκοτοῦντος αὐτῷ. Διόπερ

Καὶ πλόκιον κεφαλῆς σου, ὡς πορφύρα.

Ἤτοι ἡ διὰ λόγων καὶ τρόπων πλεχθεῖσα σοι διδασκαλία αὐτοῦ Χριστοῦ, οἷα βασιλείας ἔνδυμά ἐστι τοῦ νοός σου περιβολὴ, ἐν ᾗ οὗτος παθῶν γίνεται αὐτοκράτωρ, καὶ ὑπάρχει

Βασιλεὺς δεδεμένος ἐν παραδρομαῖς.

Ἤγουν μή τινι ὑποκείμενος πάθει, ἀλλὰ τῇ σχοίνῳ τῆς εἰρημένης θείας διδασκαλίας δεδεσμημένος ἐν παρόδοις τῆς παρούσης βιοτῆς, ἵνα μὴ καταπέσῃ τῷ κατ' αἴσθησιν τῶν προσκαίρων ὀλισθηρῷ. Διὰ γοῦν ταῦτα πάντα

v. 6. Τί ὡραιώθης, καὶ τὶ ἡδύνθης;

Εἴτουν θαυμάσιον περιεβάλου κάλλος, δηλαδὴ τὸ καθ' ὁμοίωσιν τοῦ ἀρχετύπου, καθ' ὃ τῷ νυμφίῳ συγγινομένη, καὶ ἀπολαύουσα τούτου, ἐπλήσθης σωματικῆς * ἀφράστου ἡδονῆς, καὶ γὰρ

* πνευματικῆς ?

'Αγάπη ἐν τρυφαῖς σου. Cap. 7.

Δηλονότι ταῖς κατ' ἀρετὴν· γευσαμένη γὰρ καὶ θεασαμένη ὅτι Χριστὸς ὁ κύριος, οὐκ ἔτι φόβῳ τῷ ἀγαθῷ ἐντρυφᾷς, ἀλλ' ὅλης τῆς ἀγάπης τούτου ἐξήρτησαι, ἥ τις ἔξω βάλλει τὸν φόβον. Ὅθεν

Τὸ μέγεθός σου ὁμοιώθη τῷ φοίνικι. v. 7.

Πάντως τὸ κατ' ἀρετὴν ὕψος σου, παρείκασται τῷ τῇ μὲν γῇ οὐκ εἰς βάθος ἐῤῥιζωμένῳ, εἰς ὕψος δ' ἱκανῶς ἀνατρέχοντι φοίνικι· καὶ γὰρ καὶ αὐτὴ τῶν γηΐνων διὰ τὴν ἀνάγκην τοῦ σώματος ἄκροις τοῖς λογισμοῖς ἐπιψαύουσα, αὐτῶν ἅπτη τῶν οὐρανίων, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ φθάσασα.

Καὶ οἱ μαστοί σου τοῖς βότρυσιν.

Ἤγουν ἡ ἠθικὴ καὶ ἡ φυσικὴ διδασκαλία σου· δι' ὧν ἡμᾶς ἔτι νηπίας οὔσας, γάλα ἐπότισας, εἰσαγωγικῶς πρὸς θεοσέβειαν ἐκπαιδεύουσα· νῦν ὁμοιοῦνται τοῖς τοῦ φοίνικος βότρυσιν, ἐν τῷ ἐστιᾷν ἡμᾶς προκοψάσας εἰς τελειότητα, τὴν θειοτέραν διδασκαλίαν, ὡς μελιτώδη γλυκύτητα τῶν βοτρύων τοῦ φοίνικος· τὸ γοῦν μέγεθός σου τῆς διδισκάλου, τῷ φοίνικι παρεικάσασα ἡ μαθητευομένη σοι πληθύς.

Εἶπα, ἀναβήσομαι ἐπὶ τῷ φοίνικι· κρατήσω v. 8.

Cap. 7. τῶν ὕψεων αὐτοῦ, καὶ ἔσονται δὴ μαστοί
σου ὡς βότρυες τῆς ἀμπέλου.

Δηλαδὴ ἐν ἐμαυτῇ βουλευτικῶς ἔφην, ἀνελεύσομαι μιμητικῶς ἐπὶ τὴν κατ' ἀρετὴν τῆς διδασκάλου μου τελειότητα, καὶ τὰ κατὰ γνῶσιν ὑψηλότατα αὐτῆς καταλήψομαι θεωρήματα· καὶ αἱ φυσικῶς οἷα μαζοὶ τρέφουσαί με διδασκαλίαι σου, ὑπάρξουσι πάντως ὡς βότρυες τῆς ἀληθινῆς ἀμπέλου Χριστοῦ, χορηγοῦσαι μοι τὴν κατὰ χάριν θέωσιν· ἥτις δίκην οἴνου, φύσεως τὸν νοῦν ἐξιστᾷ, καὶ πρὸς τὰ ὑπὲρ φύσιν μεθίστησιν. Ἐντεῦθεν δὲ

Καὶ ὀσμὴ ῥινός σου, ὡς μῆλα.

Εἴτουν ἡ πληροῦσα με νοητῆς εὐωδίας τοῦ παναγίου πνεύματος χάρις· ἣν αὐτὴ μὲν εἰσέπνευσας, ἀπὸ τοῦ νυμφίου ταύτης μεταλαβοῦσα· ἐμοὶ δὲ ταύτην ἐνέπλευσας, μεταδοῦσα μοι αὐτῆς, οἷά περ μῆλα, τὴν ὥραν μὲν εὐπρεπῆ, εὐώδη δὲ τὴν ὀσμὴν, καὶ τὴν γεῦσιν ἡδέα· εὐπρεπὴς μὲν κατὰ τοὺς τρόπους τῶν ἀρετῶν, εὔπνους δὲ κατὰ τοὺς λόγους αὐτῶν, καὶ γλυκεῖα κατὰ τὴν πεῖραν μοι ἔσεται.

v. 9. Καὶ ὁ λάρυγξ σου ὡς οἶνος ἀγαθὸς, πορευόμενος τῷ ἀδελφιδῷ μου εἰς εὐθύτητας· ἱκανούμενος χείλεσί μου καὶ ὀδοῦσιν.

Ἤτοι ὁ διδασκαλικὸς λόγος σου, οἷά περ

οἶνος κάλλιστος, καρδίας εὐφραντικὸς ὑπάρξει Cap. 7.
μοι, προφερόμενος αὐτῷ ἀγαπητῷ μου· οὗ μοι αὐτὴ τὸν πόθον ἐνέσταξας, εἰς ἀπλανεῖς κατ' ἀρετὴν ὁδοὺς ἐν τῷ ἔχεσθαι τούτου ὡς ἀληθείας, καὶ μὴ συγχωρεῖν με εἰς τὰ κατ' ἔλλειψιν τῆς ἀρετῆς πάθη ἢ καθ' ὑπερβολὴν πλαγιάζειν· πρὸς δὲ καὶ ἀρκῶν ταῖς τε ὀρεκτικαῖς μου δυνάμεσι, δι' ὧν οἷα χειλέων, πᾶν ἀσπάζομαι τὸ κατὰ βούλησιν· καὶ ταῖς διανοητικαῖς, δι' ὧν ὥς τινων ὀδόντων πρὸς βρῶσιν πνευματικὴν, τὸ δυσχερὲς τῶν νοημάτων καταλεαίνω· τῆς γοῦν πληθύος τῶν μαθητευομένων, ἀπαιτησάσης τὸν διδάσκαλον, ἐπιστρέψαι ἀπὸ τοῦ ὕψους τῆς μυστικῆς θεωρίας, καὶ συγκαταβῆναι κατὰ τὴν ἠθικὴν φιλοσοφίαν αὐταῖς, ὥστε θεάσασθαι ἐν αὐτῇ τὰ εἰρημένα ταύτης πνευματικὰ κάλλη, καὶ συναναβῆναι ταύτῃ διὰ μιμήσεως. Πρὸς ταύτας αὕτη φησὶν

Ἐγὼ τῷ ἀδελφιδῷ μου, καὶ ἐπ' ἐμὲ ἡ ἐπι- v. 10.
στροφὴ αὐτοῦ.

Ἤγουν, ἐγὼ τῷ ἀγαπητῷ μου τὴν ὑπὲρ ὑμῶν δέησιν προσαγάγω, ἡ ἀναθεμένη ἐμαυτὴν ὅλην αὐτῷ, καὶ χωρὶς αὐτοῦ μηδὲν ποιεῖν βουλομένη· καὶ ἐπ' ἐμὲ τὴν οὕτω φρονοῦσαν, ἡ ἀπὸ τῆς ἰδίας περιοπῆς ἐπιστροφὴ αὐτοῦ ἔσται, ἐπακούοντος τῆς ὑπὲρ ὑμῶν δεήσεώς μου, καὶ δι'

Cap. 7. ἐμοῦ ὑμῖν ἐπικαμπτομένου τε καὶ ὁρωμένου τοῦ ἀοράτου· ἀναφέρουσα δὲ αὐτῷ τὴν ὑπὲρ ὑμῶν αἴτησιν. Καὶ φησὶν

v. 11. Ἐλθὲ ἀδελφιδέ μου, ἐξέλθωμεν εἰς ἀγρόν.

Εἴτουν δεῦρο ἀγαπητέ μου, ἐξέλθωμεν ἐγώ τε ἡ μυστικῶς θεωροῦσά σε, καὶ αὐτὸς οὕτω μοι θεωρούμενος, πρὸς τὸν χορὸν τῶν μαθητευομένων μοι· ὃν ὥσπερ ἀγρόν τινα τριβόλων καὶ ἀκανθῶν τῶν συμπνιγουσῶν αὐτὸν τοῦ βίου μεριμνῶν καὶ λογισμῶν ἐμπαθῶν, ἐξεκάθηρα· ἐξέλθωμεν δὲ, φανερώσοντες αὐτῷ τὴν πνευματικὴν συνάφειαν ἡμῶν, ἐν τοῖς κατὰ πρᾶξιν τρόποις τῶν ἀρετῶν· ἐξιόντες δ' ὡς εἴρηται,

Αὐλισθῶμεν ἐν κώμαις.

Ἤγουν κατασκηνώσωμεν σου ἐν ψυχαῖς, ταῖς ἐν τῷ ὀνόματί σου πάσας τὰς θεωρητικὰς καὶ τὰς ὀρεκτικὰς δυνάμεις αὐτῶν, καὶ τὰς αἰσθήσεις ἐπὶ τὸ αὐτὸ συναθροιζούσαις, οἷά περ κῶμαι τοὺς οἰκοῦντας αὐτάς· αὐτὸς μὲν οἰκητήριόν σου, ἐν ἁγίῳ πνεύματι ταύτας ποιούμενος, ἐγὼ δὲ αὐτὴν παριστῶσα ταύταις παράδειγμα πρὸς σὴν εὐαρέστησιν.

v. 12. Ὀρθρίσωμεν εἰς ἀμπελῶνας.

Αὐτὸς μὲν ὁ ἥλιος τῆς δικαιοσύνης ἀνατέλλων φῶς γνώσεως ταῖς καρποφορούσαις ψυχαῖς τὴν τῶν πόνων ὑπομονὴν· ἥπερ, ὅς τις βότρυς

διὰ πολλῶν θλίψεων ἀποστάζει τὸν διὰ τὴν ἐλπίδα τῆς μελλούσης μισθαποδοσίας εὐφραντικὸν τῆς καρδίας οἶνον· ἐγὼ δὲ κατὰ τὴν εἰρημένην ἀνατολὴν, τοὺς τρόπους τῆς ὑπομονῆς ταύταις ὑποδεικνύουσα τῷ κατ' ἐμὲ παραδείγματι· οὕτω δ' ὀρθρίσαντες Cap. 7.

Ἴδωμεν εἰ ἤνθησεν ἡ ἄμπελος· ἤνθησεν ὁ κυπρισμός· ἤνθησαν αἱ ῥόαι.

Ἤτοι θεασώμεθα σύ τε ὁ ἐν τῷ κρυπτῷ βλέπων, κἀγὼ ἡ ἐν τῷ φανερῷ, ἐὰν ἡ εἰς σὲ τῶν μαθητευομένων μοι πίστις ἤ τις εἰς τὰς διαφόρους ἀρετὰς, οὗ εἰς κλίματα ἄμπελος διαιρεῖται, ἤνθησεν ἐντός τε καθ' ἕξιν τοῖς λόγοις τῶν ἀρετῶν, καὶ ἐκτὸς κατ' ἐνέργειαν τοῖς τρόποις αὐτῶν· ὁ γὰρ κατὰ τοὺς λόγους τῶν ἀρετῶν ἀνθισμὸς τῆς ψυχῆς, κυπρίζει κατὰ τοὺς τρόπους αὐτῶν ἐν σαρκί· ἧς πίστεως τὸ ῥηθὲν μυστικὸν καὶ φανερὸν ἄνθος, ῥοῶν ἐστὶν ἄνθος, αἵπερ ἐντὸς μὲν τὸ γλυκύ τοῦ καρποῦ περιφέρουσιν, ἐκτὸς δὲ τὸ τοῦ λεπύρου πικρόν· καὶ γὰρ καὶ ὁ τῆς πίστεως καρπὸς, κατὰ μὲν τὴν κεκρυμμένην τῆς ψυχῆς διάθεσιν, εὐφραντικός ἐστι, διὰ τὴν τῆς μενούσης μισθαποδοσίας ἐλπίδα· κατὰ δὲ τὴν ἐκτὸς τῆς σαρκὸς ὀδυνηρὸς, διὰ τὸ τῆς ἀρετῆς ἐπίπονον.

Cap. 7. Ἐκεῖ δώσω τοὺς μαστούς μου σοί.

Δηλονότι ἐν τῷ εἰρημένῳ ἀγρῷ τῶν μαθητευομένων μοι, προσαγάγω σοι τῷ νυμφίῳ μου τὴν πρὸς ταύτας ἠθικὴν καὶ φυσικὴν διδασκαλίαν μου· ὡς διὰ τούτων αὐτὰς πρὸς σὴν μυσταγωγίαν ἀνάξασα, ἐν τῷ ἀποδεῖξαι τὴν τῶν ὅλων φύσιν, σὲ τὸν ταύτης αἴτιον αἰνιττομένην συμβολικῶς ἀλήθειαν, καὶ οὐχὶ κατὰ τοὺς ματαιόφρονας ἕλληνας, παρασκευάσασα ταύτας ταῖς φυσικαῖς ἐννοίαις, μακράν σου τῆς ἀληθείας ἀπάγεσθαι.

v. 13. Καὶ γὰρ αἱ μανδραγόραι ἔδωκαν ὀσμήν.

Πάντως αἱ τῶν αἰσθητῶν ἐπιφάνειαι, κατὰ τῆς γραφῆς σύμβολα, ἅπερ τὸν τούτοις κατ' αἴσθησιν ἐναπομένοντα νοῦν, καὶ μὴ δι' αὐτῶν πρὸς τὴν ἀλήθειαν ἐγρηγορότως διαβαίνοντα, ναρκᾷν καὶ ἠλιθιᾷν ὥς τινες μανδραγόραι παρασκευάζουσι, παρέσχον εὐωδίαν τῶν τῆς ἐν ὅλοις ἀληθείας λόγων πνευματικῶς θεωρούμενα. Ἐντεῦθεν δὲ

Καὶ ἢν θύραις ἡμῶν πάντα τὰ ἀκρόδρυα.

Εἴτουν ἐπὶ ταῖς αἰσθήσεσί μου, αἵ περ ὡς θύραι τινὲς ἐξάγουσι μὲν ἐμὲ πρὸς ἀναζήτησίν σου, ὡς πάντων αἰτίου, διὰ τῆς τούτων φυσικῆς ἐν πνεύματι θεωρίας· εἰσάγουσι δὲ κατὰ γνῶσιν πρός με διὰ μέσου νοός· πρόθυροί εἰσι

πάντες οἱ τοῖς τε συμβόλοις τῆς γραφῆς, καὶ ταῖς ἐπιφανείαις τῶν αἰσθητῶν, ἅπερ ὡς δρῦες τινὲς ἀλογίαν ἰουδαικὴν καὶ ἑλληνικὴν ἔτρεφον ἐγκεκεντρισμένοι τῆς ἐν ὅλοις ἀληθείας λόγοις. Cap. 7.
Ὅθεν

Νέα πρὸς παλαιὰ ἀδελφιδέ μου ἐτήρησά σοι.

Δηλαδὴ τοὺς νεάζοντας, τῇ καινοποιῷ τοῦ πνεύματος χάριτι, εὐαγγελικοὺς λόγους πρὸς τοῖς παλαιωθεῖσιν ὑπὸ τῆς ἑλληνικῆς καὶ ἰουδαικῆς ἀνοίας, φυσικοῖς καὶ γραπτοῖς, ἀγαπητέ μου, ἐφύλαξά σοι· τοῖς μὲν γραπτοῖς, καθαρθεῖσα καὶ ἠθικῶς παιδευθεῖσα, τοῖς δὲ φυσικοῖς φωτισθεῖσα, καὶ τοῦ παντὸς αἴτιόν σε διὰ τῆς τῶν γεγονότων θεωρίας κηρύττουσα, καὶ τοῖς πνευματικοῖς τελειωθεῖσα, θεολογοῦσά σου τὸ μετὰ πατρὸς καὶ πνεύματος ὁμοούσιον. Λοιπὸν

ΚΕΦ. Η.

Τίς δῴη σε ἀδελφιδόν μου θηλάζοντα μαστοὺς μητρός μου; Cap. VIII. v. 1.

Ἤγουν ἐπειδήπερ μὴ ἡ πρώτη σου παρουσία, πρὸς τὸ ἀπολαῦσαί σου ἡτοίμασται, τίς μοι κατὰ τὴν δευτέραν σου παρουσίαν παράσχῃ σε τὸν ἀγαπητόν μου μεθ' ἡμῶν ἐν τῇ τοῦ πατρὸς βασιλείᾳ; ἢ τίς ἐστιν ἡ μήτηρ ἡμῶν τῶν

Cap. 8. πιστῶν, ἄνω Ἱερουσαλήμ; πίνοντα τὸ καινὸν πόμα ῥέον ἐξ αὐτῆς εἰς ἡμᾶς κατὰ χάριν ἀμέσως, ὡς τὸ ἀπὸ μαζῶν μητρὸς γάλα εἰς τὰ ἔκγονα ταύτης, κἀντεῦθεν τρεφόμενον τὴν τῶν ψυχῶν ἡμῶν σωτηρίαν, τὸ τέλος τῆς πίστεως τῶν ὑπὲρ φύσιν τὴν μέθεξιν, τὴν θείαν καὶ ἀνεννόητον ἡδονήν· ἣν αὐτὸς ποιεῖν πέφυκας φύσει, κατὰ χάριν τοῖς ἀξίοις ἑνούμενος· οὕτω γὰρ

Εὑροῦσα ἔξω φιλήσω σε· καί γε οὐδὲ ἐξουδενώσουσί με.

Ἤτοι ἐπιγνοῦσα σε, οὐχ' ὥσπερ νῦν κατὰ πίστιν, ἀλλὰ κατ' εἶδος ἐν τῇ ἔξω τῆς θεϊκῆς σου οὐσίας ἡμετέρᾳ οὐσίᾳ τὴν ἀφθαρσίαν ἡμῖν καὶ τὴν ἀτρεψίαν ἐπὶ τῆς κοινῆς δωρούμενον ἀναστάσεως, ἀπολαύσω σου ἀμυκτηρίστως· κᾂν νῦν παρὰ τῶν τὰ τοῦ κόσμου φρονούντων ἐξευτελίζομαι, ὡς διὰ τὴν περὶ σὲ διάθεσιν, πάντα περιφρονοῦσα τὰ πρόσκαιρα· τίς δ' ὁ τρόπος τῆς ἀπολαύσεως ἔσται μοι; Καὶ γὰρ

v. 2. Παραλήψομαί σε· εἰσάξω εἰς οἶκον μητρός μου, καὶ εἰς ταμιεῖον τῆς συλλαβούσης με· ποτιῶ σε ἀπὸ οἴνου τοῦ μυρεψικοῦ, ἀπὸ νάματος ῥοῶν μου.

Δηλονότι παρά σοῦ χαριζομένου μου τὴν θέωσιν, λάβω σε ποθοῦσά σου τὴν λαμπρότητα· καὶ ἐν τῷ ταύτην θεάσασθαι, εἰσαγάγω σε

εἰς νοῦν, ὅς οἶκος * μέν ἐστι τῆς διὰ βαπτίσματος τεκούσης με οἷα μητρὸς, τοῦ παναγίου πνεύματος χάριτος, ὡς ταύτης διὰ τὸ καθ' ὁμοίωσιν χωρητικός· ταμιεῖον δὲ πάλιν αὐτῆς, ὡς τοὺς ἀποκρύφους ταύτης θησαυροὺς διὰ τὸ κατ' εἰκόνα ἔχων ἀποθέτους ἐν ἑαυτῷ· ἥ τις με χάρις συνέλαβε διὰ πίστεως· πρὸς τούτοις δὲ προσάξω σοι τῷ διψῶντι τὴν σωτηρίαν μου, ὥς τι πόμα, τήν τε ἀπὸ τῆς συνθέσεως τῶν ἐν πάσῃ τῇ κτίσει καὶ τῇ Γραφῇ διαφόρων λόγων ἠρτυσμένην μοι ἄληστόν σου, ὡς ἀληθείας, γνῶσιν ἥ τις οἷά περ εὐώδης οἶνος, ἱλαρύνων καρδίαν, εὐφραίνει τὰς μεταλαμβανούσας ταύτης ψυχάς· καὶ τὴν ἀεννάως μοι βλύζουσαν ἀγάπησίν σου, ὡς ἀγαθοῦ, ἀπό τε τοῦ φόβου τῆς ὑπεροχῆς σου, καὶ τοῦ πόθου τῆς μετοχῆς σου, τῶν δίκην ῥοιῶν, τῷ μὲν στυπτικῷ, στηριζόντων με, τῷ δὲ γλυκαίνοντι, εὐφραινόντων με· εἶτα πρὸς τὰς μαθητευομένας αὐτῇ στρέφουσα πάλιν τὸν λόγον, διδάσκει τὴν αἰτίαν τῶν παρ' αὐτῆς πρὸς τὸν νυμφίον εἰρημένων, φάσκουσα Cap. 8. * Cod. οἷα.

Εὐώνυμος αὐτοῦ ὑπὸ τὴν κεφαλήν μου. v. 3.

Ἤγουν ἐπειδήπερ αἱ τῶν ὑποδεχομένων κολάσεων τοὺς ἐξ εὐωνύμων τοῦ νυμφίου μου ἀπειλαὶ, νῦν ὑπὸ δίκην κεφαλῆς ἀρχικὸν τῆς ψυχῆς μου, πάντως τὸ νοερὸν ὑποτάσσουσι τὸ αἰσθητικόν· διὰ τοῦτο ἐν ἐλπίσιν εἰμὶ ὅτι

Cap. 8. Καὶ ἡ δεξιὰ αὐτοῦ περιλήψεταί με.

Εἴτουν τὰ ὑποδεχόμενα τοὺς ἐκ δεξιῶν ἐπηγγελμαι ἀγαθὰ τῆς τοῦ Θεοῦ βασιλείας, ὅλην με κατὰ τὸν μέλλοντα αἰῶνα περιέξουσι ψυχῇ καὶ σαρκὶ τὴν ἀπέραντον εὐφροσύνην παρέχοντα. Πάντα δὲ τὰ εἰρημένα διδασκαλικῶς εἰποῦσα,

v. 4. Ὥρκισα ὑμᾶς, θυγατέρες Ἱερουσαλὴμ, ἐν ταῖς δυνάμεσι, καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ, τί ἐγείρετε καὶ τί ἐξεγείρετε τὴν ἀγάπην ἕως ἂν θελήσῃ;

Ἤτοι κατησφαλισάμην ὑμᾶς ὡς δι᾽ ὅρκου, τῆς τῶν θείων μυστηρίων ἐξηγήσεως, μαθήτριαί μου, τῆς ἐν ἁγίῳ πνεύματι ὁρώσης τὸν καταλλάξαντα ἡμᾶς τῷ ἰδίῳ πατρὶ, ἀναδιδάξασα τὴν αἰτίαν, δι᾽ ἣν ἐν ταῖς θεωρητικαῖς καὶ ταῖς πρακτικαῖς δυνάμεσι, καὶ ἰσχύσεσι, ταῖς ἐν τῷ παρόντι κόσμῳ ἐνεργεῖν δυναμέναις· ἐγείρετε καθ᾽ ἀρετὴν, καὶ ἐξεγείρετε κατὰ γνῶσιν ἐν ὑμῖν καθεύδειν δοκοῦντα, ὅταν ἀγνοῆτε τὸ εὐθὲς, καὶ μὴ πράττητε τὸ καλὸν, τὸν ἀγαπήσαντα ἡμᾶς, καὶ δόντα ἑαυτὸν λύτρον ὑπὲρ ἡμῶν, ἕως ἂν εὐδοκήσῃ κατὰ τὴν δευτέραν αὐτοῦ παρουσίαν, αὐτὸς τὰ κατὰ φύσιν οἰκεῖα δρᾶν ἐν ἡμῖν, πάσχουσι κατὰ χάριν αὐτά. Αἱ δὲ θάμβει πληρωθεῖσαι, περὶ τῆς διδασκάλου φασί·

Τίς αὕτη ἡ ἀναβαίνουσα λελευκανθισμένη, ἐπιστηριζομένη ἐπὶ τὸν ἀδελφιδόν αὐτῆς; Cap. 8. v. 5.

Δηλαδὴ, ὁποία ὑπάρχει αὕτη, διδασκαλικῶς ἀπὸ μυστηρίων εἰς μυστηριωδέστερα ἀναβαίνουσα, κεκαθαρμένη ἀπὸ παντὸς ῥύπου ἁμαρτημάτων καὶ ἐπερειδομένη ἐπὶ τὸν αὐτῆς διὰ τῆς βεβαίας εἰς αὐτὸν (νυμφίον) πίστεως; ὁ γοῦν νυμφίος τὴν ἐπὶ ταῖς μαθητευομέναις τῆς νύμφης ὁρῶν ἐπιμέλειαν, καὶ ἀποδεχόμενος τὴν ταύτης εἰς τὸ ἀγαθὸν διέγερσιν, ἀναμιμνήσκει αὐτὴν τοῦ προτέρου βίου, ὥστε μετριοφρονεῖν, καὶ μὴ διὰ τῶν ἐπαίνων, τῷ τῆς οἰήσεως πάθει περιπεσεῖν· καὶ φησὶ πρὸς αὐτήν·

Ὑπὸ μῆλον ἐξήγειρά σε.

Ἤγουν ὑπὸ τὴν δίκην μήλου τέρποντος τὰς πλείους τῶν αἰσθήσεων, ἁπάσας ταύτας εὐφραίνουσαν αἰσθητικὴν κτῆσιν, καθευδούσης σου τῇ πρὸς τὰ καλὰ ῥαθυμίᾳ καὶ τὴν πρὸς τὰ ὑλικὰ σχέσιν, διήγειρά σου τὸ φρόνημα πρὸς πόθον ἐμὸν λόγοις προνοίας καὶ κρίσεως.

Καὶ γὰρ ἐκεῖ ὠδίνησέ σε ἡ μήτηρ σου· ἐκεῖ ὠδίνησέ σε ἡ τεκοῦσά σε.

Δηλονότι ἐν τῇ σχέσει τῶν ὑλικῶν συνελάβετό σε ἡ προμήτωρ σου Εὔα τῇ καθ' ἡδονὴν γενέσει, καὶ ἀπέτεκέ σε τῇ κατ' ὀδύνην γεννήσει· ὑφ' ὧν συνείχου τῇ προσπαθείᾳ τῶν αἰ-

Cap. 8. σθητῶν, τὴν μὲν ἡδονὴν διώκουσα, τὴν δ' ὀδύνην φεύγουσα· κἀντεῦθεν φιλονεικοῦσα, τῆς ἡδονῆς τὸ τέλος, τὴν ὀδύνην φημὶ, ταύτης ἀποχωρίσαι, ὅπερ ἀμήχανον· εἰ οὖν βούλει διαμένειν τῆς τοιαύτης σχέσεως ἐλευθέρα,

v. 6. *Θές με ὡς σφραγίδα ἐπὶ τὴν καρδίαν σου, ὡς σφραγίδα ἐπὶ τὸν βραχίονά σου.*

Εἴτουν ἐν ἐμοὶ τῷ ἀρχετύπῳ μεῖνον, τηροῦσα τῷ μὲν ἡγεμόνι σου νῷ, τὸ κατ' εἰκόνα, κατ' ἀπλανῆ θεωρίαν, καὶ διάθεσιν ἀγαπητικὴν ἐμοῦ· τῇ δ' ἐνεργητικῇ σου δυνάμει, τὸ καθ' ὁμοίωσιν, κατὰ πρᾶξιν ἀνυπόκριτον, καὶ διάπειρον * ἀποτροπὴν τοῦ κακοῦ· κἀντεῦθεν μενῶ καὶ αὐτὸς ἐν σοὶ, φυλάττων ὥς τις σφραγὶς τοῦ διανοητικοῦ σου τὴν ἕξιν καὶ τὴν ἐνέργειαν, ἀσύλους τῇ σχέσει τῶν ὑλικῶν.

* διάπειρον?

Ὅτι κραταιὰ ὡς θάνατος, ἀγάπη· σκληρὸς ὡς ᾅδης, ζῆλος.

Ἤτοι ἐὰν τῇ ἀγάπῃ καὶ τῷ δι' αὐτὴν ζήλῳ μενῇς, μενῶ καὶ αὐτὸς ἐν σοὶ· καὶ φυλαχθήσῃ, ὡς εἴρηται· ἐπειδήπερ ἡ μὲν ὁλικὴ εἰς ἐμὲ ἀγάπη, ἰσχυρά ἐστιν ὡς πᾶσας ἐπὶ κακὸν ὁρμήν τε καὶ κίνησιν καταπαύουσα, δίκην θανάτου· ὁ δὲ δι' ἐμὲ ζῆλος, ἀνένδοτος τῷ κακῷ, ὡς τὰς ἀλόγους ὁρμὰς δεσμεύων, καὶ ἀπροΐτους κατέχων, οἷά περ ᾅδης.

Καὶ γὰρ περίπτερα αὐτῆς, περίπτερα πυρὸς φλόγες αὐτῆς. Cap. 8.

Δηλαδὴ ὅτι ὁ ἐκ πίστεως τῶν ἠπειλημένων κολάσεων φόβος, καὶ ὁ ἐπ' ἐλπίδι τῶν ἐπηγγελμένων ἀγαθῶν πόθος, εἰσὶ περὶ τὴν ἀγάπην ὥς τινα πτερὰ κατὰ πρᾶξιν καὶ θεωρίαν ἀνυψοῦντα αὐτὴν ἀπὸ πάντων τῶν γηΐνων πρός με τὸν ὑπερουράνιον· καὶ οἷα μέν τινος πυρὸς, τῆς ἀγάπης εἰσὶ περίπτερα· ὡς τοῦ μὲν φόβου καταβαίνοντος * πᾶσαν κακίαν, καὶ ἐκκαθαίροντος τὴν ψυχὴν ἀπὸ παντὸς παθῶν μολυσμοῦ· τοῦ δὲ πόθου, ἐξάπτοντος αὐτὴν πρὸς θεόν· οἷα δὲ αὐτῆς αὖθις τῆς ἀγάπης εἰσὶ φλόγες, ὡς ταύτης αὐγαζούσης τῇ ψυχῇ, ἔν τε τῷ φλέγεσθαι ταύτην θείῳ πόθῳ, καὶ συντηρεῖσθαι τὸν καταφλέγοντα αὐτὴν πόθον ἁγνῷ φόβῳ, διαμένοντι εἰς αἰῶνα αἰῶνος· ταύτην δὲ

* καταχαίοντος?

Ὕδωρ πολὺ οὐ δυνήσεται σβέσαι τὴν ἀγάπην, καὶ ποταμοὶ οὐ συγκλύσουσιν αὐτήν. v. 7.

Ἤγουν αἱ ῥέουσαι ὡς πλῆθος ὑδάτων ἐκ τοῦ χειμῶνος τῶν ἀκουσίων πειρασμῶν πολλαὶ θλίψεις, καὶ αἱ τούτων ἀλλεπάλληλοι, ὡς ποτάμια ῥεύματα ἐπαγωγαὶ, ἐν αἷς τὰ τῆς πονηρίας πνεύματα τὴν εἰς ἐμὲ ἀγάπην σπεύδουσιν, ἢ τέλεον ἐκριζῶσαι διὰ μισοθεΐας, ἢ κατακαλύψαι διὰ μισανθρωπίας οὐ δυνήσονται, οὔτε

Cap. 8. *πάντη σβέσαι αὐτὴν διὰ βλασφημίας, οὔτε κατακλύσαι καὶ ἀφανίσαι δι' ἀπροσεξίας τῶν ἐντολῶν μου· αἵπερ ἀποδεικνύουσι μὲν τὴν εἰς ἐμὲ ἀγάπην· συμπεραίνονται δὲ εἰς τὴν τοῦ πλησίον· πλὴν*

Ἐὰν δῷ ἀνὴρ τὸν πάντα βίον αὐτοῦ ἐν τῇ ἀγάπῃ, ἐξουδενώσει ἐξουδενώσουσιν αὐτόν.

Δηλονότι ἐὰν ὁ μὴ τῇ τῶν προσκαίρων ἀπάτῃ ἐκθηλυνόμενος, παράσχῃ τοῖς δεομένοις πάντα τὰ ὑπάρχοντα αὐτῷ, διὰ τὴν πρός με ἀγάπην, εὐτελισμῷ ἐξευτελίζουσιν αὐτὸν αἱ ἀντικείμεναι δυνάμεις πάντως· ὡς τὸν Ἰὼβ μετὰ τὴν ἀφαίρεσιν παντὸς τοῦ αἰσθητοῦ πλούτου αὐτοῦ ἐξηυτέλισαν, ἐξαιτούμεναι τοῦτον ἀπ' ἐμοῦ εἰς δοκίμιον τῶν διὰ σαρκὸς ὀδυνῶν, καὶ τοὺς φίλους αὐτοῦ εἰς τούτου ὀνειδισμὸν ἐπεγείρουσι· ταῦτα τοίνυν αὐτὴ εἰδυῖα, ὅταν πάσας μου τὰς ἐντολὰς τηρῇς, καὶ ὀδύνη σοι ἐπέλθῃ σαρκὸς, κατὰ συγχώρησιν ἐμὴν γίνωσκε τὸ τοιοῦτον ἐπισυμβαίνειν σοι· ἵνα σου ἡ πρὸς ἐμὲ ἀγάπη πᾶσι κατάδηλος γένηται, μὴ ἐνδιδούσης τοῖς πειρασμοῖς, καὶ οὐχὶ διὰ τὸ μὴ εἶναι πρόνοιαν ἐπὶ πάντα διήκουσαν· ἡ δὲ νύμφη τοῦ Χριστοῦ ἐκκλησία, ἤδη μὲν τὴν ἑαυτῆς παρ' αὐτοῦ λαβοῦσα ἀσφάλειαν, ποθοῦσα δὲ καὶ τὴν διὰ βαπτίσματος, κατὰ γνῶσιν καὶ ἀρετὴν τελείωσιν

τῆς τῶν κατηχουμένων αὐτῆς ἰουδαίων τε καὶ Cap. 8.
ἑλλήνων ὁμηγύρεως· περὶ ταύτης φησὶ πρὸς αὐτήν *.

* αὐτόν ?

Ἀδελφὴ ἡμῶν μικρὰ, καὶ μαστοὺς οὐκ ἔχει. v. 8.

Ἤτουν ἡ διὰ τὴν ὁμοφυΐαν ἀδελφὴ ἡμῶν χρηματίζουσα πληθὺς, ἀτελὴς ἔτι δι᾽ ἀπιστίαν ἐστί· καὶ διὰ τοῦτο λόγους καὶ τρόπους ἀρετῶν προσφερομένους σοι τῷ νυμφίῳ οἷα μαζοὺς, ἵν᾽ ἐν τούτοις ἀπολαύσῃς τῆς σωτηρίας αὐτῆς, οὐ κέκτηται.

Καὶ τί ποιήσομεν, τῇ ἀδελφῇ ἡμῶν ἐν ἡμέρᾳ
ᾗ ἂν λαληθῇ * ἐν αὐτῇ;

* Cod. ληθῇ.

Δηλαδὴ τί διαπραξόμεθα ἐπὶ τῇ εἰρημένῃ ἀδελφῇ ἡμῶν, ἐν ᾧ καιρῷ τὸ σὸν κατὰ πίστιν παραδέξεται κήρυγμα;

Εἰ τεῖχός ἐστιν, οἰκοδομήσωμεν ἐπ᾽ αὐτὴν v. 9.
ἐπάλξεις ἀργυρᾶς· καὶ εἰ θύρα ἐστὶ, διαγράψωμεν ἐπ᾽ αὐτὴν σανίδα κεδρίνην.

Ἤτοι ἐὰν μὲν τῇ πράξει τῶν νομικῶν ἐντολῶν ᾠκοδόμηται δίκην τείχους, ἐπιθήσωμεν ἐπ᾽ αὐτὴν ὥσπερ ἐπάλξεις ἀργυρᾶς τοὺς τηλαυγεῖς κατὰ γνῶσιν λόγους, τῶν ἐν τῷ νομικῷ γράμματι συμβόλων· ἐὰν δὲ τῇ κατ᾽ αἴσθησιν φυσικῇ θεωρίᾳ, διαμορφώσωμεν αὐτὴν, οἱονεὶ σανίδα κεδρίνην, τὴν τὰς μεριζούσας τὸν νοῦν συσφίγγουσαν αἰσθήσεις, καὶ ἐξ ἔργων τὴν βε-

Cap. 8. βαίωσιν ἔχουσαν, πίστιν ἀποβαλλομένην τῇ μαχαίρᾳ τοῦ πνεύματος πᾶσαν τε δόξαν ψευδῆ, καὶ ἀρετῆς ἔλλειψιν καὶ ὑπερβολήν· κἀντεῦθεν την ἐν σοὶ τελειότητα αὐτὸς μὲν τῇ εἰρημένῃ πληθύϊ δωρήσῃ, ἐγὼ δ' ὑπουργήσω· ἐπειδὴ ἤκουσε τῶν τῆς διδασκάλου καὶ νύμφης ῥημάτων ἡ ἐξ ἰουδαίων πρὸς πίστιν προκαλουμένη ὁμήγυρις· ὅτι τε μαστοὺς οὐκ ἔχει, καὶ τὸ, εἰ τεῖχός ἐστι, περὶ αὐτῆς εἰρημένον, πρὸς ἀμφότερα ταῦτα τὴν ἀπόκρισιν ποιουμένη, φησίν ὡσανεὶ δεικτικῶς.

v. 10. Ἐγὼ τεῖχος, καὶ μαστοί σου ὡς πύργου.

Πάντως ἡ ἐξ Ἰσραὴλ, τεῖχος μέν εἰμι, ὡς οἰκοδομημένη τῇ διδασκαλίᾳ τῶν νομικῶν ἐντολῶν, τοῦ οὐ μοιχεύσεις καὶ τῶν ἑξῆς· πύργοις δ' ἐοίκασι τὰ δίκην μαζῶν, νηπιώδη τροφὴν καὶ εἰσαγωγικήν μοι κομίζοντα σύμβολα τοῦ νομικοῦ γράμματος· ὡς ἀπόρθητόν με φυλάσσοντα τοῖς ἐθνικοῖς ἔθεσι· καὶ γὰρ

Ἐγὼ ἤμην ἐν ὀφθαλμοῖς αὐτοῦ, ὡς εὑρίσκουσα εἰρήνην.

Ἤγουν αὐτὴ ποτὲ ὑπῆρχον ἐπισκοπῆς θείας ἀξιουμένη· καὶ κἂν μὴ τότε ἐγνώκειν τὸν καταλλάξαντα ἡμᾶς τῷ ἰδίῳ πατρὶ, τὴν ἀληθινὴν εἰρήνην, ἀλλ' ὡς ταύτην κατὰ τοὺς τύπους ἐν τοῖς προφήταις ἐγνωκυῖα ἐτύγχανον· πρὸς

ταύτην διδασκαλικῶς ἡ νύμφη φησί· τί μοι προ- Cap. 8.
βάλλῃ τὰ παλαιά;

'Αμπελὼν ἐγενήθη τῷ Σαλομὼν v. 11.
ἐν Βεβαελαμών.

Δηλαδὴ πνευματικὴ φυτεία τῆς τῶν πιστῶν ἐκκλησίας, γέγονε τῷ εἰρηνικῷ βασιλεῖ, ἐν πλήθει ἐθνῶν, ὅπερ τὸ Βεβαελαμὼν παριστᾷ.

Ἔδωκε τὸν ἀμπελῶνα τοῖς τηροῦσιν.

Εἴτουν παρέσχε τὴν ἐκκλησίαν ἀποστόλοις καὶ διδασκάλοις, τοῖς ἐγρηγορότως φυλάσσουσιν αὐτήν· ἵνα μὴ αἱ κατ' αὐτῆς ἐπεγειρόμεναι πολυειδεῖς αἱρέσεις, ταύτην καταλυμήνωνται, τὴν ἑνότητα αὐτῆς εἰς ἀλλοκότους δόξας καταμερίσασθαι.

'Ανὴρ οἴσει ἐν καρπῷ αὐτοῦ
χιλίους ἀργυρίους.

Δηλονότι ὃς τῶν τελουμένων κατήργησε τὰ τοῦ νηπίου ἐν τῷ προσφερομένῳ τούτοις παρὰ τῶν τελεστῶν πνευματικῷ τῆς ἐκκλησίας καρπῷ, τῇ καθάρσει φημὶ καὶ τῇ φωτίσει καὶ τῇ τελειώσει, κομίσεται οἷά περ χιλίους ἀργύρους, τὴν διὰ καθαρότητος καὶ φωτισμοῦ τελειότητα· ἀκούσας δὲ ὁ νυμφίος τῆς νύμφης περὶ αὐτοῦ πρὸ τὰς μαθητευομένας αὐτῇ λεγούσης, ὅτι ἔδωκα τὸν ἀμπελῶνα τοῖς τηροῦσιν, ἵνα μὴ δόξωσιν οἱ ἀκούοντες ἀφεστηκέναι τοῦτον τῆς τοῦ ἀμπελῶνος ἐπιμελείας, φησὶ πρὸς αὐτήν·

Cap. 8. v. 12. Ἀμπελών μου ἐμὸς ἐνώπιόν μου.

Ἤγουν κἂν τινας φύλακας τῆς ἐκκλησίας κατέστησα, ἀλλὰ δεσπότης ταύτης ἐγὼ καὶ νυμφίος· καὶ ἡ τούτων σπουδὴ, ἐν τῇ ἐμῇ ἐπισκοπῇ ἰσχύει· εἰ μὴ γὰρ ἐγὼ φυλάξω, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων· ἡ δὲ νύμφη ἀνταποκρινομένη πρὸς τὸν νυμφίον φησίν.

Οἱ χίλιοι, σοὶ Σαλομὼν, καὶ οἱ διακόσιοι τοῖς τηροῦσι τὸν καρπὸν αὐτοῦ.

Ἤτοι ἡ μὲν τελειότης, σοῦ τοῦ τελειωτοῦ δῶρόν ἐστιν εἰρηνικέ τε καὶ εἰρηνοποιέ· ἡ δ' εἰς ἑαυτὴν τῆς φύσεως ἡμῶν ἀποκατάστασις, διὰ τῆς τῶν σῶν ἐντολῶν ἐργασίας, ἥπέρ ἐστιν ἡμῶν τῆς ἐκκλησίας καρπὸς, τῆς προαιρέσεως ὑπάρχει τῶν κατ' ἐνέργειαν φυλασσόντων αὐτάς· καὶ γὰρ ὁ μὲν χίλια ἀριθμὸς, τὴν ἐν Χριστῷ ἐμφαίνει τελειότητα, ἀπροσδεὴς τελειότητος ὑπάρχων μονάς· ὡς μὴ μόνον τὸν δυνάμει, ἀλλὰ καὶ τὸν ἐνεργείᾳ ταύτης λόγον ἐν ἑαυτῷ φέρων· ὅτι ἐκ μονάδος ἄρχεται, καὶ διὰ μονάδος δηλοῦται, καὶ μονάδος ἐστὶ ποιητικός· ἡ γὰρ χιλιὰς καὶ μυριὰς, τῷ τῆς μονάδος στοιχείῳ γνωρίζονται· ὁ δὲ διακόσια πάλιν ἀριθμὸς, τὴν τῆς φύσεως ἡμῶν εἰς ἑαυτὴν διὰ τῆς τῶν ἐντολῶν ἐργασίας δηλοῖ ἀποκατάστασιν· ὡς δεκαπλασιάζων κατὰ τὴν δεκάδα τῶν ἐντολῶν, τὸν ἐκ τοῦ

τετράκις πέντε συντιθέμενον, κἀντεῦθεν δηλοῦντα τὴν ἐξ ὕλης καὶ εἴδους φύσιν ἡμῶν, εἰκοστὸν ἀριθμόν· πρὸς δὲ τοῖς εἰρημένοις ἡ νύμφη, καὶ τάδε πρὸς τὸν νυμφίον, δι' ἄκραν τὴν μετριοφροσύνην καὶ ἐπιτεταμένον πόθον τῶν μελλόντων ἀγαθῶν, διέξεισιν· Cap. 8.

Ὁ καθήμενος ἐν κήποις, ἕτεροι προσέχοντες· v. 13.
τὴν φωνήν σου ἀκούτισόν με.

Εἶτουν, ὦ νυμφίε μου σὺ ὁ ἐπαναπαυόμενος τῇ τε νοητῇ κτίσει καὶ τῇ αἰσθητῇ, ὡς τοῖς σοῖς θελήμασι δίκην κήπων πεφυτευμέναις, ἄλλοι παρ' ἡμᾶς εἰσίν οἱ ἀμεταστρεπτὶ πρὸς σὲ ἀτενίζοντες, διὰ τὸ μὴ μερίζεσθαι δεσμῷ σώματος αἱ ἄϋλοι πάντως καὶ ἀγγελικαὶ τάξεις· ἐγὼ δ' ὡς ὑποκειμένη τῷ τοιούτῳ δεσμῷ, δέδοικα τὴν τροπήν· καὶ διὰ τοῦτο τὴν δευτέραν σου κάθοδον ἐπισπεύδουσα * ἱκετεύω σε, ἀκουστὴν ποίησον τὴν εὐκταίαν ἐκείνην φωνήν σου· τὸ δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν· καὶ οὕτω

Φύγε ἀδελφιδέ μου, καὶ ὁμοιώθητι τῷ δόρκωνι, ἢ νεβρῷ ἐλάφων, ἐπὶ ὄρη ἀρωμάτων. v. 14.

Προσκαλούμενος γὰρ τοὺς δικαίους εἰς τὴν ἀπὸ καταβολῆς κόσμου ἡτοιμασμένην αὐτοῖς βα-

(*) Cod. ἐπιπτεύδουσα. Num ἐποπτνεύουσα? vel ἐπιπτεύουσα?

Cap. 8. σιλείαν σου, ἀφίστασαι πάντως τῆς διὰ τῶν αἰσθητῶν προνοίας ἡμῶν· ἐφελκόμενος τοὺς ἀξίους ἐπὶ τὰ ὕψη τῶν πνευματικῶν εὐωδιαζουσῶν αὐτοὺς κατὰ θέωσιν χαρίτων· ἐν αἷς ὥς τις δόρκων, ἢ ἐλάφου νεβρὸς, ἀναιρετικὸς τῶν ἰοβόλων θηρίων, τὰ μαινόμενα καθ' ἡμῶν τῆς πονηρίας πνεύματα νεκροῖς, καταπαύων τὸν πρὸς ἡμᾶς αὐτῶν πόλεμον.

ΣΧΟΛΙΑ ΠΑΛΑΙΑ

ΕΙΣ ΕΥΑΓΓΕΛΙΟΝ

ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ

EX ANTIQUIS MEMBRANIS BIBLIOTHECAE VATICANAE.

CAP. I.

v. 1. Εὐαγγέλιον καλεῖται ἡ βίβλος, ὅτι 1.
κολάσεως δεικνύει ἀναίρεσιν, καὶ οὐρανῶν βασιλείαν ἐπαγγέλλεται· βίβλον γενέσεως ταύτην καλεῖ καὶ παρέχουσαν ἄλλα πολλὰ καὶ οὐ τὴν Χριστοῦ μόνον γένεσιν· διότι τὸ κεφάλαιον τῆς οἰκονομίας τοῦτό ἐστιν.

Τὸ Ἰησοῦς, σωτὴρ ἑρμηνεύεται τῇ ἑβραίων φωνῇ.

Πόθεν δηλονότι ἀπὸ τῆς τοῦ Δαβὶδ ἦν γενεᾶς; ἐκ τοῦ εἰπεῖν τὸν θεὸν πρὸς τὸν Γαβριὴλ ἀπελθεῖν πρὸς τὴν παρθένον μεμνηστευμένην ἀνδρὶ ᾧ ὄνομα Ἰωσὴφ ἐξ οἴκου καὶ πατριᾶς Δαβίδ· ἐκέλευε δὲ ὁ νόμος μὴ ἐξ ἄλλης φυλῆς λαμβάνειν, ἀλλ' ἐκ τῆς οἰκίας· ὅθεν ἦν ὁ Ἰωσὴφ ἐκ Δαβὶδ, καὶ ἡ Μαρία ἐκ Δαβίδ.

v. 3. Διὰ τί μέμνηται τῆς παρανόμου μί-

I. ξεως τοῦ Ἰούδα καὶ τῆς Θάμαρ; θαυμάζων ὁ εὐαγγελιστὴς καὶ τὴν τοῦ θεοῦ δεικνὺς φιλανλανθρωπίαν, ὅτι οὐκ ἀπηξίωσε τοιούτους ἔχειν συγγενεῖς. Τίνος χάριν τοῦ Φαρὲς μνημονεύσας ἀφ' οὗ τὸν κύριον γενεαλογεῖ, καὶ τοῦ Ζαρᾶ μνημονεύει; ὅτι τοῦ Ζαρᾶ ἐν τῷ τίκτειν τὴν Θάμαρ τὴν χεῖρα προεξενέγκαντος, συνέστειλε τὸ παιδίον τὴν χεῖρα, καὶ προῆλθεν ὁ Φαρὲς, καὶ τότε ὁ Ζαρᾶ· ὅπερ τῶν δύο λαῶν τύπος ἦν· τῆς γὰρ πολιτείας τῆς ἐκκλησιαστικῆς ἐν τοῖς κατὰ τὸν Ἀβραὰμ χρόνοις φανείσης, εἶτα ἐν τῷ μέσῳ συσταλείσης, ἦλθεν ὁ ἰουδαϊκὸς λαὸς καὶ ἡ νομικὴ πολιτεία· καὶ τότε ὁ νέος ἐφάνη λαὸς μετὰ τῶν αὐτῶν νόμων. Καὶ τῆς Ῥοὺθ δὲ τῆς ἀλλοφύλου μέμνηται, ὅτι καθάπερ ἐκείνης καὶ πτωχῆς καὶ ἀλλοφύλου οὔσης ὁ Βοὸζ οὐ κατεφρόνησεν, οὔτε τὴν δυσγένειαν ἐβδελύξατο, καὶ ὁ Χριστὸς τὴν ἐκκλησίαν δεξάμενος οὐκ ἐβδελύξατο.

v. 11. Τοὺς τρεῖς παρέδραμε βασιλεῖς ὡς κακούς· ἔστι δὲ Ὀχοζίας, καὶ Ἰωὰς, καὶ Ἀμεσίας· ἔθος γὰρ τῇ γραφῇ τοὺς οὐκ ἀξίους μνήμης καταλιμπάνειν, ὡς καὶ Μωσῆς ἐν ταῖς εὐλογίαις τοῦ Συμεών.

v. 16. Διὰ τί εἶπεν Ἰωσὴφ τὸν ἄνδρα Μαρίας; ἵνα δείξῃ ὅτι δι' αὐτὸν καὶ ταύτην ἐγε-

νεαλόγησεν· κατὰ γὰρ φυλὰς καὶ συγγενείας ἐλάμβανον. I.

v. 17. Διὰ τοῦτο ἐμνημόνευσεν Ἀβραὰμ καὶ Δαβὶδ, διότι πρὸς αὐτοὺς ἦσαν αἱ ἐπαγγελίαι περὶ Χριστοῦ.

Δώδεκα θεὶς Γενεὰς δεκατέσσαρας εἶπεν, διότι καὶ τὸν χρόνον τῆς αἰχμαλωσίας εἰς γενεὰν ἔταξεν· ἔτι δὲ καὶ αὐτὸν τὸν Χριστὸν εἰς γενεὰν συνάπτων ἡμῖν αὐτόν.

v. 18. Οὐκ εἶπεν πρὶν ἢ ἀχθῆναι αὐτὴν εἰς τὴν οἰκίαν, ἀλλὰ πρὶν ἢ συνελθεῖν αὐτοὺς, διὰ τὸ μὴ ἔξω εἶναι τῶν ἀνδρῶν τὰς μεμνηστευμένας ἀνηλίκους· τοῦτο δὲ εἶπεν διὰ τὸ μὴ δοῦναι ὑποψίαν. Τίνος χάριν οὐ πρὸ τῆς μνηστείας συνέλαβεν; ἵνα μὴ δόξῃ ὑποψίαν τὸ γεγονὸς, οὐκ ὄντος τοῦ ζηλοτυποῦντος καὶ διὰ τοῦτο φυλάσσοντος.

v. 19. Κατὰ τὸν νόμον οὐ κολάσαι οὐδὲ παραδειγματίσαι αὐτὴν βουλόμενος ἐβουλήθη ἀπολύσαι αὐτήν· κωλύεται δὲ ὑπ' ἀγγέλου· τοσοῦτον ἦν ἥμερος καὶ φιλόσοφος ὁ Ἰωσήφ. Τὸ θεραπεύειν αὐτὴν μετὰ τὸν τόκον, εὔδηλον ὡς ἐπείσθη τῷ θαύματι ὁ Ἰωσήφ.

v. 20. Διὰ τί οὐ φανερῶς ὤφθη ὁ ἄγγελος τῷ Ἰωσὴφ, ἀλλὰ κατ' ὄναρ; ὅτι οὐκ ἦν ἀπιστῶν ὡς οἱ ποιμένες καὶ ὁ Ζαχαρίας.

I. Διὰ τί εἶπεν αὐτὸν ὁ ἄγγελος υἱὸν Δαβίδ; ἀναμνῆσαι αὐτὸν βουλόμενος, ὅθεν ἔμελλεν ὁ Χριστὸς τίκτεσθαι.

Διὰ τί εἶπεν τὴν γυναῖκά σου; ὡς μὴ διεφθαρμένης· γυναῖκα δὲ αὐτὴν καλεῖ ἀπὸ τῆς μνηστείας, ὥσπερ καὶ ἡμεῖς γαμβροὺς λέγομεν καὶ πρὸ τοῦ γάμου τοὺς μνηστευθέντας τῇ θυγατρί.

v. 21. Οὐκ εἶπεν τέξεταί σοι· οὐ γὰρ ἦν αὐτοῦ σπέρμα· ἀλλὰ τέξεται τῷ κόσμῳ παντὶ δηλονότι· ἔχει γὰρ, αὐτὸς σώσει τὸν λαὸν αὐτοῦ.

Διὰ τί εἶπεν καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν; οὐκ ἀλλότριον ποιῶν αὐτὸν τῆς διακονίας· εἰ γὰρ καὶ μὴ σὸς ὁ τόκος, φησὶν, ἀλλὰ τὰ πατρὸς πράξεις, διὰ τὸ μὴ ἀπὸ μοιχείας εἶναι.

v. 22. Ὁ ἄγγελος λέγει τὸ, τοῦτο δὲ ὅλον γέγονεν ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ Ἡσαΐου· ἀλλ' οὐχὶ ὁ εὐαγγελιστής.

v. 23. Ἐάν τις λέγῃ ὅτι οὐκ εἶπεν Ἡσαΐας παρθένον ἀλλὰ νεάνιδα, πρῶτον μὲν οἱ ἑβδομήκοντα τῶν πέντε πλείονες καὶ ἀνυποπτότεροι· πρὸ γὰρ τῆς διαμάχης τοῦ μυστηρίου· ἔπειτα τὸ νεανίσκοι, καὶ παρθένοι λέξομεν· καὶ τὸ ἐὰν βοήσῃ ἡ νεᾶνις περὶ παρθένου λέγων ὁ Μωσῆς· ὥστε οἶδεν τὸ τῆς νεάνιδος ὄνομα ἐπὶ τῆς παρθένου λέγεσθαι. Εἰ ἐκ νομίμου ἔμελλεν γεννᾶ-

σθαι τὸ προφητευόμενον, ποῖον σημεῖον ἦν τὸ 1.
λεχθέν; οὐδὲ ποῖον· λοιπὸν, οὐκ ἐπὶ τῷ Ἐζεκίᾳ, ἀλλ' ἐπὶ τῷ Χριστῷ πεπλήρωται.

Ἀπορήσει ἰουδαῖος διὰ τί οὐκ ἐκλήθη Ἐμμανουὴλ ὡς ὁ προφήτης εἶπεν, ἀλλὰ Ἰησοῦς Χριστός; ἀκουσάτωσαν ὅτι οὐκ εἶπεν καλέσεις, ἀλλὰ καλέσουσιν οἱ ὄχλοι· τουτέστιν ἡ τῶν πραγμάτων ἔκβασις· ὅτι ὄψονται θεὸν μετὰ ἀνθρώπων· ἔθος δὲ τοῦτο τῇ γραφῇ ἀντὶ ὀνομάτων τιθέναι· οἷον κάλεσον τὸ ὄνομα αὐτοῦ, ταχέως σκύλευσον· ὀξέως προνόμευσον· γεννηθέντος αὐτοῦ προνομὴ σκύλων ἐγένετο· καὶ ὡς τὸ, ἡ πόλις κληθήσεται πόλις δικαιοσύνης, μητρόπολις πιστή· καί τοι μείνασα καλεῖσθαι Ἱεροσόλυμα.

v. 25. Τὸ οὐκ ἐγίνωσκεν αὐτὴν ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον, οὐ δείκνυσιν ὅτι ἐσχάτως ἔγνω αὐτήν· τὸ γὰρ ἕως, οὐ πάντοτε χρόνον ἄλλον ζητεῖ, ἀλλὰ πολλάκις εἰς τὸ διηνεκὲς εὑρίσκεται· ὡς τὸ καὶ οὐχ' ὑπέστρεψεν ὁ κόραξ εἰς τὸν κιβωτὸν ἕως οὗ ἐξηράνθη ἡ γῆ· καίτοι γε οὐδὲ μετὰ ταῦτα ὑπέστρεψε· καὶ πάλιν ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη, καὶ πλῆθος εἰρήνης ἕως οὗ ἀνταναιρέθη ἡ σελήνη· τοῦτο δὲ εἶπεν οὐ πέρας διδοὺς τῷ καλῷ τούτῳ φωτί· τέθεικε δὲ τὸ ἕως,

I. ἵνα μόνον μάθωμεν τὸ πρὸ τῶν ὠδίνων ἀνέπαφον· τὰ δὲ μετὰ ταῦτα ἡμῖν καταλείπει συλλογίζεσθαι, ὅτι τὴν οὕτως γεννήσασαν οὐκ ἂν ὑπέμεινε γνῶναι δίκαιος ὢν ὁ Ἰωσήφ. Πῶς ἀδελφοὶ τοῦ Χριστοῦ λέγονται οἱ περὶ Ἰάκωβον; ὡς καὶ Ἰωσὴφ τῆς Μαρίας ἀνήρ· ἐκείνου γὰρ ἦσαν παῖδες ἐκ προτέρας γυναικός· διὰ τὸν καλούμενον οὖν πατέρα, καὶ οἱ τοῦ πατρὸς υἱοὶ, ἀδελφοί.

CAP. II.

II. v. 1. Τὸν χρόνον Ἡρώδου λέγει· διότι καὶ ἕτερος Ἡρώδης λέγεται, ὃς ἀνεῖλεν τὸν πρόδρομον.

Τοὺς μάγους εἰς ἔλεγχον τῶν ἰουδαίων ἤνεγκε προσκυνῆσαι, ἵνα παρὰ βαρβάρων μάθωσιν ἃ οὐκ ἤθελον μαθεῖν ἀπὸ προφητῶν οἱ ἰουδαῖοι.

v. 2. Οὐ δι' ἀγγέλου τοὺς μάγους ἤνεγκεν, ἀλλὰ διὰ τῶν συνήθων ἀστέρων· κἂν γὰρ ἄγγελος ἦν, ὡς ἀστὴρ ἐδείκνυτο. Ὁ ἀστὴρ ὁ φανεὶς, δύναμίς τις ἦν ἀόρατος εἰς ταύτην φαινόμενος τὴν ὄψιν· καὶ γὰρ ἀπὸ ἄρκτου εἰς μεσημβρίαν ἐφαίνετο· οὕτω γὰρ ἡ Παλαιστίνη πρὸς τὴν Περσίδα κεῖται· δεύτερον καὶ ὅτι ἐν μεσημβρίᾳ ἐφαίνετο, οὐκ ἦν ἀστήρ· τρίτον ἀπὸ τοῦ

φαίνεσθαι καὶ κρύπτεσθαι· τέταρτον ἀπὸ τοῦ II.
κάτω εἶναι· εἰ γὰρ ἄνω ἦν, οὐκ ἤρκεῖτο ὕψος
μικρὸν τόπον χαρακτηρίσαι.

v. 6. Τὸ οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ὃ ἀπόκειται, καὶ αὐτὸς προσδοκία ἐθνῶν, οὕτως λύεται· Ἡρώδης ἀλλόφυλος ὢν· καὶ τοῦτο λέγει· ἐξέλιπον γὰρ οἱ ἰουδαῖοι ἔχειν ἄρχοντας.

Διὰ τί ἐρωτηθέντες παρὰ τοῦ βασιλέως εἶπον τὴν προφητείαν ἕως τὸ ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραὴλ, οὐ προσέθηκαν δὲ καὶ ἔξοδοι αὐτοῦ ἐξ ἡμερῶν αἰῶνος; ἐπεὶ πρὸς χάριν καὶ κολακεύοντες ἐλάλουν.

v. 7. Διὰ τί τοὺς μάγους καλεῖ Ἡρώδης λάθρα; ὅτι ἐνόμιζε τοὺς ἰουδαίους κήδεσθαι τοῦ παιδίου· ἔτι δὲ καὶ ἀνελεῖν ἐπιχειρεῖ τὸ τεχθέν.

Οὐ τὸν χρόνον τοῦ παιδίου ἀλλὰ τοῦ ἀστέρος ζητεῖ, ἐκ πολλῆς περιουσίας τὸ πρᾶγμα ἐρευνῶν.

v. 11. Πῶς τοῦ Λουκᾶ ἐν φάτνῃ λέγοντος κεῖσθαι, ὁ Ματθαῖος ἐπὶ τῶν γονάτων τῆς μητρὸς λέγει; χρὴ δὲ νοεῖν, ὅτι γεννήσασα διὰ τὸ μὴ εἶναι τόπον διὰ τὴν ἀπὸ τῆς ἀπογραφῆς πληθὺν, ἀνέκλινεν ἐν τῇ φάτνῃ, εἶτα καὶ ἐπὶ τῶν γονάτων ἀνεῖλεν.

Τί τὸ πεῖσαν τοὺς μάγους προσκυνῆσαι αὐ-

II. τόν; ἡ παρὰ τοῦ Θεοῦ ἔλλαμψις καὶ τὸ τοῦ ἀστέρος ἐξαίσιον.

Ἡ σμύρνα καὶ ὁ λιβανωτὸς δῶρα Θεοῦ εἰσιν· ἔτι δὲ καὶ τῆς ἰουδαϊκῆς παχύτητος πόῤῥω· οὐ γὰρ πρόβατα καὶ βόας ἔθυσαν.

v. 13. Διὰ τί ἀρτίως ὁ ἄγγελος λέγει παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ οὐκ εἶπεν τὴν γυναῖκά σου ὡς πρότερον; ἐπειδὴ ἐλύθη ἡ ὑποψία, καὶ ἐπιστώθη ὁ Ἰωσήφ.

v. 15. Ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου· εἰς Χριστόν ἐστιν· εἰ δὲ ἐπὶ τῆς ἐξόδου τοῦτο λέγουσιν, εἴποιμεν ὅτι καὶ τοῦτο προφητείας νόμος ἐστὶ τὸ πολλάκις ἐπ᾽ ἄλλων λεγόμενον πληροῦσθαι ἐφ᾽ ἑτέρων· οἷον τὸ ἐπὶ τοῦ Σιμεὼν λεχθὲν ὅτι διαμεριῶ αὐτοὺς, γέγονεν ἐπὶ τῶν ἐκγόνων· καὶ τὸ ἐπὶ τοῦ Χαναὰν παρὰ τοῦ Νῶε λεχθὲν, εἰς τοὺς Γαβαωνίτας τοὺς ἐκγόνους αὐτοῦ ἐξέβη· καὶ τὸ γίνου κύριος τοῦ ἀδελφοῦ σου, ἐπὶ τοὺς ἀπογόνους τούτου ἐξέβη.

v. 23. Τὸ ναζωραῖος κληθήσεται παρὰ τοῦ ἀγγέλου εἰρημένον προφητικόν ἐστι· κἂν οὐχ᾽ εὕρηται ποῦ λέλεκται· πολλὰ γὰρ τῶν προφητικῶν ἠφανίσθη ἐν τῇ αἰχμαλωσίᾳ.

CAP. III.

v. 1. Τὸ λέγειν τὸν εὐαγγελιστὴν, ἐν ταῖς ἡμέραις ἐκείναις παραγίνεται ὁ Ἰωάννης, οὐχ' ὅτε παῖς ἦν ὁ Χριστὸς τοῦτο λέγει· μετὰ γὰρ ἔτη τριάκοντα ἐλθεῖν τὸν Ἰωάννην ὁ Λουκᾶς μαρτυρεῖ· ἀλλ' ἔθος γραφικὸν τοιοῦτόν ἐστι τοῦτο, ὃ καὶ ὁ Χριστὸς εἰς τὸ ὄρος τοῖς μαθηταῖς λέγει περὶ τῆς καταστροφῆς τῆς πόλεως· καὶ μέλλων περὶ τῆς συντελείας λέγειν, ἐπήγαγε, τότε τὰ καὶ τά ἔσται. Τριακονταέτης διὰ τοῦτο βαπτίζεται, ἵνα τέλειος ὢν, παραδοὺς τὰ τέλεια πιστευθῇ. III.

v. 2. Τὸ ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν, περὶ τῆς τότε παρουσίας αὐτοῦ λέγει· βασιλεὺς γὰρ οὐράνιος ἦν.

v. 7. Τοῦ εὐαγγελιστοῦ λέγοντος περὶ τῶν Φαρισαίων καὶ τῶν Σαδδουκαίων ὅτι ἦλθον εἰς τὸ βαπτισθῆναι ὑπ' αὐτοῦ, πῶς ὁ Χριστὸς λέγει ὅτι οὐκ ἐπίστευσαν Ἰωάννῃ; ὅτι οὐκ ἦν τοῦτο πιστεῦσαι, τὸ τὸν κηρυττόμενον ὑπ' αὐτοῦ μὴ δέξασθαι· εἶπεν γὰρ ἐκεῖνος· ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.

v. 12. Οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, τὸ κριτὴν αὐτὸν εἶναι σημαίνει, διαχωρίζοντα τοὺς

III. δικαίους καὶ τοὺς ἁμαρτωλούς· πῦρ δὲ ἄσβεστον, τὴν ἀθάνατον τιμωρίαν λέγει.

v. 14. Ἰωάννης πρότερον διακωλύων τὸν Χριστὸν βαπτισθῆναι ὑπ' αὐτοῦ, ὕστερον ἐβάπτισεν· οὐκ ἦν ἀμέτρως φιλόνεικος, ἀλλὰ καὶ τὸ ἀνάξιον ἔδειξε, καὶ τὴν ὑπακοὴν ἐτέλεσεν.

v. 15. Τὸ ἄφες ἄρτι δηλοῖ, ὅτι οὐ διηνεκῶς ἐν τούτοις με ὄψει, ἀλλ' ὄψει με ἐν οἷς ἐπιθυμεῖς, ὅτε τούτου καιρός.

v. 16. Διὰ τί τὸ πνεῦμα ἐν εἴδει περιστερᾶς φαίνεται; ὅτι ἥμερον τὸ ζῶον καὶ καθαρόν· ἐπεὶ οὖν τὸ ἅγιον πνεῦμα πραότητός ἐστι πνεῦμα, διὰ τοῦτο οὕτω φαίνεται· καὶ διὰ τὸ εὐαγγελίσασθαι τὴν περιστερὰν τὴν λύσιν τοῦ κατακλυσμοῦ· καὶ γὰρ τὸ πνεῦμα λύσιν τῶν κακῶν ἡμῖν ἤγαγε· γινώσκειν δὲ δεῖ ὅτι οὐ φύσει εἶπεν, ἀλλ' ἐν εἴδει περιστερᾶς διὰ τὸ ῥαγδαίως καὶ φωτεινῶς καταληλυθέναι· ἐν εἴδει οὖν περιστερᾶς ἡ κατάβασις ἀλλ' οὐχὶ μορφὴ ζώου.

Διὰ τοῦτο ἔμεινε τὸ πνεῦμα ἐπὶ τὸν Χριστόν, ἵνα ἡ ἄνωθεν φωνὴ περὶ τούτου νομισθῇ, ἀλλὰ μὴ περὶ Ἰωάννου.

CAP. IV.

IV. v. 1. Τότε ἀνήχθη φησὶν ὑπὸ τοῦ πνεύματος

πειρασθῆναι· ὑπὸ τοῦ ἁγίου πνεύματος λέγει· IV.
πάλιν τὸ τότε οὐκ εὐθὺς λαμβάνεται, ἀλλ' ἀντὶ τοῦ τοῖς καιροῖς ἐκείνοις.

Πειράζεται καὶ εἰς ἔρημον ἀνάγεται καὶ νηστεύει, διδοὺς τύπον ἡμῖν νηστείας καὶ ὑπομονῆς πειρασμῶν.

v. 3. Πόθεν λέγει ἀκούσας ὁ διάβολος τὸ, εἰ υἱὸς εἶ τοῦ θεοῦ; καὶ τῆς ἄνωθεν φωνῆς ἤκουσε τοῦ Ἰωάννου τοῦτο λέγοντος· εἰ δὲ ἀμφέβαλλε πότερον εἰ ἔστιν υἱὸς τοῦ θεοῦ ἢ οὐκ ἔστιν, διὰ τὸ πεινῆσαι καὶ τὰ τῆς σωματικῆς ἐνδημίας πράττειν.

v. 4. Τοῦ Λουκᾶ λέγοντος ὅτι πάντα πειρασμὸν ἐκίνησεν, νοήσωμεν ὡς τὰ κεφάλαια τῶν πειρασμῶν κινήσαντος, οὕτως εἶπεν· τὰ γὰρ χείρονα τῶν ἁμαρτημάτων γαστριμαργία ἐστὶ καὶ κενοδοξία καὶ ἀπληστία χρημάτων.

v. 12. Διὰ τοῦτο ἀκούσας ὁ Ἰησοῦς ὅτι Ἰωάννης παρεδόθη, ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν, ἡμᾶς παιδεύων φεύγειν τοὺς πειρασμούς· οὐ γὰρ ἔγκλημα τὸ μὴ ῥίπτειν ἑαυτὸν εἰς πειρασμοὺς, ἀλλὰ τὸ ἐμπεσόντα μὴ στῆναι γενναίως· ἔτι δὲ καὶ τοὺς διδασκάλους τῆς οἰκουμένης ζωγρῆσαι σπεύδων, οἳ ἐκεῖσε διέτριβον· ἔτι δὲ καὶ προφητείαν πληρῶν· ἡ Γαλιλαία φησὶ τῶν ἐθνῶν, ὁ λαὸς ὁ καθήμενος ἐν σκότει, ἰδέτω φῶς μέγα.

IV. v. 19. Πέτρου καὶ Ἀνδρέου κλῆσις δευτέρα ἣν ἣν ὁ Ματθαῖος λέγει· ὁ μὲν γὰρ Ἰωάννης φησὶν ὅτι οὔπω βληθέντος ἐν τῇ φυλακῇ τοῦ Ἰωάννου προσῆλθον· ἐνταῦθα δὲ μετὰ τὸ ἐμβληθῆναι αὐτόν· κἀκεῖ μὲν ὁ Ἀνδρέας καλεῖ τὸν Πέτρον, ἐνταῦθα δὲ ἀμφοτέρους ὁ Χριστός· ὥστε δεύτερον ἦλθον πρὸς Χριστόν. Διὰ τί μετὰ τὴν πρώτην κλῆσιν, εἰς τὴν οἰκείαν τέχνην ἐπανῆλθον πάλιν; διὰ τὸ τὸν Ἰωάννην εἰς δεσμωτήριον εἰσελθεῖν· τέως συγχυθέντες εἴρχθησαν τοῦ σκοποῦ.

v. 23. Ἐν ταῖς πρώταις θεραπείαις τῶν ὄχλων διὰ τὸ μὴ πεῖραν δεδωκέναι τῆς αὐτοῦ δυνάμεως· ἄλλως τε δὲ καὶ τὸ πόῤῥω αὐτοὺς ἔρχεσθαι ἐδείκνυε τὴν πίστιν.

CAP. V.

V. v. 1. Τοὺς ὄχλους ἰδὼν ἀνέβη εἰς τὰ ὄρη· διὰ τί; διὰ τὸ ἀφιλότιμον καὶ ἀκόμπαστον παιδεύων ἡμᾶς μηδὲν πρὸς ἐπίδειξιν ποιεῖν.

v. 2. Διὰ τὶ πρόσκειται ὅτι ἀνοίξας τὸ στόμα αὐτοῦ ἐδίδασκεν αὐτούς; ἵνα μάθωμεν ὅτι καὶ σιγῶν ἐπαίδευεν αὐτοὺς, ἀλλ' οὐ λαλῶν μόνον.

Οὐκ ἐν τάξει παραινέσεως ἢ συμβουλῆς εἰσ-

άγει τὴν διδαχὴν, ἀλλ' ἐν τάξει μακαρισμοῦ V.
ἀνεπαχθέστερον ποιῶν τὸν λόγον.

v. 3. Πτωχοὺς τῷ πνεύματι τοὺς ταπεινοὺς λέγει· πνεῦμα ἐνταῦθα τὴν ψυχὴν λέγων· τοὺς τὰ λόγια τοῦ θεοῦ κατεπτηχότας· ὅσα γὰρ κακὰ εἰς τὸν βίον ἐξ ἀπονοίας ἔρχονται.

v. 4. Ἐναντίοι εἰσὶν οἱ πενθοῦντες τῶν ἐξ ἀπονοίας ἐρχομένων τοῦ πρώτου μακαρισμοῦ.

v. 5. Οἱ πραεῖς κληρονομήσουσιν τὴν γῆν· ἐπειδὴ νομίζονται διὰ τὴν πρᾳότητα πάντα ἀπολέσαι, κληρονομῆσαι αὐτὸς ὑπισχνεῖται· γῆν δὲ οὐ τὴν ἄνω, ἀλλὰ ταύτην, τὸ ἐν εἰρήνῃ διάξειν καὶ λαβεῖν τὰ δέοντα φημί. Διδάσκων καὶ τὰ οὐράνια ὑπισχνεῖται καὶ τὰ κάτω, διὰ τοῦ λέγειν ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν· καὶ πάλιν, ὅστις ἀφῆκεν ὁτιοῦν ἕνεκεν ἐμοῦ, ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει.

v. 6. Πρὸ τῶν ἐλεημόνων μακαρίζει τοὺς πεινῶντας καὶ διψῶντας τὴν δικαιοσύνην· διὰ τί; ὅτι οὐκ ἐξ ἁρπαγῆς δεῖ ἐλεεῖν.

v. 8. Καθαροὺς τῇ καρδίᾳ λέγει, ἢ τοὺς ἐν σωφροσύνῃ διάγοντας, ἢ τοὺς παντελῆ ἀρετὴν κεκτημένους· αὐτοὶ τὸν θεὸν ὄψονται· ὄψιν ἐνταῦθα καλῶν τὴν ὡς ἔστιν ἀνθρώπῳ δυνατὸν ἰδεῖν τὴν ἀόρατον ἁπάντων ἀρχήν.

V. v. 9. Εἰρηνοποιοὺς λέγει, οὐ μόνον τοὺς διαμαχομένους, ἀλλὰ καὶ τοὺς στασιάζοντας ἀλλήλοις εἰρηνοποιοῦντας· ἔτι δὲ καὶ τοὺς τὸ ἑαυτῶν σῶμα μὴ κατεξανίστασθαι τῆς ψυχῆς ποιοῦντας, ἀλλὰ δουλοῦντας τὸ σῶμα δι' ἀρετῆς τῇ ψυχῇ.

v. 10. Δεικνύων ὅτι οὐ πανταχοῦ ἡ εἰρήνη καλὸν, ἐπήγαγε μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης.

v. 11. Μακαρίζων τοὺς κακῶς ἀκούοντας, δύο τέθεικε διορισμοὺς, ὅτ' ἂν διὰ Θεὸν, καὶ ὅτ' ἂν ψευδῆ ὦσι τὰ λεγόμενα· εἰ γὰρ μὴ ταῦτα προσῇ, οὐ μόνον οὐ μακάριος, ἀλλὰ καὶ ἄθλιος ἐστιν ὁ κωμῳδούμενος. Ἐπὶ τῶν ἄλλων μακαρισμῶν ἀδιορίστως τέθεικε τὸ μακάριον· ἐπὶ δὲ τοῦ ἐσχάτου, ἔδειξεν ὅτι αὐτῶν μάλιστα τοῦτό ἐστιν ἴδιον καὶ ἐξαίρετον· τὸ δὲ ἕνεκεν ἐμοῦ εἴρηται, τὸ αὐτοῦ ἀξίωμα ἐνταῦθα αἰνιττόμενος. Εἷς τοῦ ἑνὸς ἔχεται μακαρισμός· οἷον ὁ πτωχὸς τῷ πνεύματι, καὶ πενθήσει ἁμαρτήματα· ὁ πενθῶν, καὶ πρᾶος ἔσται· ὁ πρᾶος, δίκαιος· ὁ δίκαιος, ἐλεήμων· ὁ ἐλεήμων καὶ καθαρὸς τὴν καρδίαν· ὁ δὲ τοιοῦτος ἤδη καὶ εἰρηνοποιός· ὁ δὲ ταῦτα κατορθώσας, καὶ πρὸς κινδύνους ἕτοιμος· ὁ δὲ τοιοῦτος, οὐ ταραχθήσεται ἀκούσας κακῶς.

v. 12. Διὰ τί εἶπεν τοὺς προφήτας τοὺς πρὸ ὑμῶν; δεικνὺς ὅτι καὶ αὐτοὶ προφῆται εἰσὶν οἱ ἀπόστολοι. V.

v. 13. Ἐν τῷ εἰπεῖν ὑμεῖς ἐστὲ τὸ ἅλας τῆς γῆς, ἔδειξε καταςαπεῖσαν τὴν φύσιν τῶν ἀνθρώπων· δηλοῖ δὲ καὶ τὸ στυφὸν αὐτῶν, ἀλλ' οὐ κολακευτικὸν, ὃ καὶ διδασκαλικόν ἐστι καὶ ἀποστολικόν.

Τί λέγει ἐὰν τὸ ἅλας μωρανθῇ; ἀντὶ τοῦ ἐὰν πάθῃ καὶ ἀνενέργητον γένηται· ἤγουν ἐὰν ὑμεῖς κόλακες ἀλλ' οὐκ ἄξιοι διδάσκαλοι γένησθε, ἐν τίνι τὸ καταςαπὲν τῶν ἀνθρώπων ἀλισθήσεται;

v. 14. Φῶς καλεῖ αὐτοὺς, ὡς τῆς εὐσεβείας καταλάμψαντας τὸ φῶς ἐπὶ τῆς γῆς.

Τὸ οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη· καὶ τὸ οὐ καίουσι λύχνον καὶ τιθέασιν ὑπὸ τὸν μόδιον ἀλλ' ἐπὶ τὴν λυχνίαν, τὸ καταφανὲς αὐτῶν δηλοῖ· καὶ ὅτι ἀδύνατον τὸ κηρύγμασι γεγηθῆναι.

v. 17. Αἱ ἐντολαὶ τοῦ Χριστοῦ οὐ τοῦ νόμου εἰσὶν ἀναίρεσις, ἀλλὰ πλήρωσις τελειοτέρα καὶ ἀσφάλεια· τοῦ γὰρ μὴ φονεύειν οὐκ ἀναίρεσις τὸ μὴ δὲ ὀργίζεσθαι, ἀλλ' ἀσφάλεια· οὕτω δὲ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων.

v. 19. Ἐν τῷ εἰπεῖν ὅστις λύσει μίαν τῶν

V. ἐντολῶν τούτων, οὐ περὶ τῶν παλαιῶν νομίμων τοῦτο εἶπεν, ἀλλὰ περὶ τῆς χάριτος. Διὰ τί καλεῖ ἐλαχίστας τὰς ἐντολὰς ταύτας, καίτοι μεγάλας οὔσας; παιδεύων ἡμᾶς ἵνα ὅτε διδάσκομεν, μὴ ὑψῶμεν τὴν ἡμετέραν διδαχήν.

Εἰπὼν ὅτι ἐλάχιστος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν κληθήσεται, ἐσήμανεν ὅτι εἰς Γέενναν καὶ κόλασιν αἰώνιον ἀπελεύσεται, ἀνεπαχθῶς τοῦτο εἰρηκώς.

v. 20. Τί λέγει τὸ ἐὰν μὴ περισσεύσῃ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ Φαρισαίων; τοῦτό ἐστιν, ἐὰν μὴ ὑπὲρ τὰς δεκάτας παρέχητε τοῖς δεομένοις.

Ποῖόν ἐστιν ὃ λέγει περισσὸν, ὃ ἔδει τοὺς ἀποστόλους τῶν Φαρισαίων περισσεύειν; ἐκείνων τὸν νόμον φυλαττόντων τοῦ μὴ μοιχεῦσαι, οὗτοι ἵνα μηδὲ ἐμβλέψωσι πρὸς ἐπιθυμίαν· ἐκείνων μὴ φονευόντων, οὗτοι ἵνα μὴ ὀργισθῶσι· καὶ τἄλλα ὅμοια.

Χρὴ εἰδέναι ὅτι βασιλείαν οὐρανῶν οὐ τὴν ἀπόλαυσιν λέγει μόνον, ἀλλὰ καὶ τὸν καιρὸν τῆς ἀναστάσεως, καὶ τὴν παρουσίαν ἐκείνην τὴν φοβεράν· ἐστὶ ὅτε καὶ ἐπιδημίαν αὐτοῦ· πρὸς οὖν τοῦ χωρίου τὸν νοῦν, νόει τὸ ὄνομα.

v. 22. Ὁ λέγων τὸν ἀδελφὸν αὐτοῦ ῥακά. [Οὐ μεγάλης ἐστὶν ὕβρεως τὸ ῥῆμα, ἀλλὰ κα-

ταφρονήσεως· σημαίνει δὲ σῦς, τῇ σύρων γλώτ- V.
τῃ· ἄλλοι δὲ τὸ διαρερηγμένος, ὅ ἐστι ῥακοστόλος λέγουσιν.

Ἔνοχος ἔσται τῷ συνεδρίῳ· τὸ τῶν ἰουδαίων δικαστήριον λέγει· τέθεικε δὲ αὐτὸ, ἵνα μὴ δόξῃ πανταχοῦ ξενίζειν καὶ καινοτομεῖν.

Ὁ λέγων τὸν ἀδελφὸν αὐτοῦ μωρόν. Τινὲς ἐνόμισαν ὅτι μικρόν ἐστι καὶ ὅτι περὶ μικροῦ ῥήματος μεγάλη ἐστὶν ἡ τιμωρία· οὐκ οἴδασι δὲ οἱ τοῦτο λέγοντες, ὅτι τὰ μεγάλα τῶν κακῶν ἀπὸ μικρῶν ῥημάτων ἔχουσι τὴν ἀρχήν· μέγα δέ ἐστι καὶ τοῦτο· ᾧ γὰρ τῶν ἀλόγων διεστήκαμεν ἤγουν τῷ νῷ, τοῦτο ἐστέρησε τὸν ἀδελφὸν ἐν τῷ εἰπεῖν μωρέ.

v. 25. Τὸ ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου, περὶ τῶν ἐνταῦθα δικαστῶν καὶ τῆς ἐπὶ τὸ δικαστήριον ὁδοῦ λέγει· καταλλάγηθι φησὶ πρὸ τῆς εἰς δικαστήριον ὁδοῦ, καὶ καταδέχου μᾶλλον ἀδικεῖσθαι· τοῦτό ἐστι τὸ εὐνοῶν.

v. 28. Ὃς ἂν ἐμβλέψῃ πρὸς τὸ ἐπιθυμῆσαι. Οὐκ εἶπε τὴν ἁπλῶς ἐπιθυμίαν· τοῦτο γὰρ καὶ οἱ ἐν ὄρεσι πάσχουσι· ἀλλὰ τὸ ἑαυτῷ τὴν ἐπιθυμίαν συλλέγειν ἐκ τῶν ὡραίων μορφῶν ἐπιτηδείως.

v. 29. Ἐὰν σκανδαλίζῃ σε ὁ ὀφθαλμός σου καὶ ἡ χείρ σου. Οὐ περὶ μελῶν λέγει, ἀλλὰ

V. περὶ φίλων ἐν τάξει καὶ οἰκειότητι μελῶν ὄντων πρὸς ἡμᾶς δι' οἰκειότητα· σκανδαλίζειν δὲ λέγει, τὸ πρὸς ἁμαρτίαν ἐρεθίζειν.

v. 31. Τί ἐστι τὸ δότω αὐτῇ βιβλίον ἀποστασίου; καὶ διὰ τί τοῦτο ἐδίδοτο; ἵνα μὴ πάλιν ἐπανακάμπτειν δύναται πρὸς τὸν ἄνδρα· ἐκείνου γὰρ γυναῖκα, καὶ ἐκείνης ἄνδρα λαμβανούσης, εἰ πάλιν ὑπέστρεφε, πολλὴ ἂν ἡ ἔχθρα καὶ σύγχυσις ἦν· συνεχωρεῖτο δὲ τοῦτο, ἤγουν τὸ λύεσθαι τὸν γάμον, ἵνα μὴ ὁ μισῶν ἀποκτείνῃ τὴν μισουμένην ἢ φαρμάκῳ ἢ ἄλλῳ δόλῳ.

v. 32. Διὰ τοῦ εἰπεῖν ὃς ἐὰν ἀπολελυμένην γαμήσῃ μοιχᾶται, ποιεῖ τὴν γυναῖκα καὶ ἄκουσαν σωφρονεῖν· διὰ δὲ τοῦ εἰπεῖν ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχᾶσθαι, ἔμφοβον ἀπεργάζεται τὸν ἄνδρα ἵνα μὴ ἀπολύσῃ αὐτήν.

v. 33. Οὐ μόνον τὸ ἐπιορκεῖν κωλύει, ἀλλὰ καὶ τὸ ἐπ' ἀληθέσιν ὀμνύειν· καὶ οὐ μόνον τοῦτο, ἀλλ' οὐδὲ εἰς τί τῶν κτισμάτων ὀμνύειν δεῖ· οὐδὲ γὰρ κρείττονα ἡμῶν· ὁ δὲ ὀμνύων κατὰ τοῦ κρείττονος ὀμνύει.

v. 39. Τὸ μὴ ἀντιστῆναι τῷ πονηρῷ, οὐ τὸν διάβολον λέγει πονηρὸν ἐνταῦθα ἀλλὰ τὸν πονηρὸν ἀδελφόν· ὁ δὲ λέγει, τοιοῦτόν ἐστι· μὴ ἀντιδιδόναι κακὸν ἀντὶ κακοῦ, ἀλλὰ παρέχειν αὐτοὺς μᾶλλον πάσχειν κακῶς ἢ ποιεῖν.

v. 40. Τῷ θέλοντι κριθῆναι μετὰ σοῦ δὸς V.
καὶ τὸ ἱμάτιόν σου· τουτέστιν ἐὰν εἰς δικαστή-
ριον ἕλκῃ σε, μὴ μόνον ἃ ζητεῖ δίδου, ἀλλὰ
καὶ τὸ ἱμάτιόν σου.

v. 42. Οὐχ ἁπλῶς δοῦναι ἔστιν ἐλεημοσύνης, ἀλλὰ τὸ ὡς χρὴ δοῦναι· ὅ ἐστι τὸ ζητούμενον παρὰ τοῦ ζητοῦντος.

C A P. VI.

v. 7. Τὸ μὴ βαττολογεῖτε τοῦτό ἐστι, τὰ VI.
μὴ προσήκοντα μὴ αἰτεῖν παρὰ θεῷ. Τὸ τῆς χήρας παράδειγμα τῆς τὸν ὠμὸν καμψάσης ἄρχοντα τῇ συνεχείᾳ τῆς ἐντεύξεως· καὶ τὸ κατὰ τὸν φίλον τὸν ἀωρὶ τῶν νυκτῶν ἐλθόντα, καὶ τὸν καθεύδοντα καὶ ἀπὸ τῆς κλίνης ἀναστάντα, μιμνήσκεται ἵνα προσεδρεύωμεν προσκαρτεροῦντες μὲν ἐν ταῖς εὐχαῖς, μὴ βαττολογοῦντες δέ.

v. 9. Τὸ ἁγιασθήτω τὸ ὄνομά σου, δηλοῖ τὸ δοξασθήτω διὰ τῆς ἡμετέρας ζωῆς, ἵνα πάντες ὁρῶντες ἡμᾶς, δοξάσωσί σε φησὶν, ὅτι οὕτως πεπολιτεύμεθα.

v. 10. Τὸ ἐλθέτω ἡ βασιλεία σου, σημαίνει τὸ μὴ προσηλῶσθαι τῇ γῇ τὸν εὐχόμενον, ἀλλὰ ζητεῖν τὰ ἐκεῖθεν ἀγαθά.

Τὸ Γενηθήτω τὸ θέλημά σου, εὐχομένου ἐσ-

VI. τὶν ὡς ὑπείκουσιν οἱ ἄγγελοι ὑπακούειν, καὶ ἡμᾶς φησὶ παρασκεύασον.

v. 11. Ἐπιούσιον ἄρτον, τὸν ἐφήμερον λέγει ἢ τὸν ἐπὶ τῇ αὔριον διδόμενον· οἱ δὲ τὸ σῶμα Χριστοῦ λέγουσιν, ὡς τῇ οὐσίᾳ ἡμῶν συμβάλλοντα.

v. 13. Τὸ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, εὔχεσθαι διδάσκει, μὴ ἐπιπηδᾷν ἀλλὰ παραιτεῖσθαι τοὺς ἀγῶνας· ἐλθόντας δὲ ἀναδέχεσθαι· ἵνα καὶ τὸ ἀκενόδοξον καὶ τὸ γενναῖον ἐπιδειξώμεθα.

v. 17. Τὸ ἄλειψαί σου τὸ πρόσωπον, οὐ κελεύοντος ἐστὶν ἀλείφειν, ἀλλὰ νομοθετοῦντος τοσοῦτον κρύβειν ἑαυτὸν, ὥστε παντελῶς λανθάνειν, ὥσπερ τοὺς ἐν εὐφροσύνῃ ἀλειφομένους.

v. 22. Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμὸς, καὶ τὰ ἑξῆς. Ὃ λέγει τοιοῦτόν ἐστιν, ὅτι ὅπέρ ἐστιν ὁ ὀφθαλμὸς τῷ σώματι, τοῦτο ὁ νοῦς τῇ ψυχῇ· ὥσπερ οὖν οὐδὲν ὄφελος τῷ σώματι τῷ μὴ βλέποντι, οὕτως τῷ ἐσκοτισμένῳ τὴν διάνοιαν ἐπιτεθόλωται ἡ ἐντεῦθεν πᾶσα ζωή.

v. 24. Πῶς νοητέον τὸ οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν; δύο τοὺς ἐναντία ἐπιτάττοντας λέγει· ἂν γὰρ μὴ τοῦτο εἴη, οὐδὲ δύο ἂν εἶεν, ἀλλ' εἷς· ὡς τὸ, καὶ γὰρ τοῦ πλήθους τῶν πιστευσάντων ἦν ἡ ψυχὴ μία.

Μαμωνᾶ τὸν πλοῦτον λέγει, ἀλλ' οὐ τὸν διάβολον, ὡς οἱ πολλοὶ λέγουσιν. VI.

v. 25. Μὴ μεριμνήσητε τῇ ψυχῇ ὑμῶν τί φάγητε· κατὰ τὴν κοινὴν συνήθειαν λέγει καὶ τὰ πολλὰ βρώματα· ταῦτα γὰρ μετὰ μερίμνης· ἢ κατὰ ψυχὴν λέγει μὴ τοιαῦτα φροντίζειν· ὥστε κατὰ διάστασιν ἀναγνωστέον, εἰ οὕτως νοεῖν θέλοιμεν· καὶ στίζομεν εἰς τὴν ψυχήν· εἶτα ἀρξόμεθα.

v. 26. Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσι· τοῦτο δὲ λέγει οὐχ ἵνα μὴ σπείρωμεν, ἀλλ' ἵνα μὴ μικροψυχῶμεν.

v. 34. Ἵνα εἴπῃ ὅτι ἡ ἔσω αὐτῆς ἐργασία, μυρίων κόπων καὶ πόνων ὑπάρχει πρόξενος. Καὶ ἄλλως. Τὸ ἀρκετὸν τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς, οὐ πονηρίαν ἡμέρας λέγει, ἀλλὰ τὸν πόνον καὶ τὴν φροντίδα ἡμῶν.

CAP. VII.

v. 1. Πῶς νοητέον τὸ μὴ κρίνετε ἵνα μὴ κρι- VII.
θῆτε; τοῦτο λέγει, ἵνα μὴ ὁ μυρίων γέμων κακῶν, ὑπὲρ μικρῶν τινῶν ἁμαρτιῶν ἄλλον ὀνειδίζῃ· διὸ καὶ ἐπήγαγε περὶ τοῦ κάρφους.

v. 3. Τί βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου; καὶ τὰ ἑξῆς· πολλοὶ δὲ

VII. τοῦτο ποιοῦσι· καὶ ἐὰν ἴδωσι μικρὸν πταῖσμα, εὐθέως ἐλέγχουσι, τὰ μέγιστα αὐτοὶ ἔχοντες πταίσματα· διορθοῦσθαι οὖν χρὴ, ἀλλὰ μὴ ὡς πολεμίους ἐλέγχειν, καὶ ἐν τοῖς ἑτέρων ἁμαρτήμασιν ὑπάρχειν πικρὸν καὶ ὑποκριτήν.

v. 6. Μὴ δῶτε τὸ ἅγιον τοῖς κυσί· καὶ τὰ ἑξῆς. Κῦνας τοὺς ἐν ἀσεβείᾳ ζῶντας φησὶ· μὴ μεταδιδόναι λόγου εὐσεβείας λέγει.

Χοῖροι οἱ ἐν τῷ τῆς ἁμαρτίας βορβόρῳ ἐγκυλιόμενοι.

Τὸ δὲ ἵνα μὴ στραφέντες ῥήξωσιν ὑμᾶς, ἀντὶ τοῦ ἵνα μὴ πρότερον ὑποκριθέντες, ὕστερον καὶ ὑμᾶς καὶ τὴν διδαχὴν κωμῳδήσωσιν.

v. 7. Διὰ τί αἰτοῦντες οὐ λαμβάνομεν· καὶ μάλιστα ὅταν πνευματικὰ αἰτῶμεν; ὅτι οὐ μετὰ σπουδῆς πολλῆς ἔκρουσας· ἢ πάντως ἀνάξιος ὧν ᾔτησας ἢ ὅτι ταχέως ἀπέστης αἰτούμενος.

v. 14. Πῶς στενὴν τὴν πύλην καὶ τεθλιμμένην καλῶν, ἐν ἄλλῳ λέγει τὸν ζυγὸν αὐτοῦ χρηστὸν καὶ τὸ φορτίον ἐλαφρόν; ὁ μὲν Γρηγόριος τὸ μὲν διὰ τὸν πόνον, τὸ δὲ διὰ τὴν ἐλπίδα εἶπεν. Ἰωάννης δὲ, νήφειν ἡμᾶς παρασκευάζων καὶ ἐγρηγορέναι, καὶ διεγείρων ἡμῶν τὰ φρονήματα, ἵνα μὴ ὡς εὐκόλου καταφρονήσωμεν, ἀλλ᾽ ὡς στενῆς ἀντεχόμεθα.

v. 21. Τὸ οὐ πᾶς ὁ λέγων μοι κύριε κύριε,

εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημά μου, ἀντὶ τοῦ οὐ δεῖ μόνον πίστιν ἔχειν, ἀλλὰ καὶ ἔργα εὐσεβῆ προβάλλεσθαι. VII.

v. 22. Κἂν γὰρ σημεῖα φησὶ πολλὰ ποιῶσιν, οὐκ οἶδα ὑμᾶς· γίνεται δὲ τοῦτο ἀπὸ χάριτος μόνης τῆς τοῦ δεδωκότος δωρεᾶς· ὅθεν καὶ τοῦ κολάζεσθαι εἰσὶν ἄξιοι· περιττὸν οὕτως τιμηθέντες ἵνα βίον ὀρθὸν ἐπιδείξωνται, ἀγνώμονες γεγόνασιν καὶ ἀναίσθητοι· ἢ διὰ τὴν τῶν προσερχομένων πίστιν· οὐ γὰρ ὡς ἕτεροι ὑπέλαβόν ἐστιν· ὅτι πρότερον μὲν δι' ὀρθὸν βίον ἐθαυματούργησαν, ὕστερον δὲ ἁμαρτήσαντες καταχριθήσονται.

C A P. VIII.

v. 3. Τίνος χάριν καθαίρων τὸν λεπρὸν λόγῳ ἐπέθηκε τὴν χεῖρα; ἵνα δείξῃ ὅτι οὐχ ὑπόκειται νόμῳ ἀλλ' ἐπίκειται, καὶ ὅτι τῷ καθαρῷ οὐδὲν ἀκάθαρτον· διὰ τοῦτο Ἐλισσαῖος οὐδὲ ἑώρα τὸν Νεεμὰν, τηρῶν τοῦ νόμου τὴν ἀκρίβειαν, ὅτι δοῦλος ἦν ἀλλ' οὐ δεσπότης. VIII.

v. 4. Πῶς ὧδε κελεύων μηδενὶ εἰπεῖν τὸ θαῦμα, ἀλλαχοῦ κελεύει εἰπεῖν; ὧδε μὲν διὰ τὸ ἀκόμπαστον καὶ ἀκενόδοξον, ἐκεῖ δὲ διὰ τὸ

VIII. εὐγνώμονας ἡμᾶς εἶναι τοὺς ὁρῶντας καὶ ἰαθέντας.

Διὰ τί ποτὲ μὲν ἐχύρου τὸν νόμον, ὡς τὸ, δεῖξον ἑαυτὸν τῷ ἱερεῖ· ποτὲ δὲ ἀναιρεῖ, ὡς ἆρον τὸν κράββατόν σου καὶ περιπάτει, ἐν σαββάτῳ τοῦτο ποιῶν; τοῦτο μὲν ὁδοποιῶν τὰ τῆς χάριτος, τοῦτο δὲ τὴν κατ' αὐτοῦ τῶν Ἰουδαίων τόλμαν καὶ μανίαν τέως κοιμίζων.

v. 8. Ὁ ἑκατόνταρχος ὁ παρὰ Ματθαίῳ μνημονευόμενος, ὁ αὐτός ἐστιν ὁ μνημονευόμενος παρὰ τῷ Λουκᾷ· ὁ δὲ παρὰ τῷ Ἰωάννῃ ἑκατόνταρχος ἕτερός ἐστιν.

v. 16. Τὰ πλείονα τῶν νοσημάτων ἀπὸ ἁμαρτημάτων γίνεται.

v. 19. Διὰ τί τῷ εἰπόντι αὐτῷ, ἀκολουθήσω σοι ὅπου ἐὰν ἀπέρχῃ, οὐκ ἐδέξατο; ὅτι ἐνόμιζεν ἐκ τῶν ἰάσεων χρηματίζεσθαι· ταῦτα δὲ τὰ ῥήματα οὐκ ἦν ἀποτρεπομένου ἀλλ' ἐλέγχοντος.

v. 21. Ὁ εἰπὼν ἐπίτρεψόν μοι κύριε πρῶτον ἀπελθεῖν καὶ θάψαι τὸν πατέρα μου, ἀπεδέχθη μὲν οὐκ ἐπετράπη δέ· ἀλλ' ἤκουσεν, ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς· ἔδειξε δὲ διὰ τούτου ὅτι ὁ εἰπὼν ἦν πιστὸς· ὁ δὲ αὐτοῦ πατὴρ ἦν ἐκ τῶν ἀπίστων· διὰ τοῦτο εἶπεν νεκρούς· ἐκώλυσε δὲ αὐτὸν οὐ τὴν εἰς τοὺς

γεγεννηκότας τιμὴν κωλύων, ἀλλὰ μὴ προτιμᾷν VIII.
ταῦτα τῶν οὐρανίων.

v. 24. Ἐκάθευδεν ὁ κύριος οἰκονομικῶς ἐν τῷ πλοίῳ, οὐκ ἀγνοῶν τὸ μέλλον γίνεσθαι, οὐκ ἀδυνατῶν τὴν εἰρήνην βραβεῦσαι· εἰδὼς δὲ μέλλουσαν ταράσσεσθαι τὴν θάλλασσαν, κατὰ δύο αἰτίας ἐκάθευδε, ἵνα καὶ τὸ σαθρὸν τῆς ὀλιγοπιστίας τῶν μαθητῶν ἐν τῷ χειμῶνι διελέγξῃ, καὶ τὸ δυνατὸν τῆς θεότητος αὐτοῦ ἐναργῶς ἐπιδείξηται.

v. 25. Τὸν φόβον οὐ τὸ τῶν πειρασμῶν μέγα ἐργάζεται, ἀλλὰ τὸ τῆς διανοίας σαθρόν· διὰ τοῦτο συγχωρεῖ κλυδωνίζεσθαι, ἵνα ποιήσῃ καὶ αὐτοὺς πιστοτέρους διὰ τοῦ θαύματος· οὐ γὰρ οὕτως τὰ τῶν ἄλλων θαύματα, ὅσον τὰ ἐπ' ἐκείνοις διήγειρεν αὐτούς.

v. 29. Τί ἐστι τὸ λεγόμενον ὑπὸ τῶν δαιμόνων, ἦλθες πρὸ καιροῦ βασανίσαι ἡμᾶς; ἀοράτως ἀπὸ τῆς αὐτοῦ παρουσίας ἐπάσχοντο οἱ δαίμονες· πρὸ καιροῦ δὲ λέγουσιν, ὡς εἰδότες ὅτι μέλλουσι καὶ ποτὲ κολασθῆναι· αἱ ψυχαὶ τῶν δικαίων ἐν χειρὶ θεοῦ· αἱ δὲ τῶν ἀσεβῶν οὐκ ἐν μνήμασιν ὡς οἱ πολλοὶ λέγουσιν, ἀλλ' ἐντεῦθεν εὐθέως ἀπάγονται· καὶ δῆλον ἀπὸ τοῦ Λαζάρου καὶ τοῦ πλουσίου· καὶ ἀλλαχοῦ, σήμερον τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ· οὐχ

VIII. οἷόν τε οὖν ψυχὴν ἐξελθοῦσαν ἐνταῦθα πλανᾶσθαι, ἢ ἐν ἀέρι ὡς λέγουσιν εἶναι, ἀλλ' ἐν ὡρισμένοις τόποις.

v. 32. Ὑπήκουσε τοὺς δαίμονας ὁ κύριος καὶ εἰς χοίρους ἀπεπέμψατο αὐτοὺς, πρῶτον μὲν ἵνα δείξῃ ὅτι οὐδὲ κατὰ χοίρων ἔχουσιν ἐξουσίαν, μή τι γε κατὰ ἀνθρώπων· ἔπειτα ἵνα οἱ τοὺς τόπους οἰκοῦντες μάθωσιν αὐτὸν ὅστις ἦν· ἄπιστοι γὰρ ἦσαν· καὶ δείκνυται τοῦτο ἐκ τοῦ λέγειν αὐτοὺς, ὅτι ἄπελθε ἀπὸ τῶν ὁρίων ἡμῶν· διὰ τοῦτο δὲ τοὺς χοίρους ἀνεῖλον οἱ δαίμονες, ἵνα τοὺς ἀνθρώπους εἰς ἀθυμίαν ἐμβάλωσι· πανταχοῦ γὰρ χαίρουσιν ἐπὶ ταῖς συμφοραῖς ἡμῶν.

CAP. IX.

IX. v. 1. Ἡ μὲν Βηθλεὲμ ἤνεγκεν αὐτὸν παροδευόντων τῶν γονέων· ἡ δὲ Ναζαρὲθ ἔθρεψεν· ἐκεῖθεν γὰρ οἱ γονεῖς· ἡ δὲ Καπερναοὺμ εἶχεν οἰκοῦντα διηνεκῶς.

v. 2. Ὁ μὲν Ματθαῖος περὶ τοῦ παραλυτικοῦ λέγει ὅτι προσέφερον αὐτόν· οἱ δὲ ἄλλοι ὅτι καὶ τὴν στέγην διαγεμόντες καθῆκαν αὐτόν· ἀληθῆ οὖν τὰ δύο· πρῶτον μὲν ἀπεστέγασαν, εἶτα πλήθους ὄντος περὶ αὐτὸν, προσήνεγκαν.

v. 5. Εἰπόντων τίς δύναται ἀφιέναι ἁμαρτίας

εἰ μὴ μόνος ὁ Θεὸς, αὐτὸς δεικνὺς κατὰ τὸν λό- IX.
γον αὐτῶν ὅτι Θεός ἐστι, λέγει, τί ἐστιν εὐκολώτερον, εἰπεῖν ἀφέωνταί σου, ἢ εἰπεῖν ἆρον τὸν κράβαττόν σου καὶ περιπάτει; ὁ δὲ λέγει, τοιοῦτόν ἐστι· τί δοκεῖ εὔκολον ὑμῖν εἶναι, τὸ σφίγξαι παραλελυμένον, ἢ ψυχῆς ἁμαρτήματα λῦσαι; εὔδηλον ὅτι ἁμαρτήματα λῦσαι· ἀλλ' ἐπειδὴ τὸ μὲν ἀφανὲς, τὸ δὲ φανερὸν, προστίθημι τὸ καταδεέστερον, ἵνα τὸ μεῖζον καὶ ἀφανὲς πιστευθῇ.

v. 9. Ἐκκλίνων τοὺς ἐπιβουλεύοντας, οὐκ ἐπιμένει τοῖς τόποις, ἀλλὰ συχνὰ μετανίσταται, διδοὺς ὑποχωρεῖν τὸν φθόνον.

v. 11. Ὁ Ματθαῖος τελώνης ὃς καὶ εὐαγγελιστὴς καλλωπιζόμενος τῇ εἰσόδῳ Χριστοῦ, πάντας τοὺς τελώνας συνεκάλεσεν.

v. 13. Διὰ τοῦτο λέγουσιν οἱ Φαρισαῖοι τοῖς μαθηταῖς ὅτι ὁ διδάσκαλος ὑμῶν φίλος τελωνῶν καὶ ἁμαρτωλῶν ἐστὶ, βουλόμενοι ἀποχωρῆσαι αὐτοὺς ἀπ' αὐτοῦ.

v. 14. Τίνος ἕνεκεν τοὺς Ἰωάννου μαθητὰς ἐγκαλοῦντας ὅτι μαθηταὶ αὐτοῦ οὐ νηστεύουσιν, οὐκ ἐπιτιμᾷ ὡς κενοδόξους, ἀλλὰ νυμφίου μέμνηται; οὐκ ἐπιτιμᾷ δι' ἐπιείκειαν· νυμφίου δὲ μέμνηται ἀναμιμνήσκων αὐτοὺς τῶν Ἰωάννου ῥημάτων, δι' ὧν ἔλεγεν, ὁ ἔχων τὴν νύμφην

IX. νυμφίος ἐστίν· ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὁ καιρὸς ὁ ἐμὸς καὶ τῆς ἐμῆς διαγωγῆς, χαρᾶς ἐστιν αὐτοῖς ὑπόθεσις· ἐλεύσονται δὲ ἡμέραι ὅταν ἀπ' αὐτῶν ἀρθῇ ὁ νυμφίος.

v. 16. Τί ἐστιν ὃ λέγει ὅτι οὐδεὶς ἐπιβάλλει ἐπίβλημα ῥάκους ἀγνάφου ἐπὶ ἱματίῳ παλαιῷ; δηλῶν ὅτι οὔπω γεγόνασιν ἰσχυροὶ οἱ μαθηταί· οὕτω δὲ ἄρτι διακειμένους, οὐ χρὴ ἐπιτιθέναι ἐπιτάγματα βαροῦντα.

v. 17. Ἀσκῶν μέμνηται καὶ οἴνου, ἐπειδὴ περὶ γαστριμαργίας ἦν ὁ λόγος· διὰ τοῦτο ἀπὸ τῶν αὐτῶν λαμβάνει τὰ ὑποδείγματα· καὶ ὅτι οὐδὲν αὐστηρὸν ἐπιτάττειν χρὴ καὶ βάρος ἔχον τοῖς ἀρχομένοις.

v. 20. Διὰ τί μὴ φανερῶς ἡ αἱμοῤῥοοῦσα ἦλθεν; ὡς ἀκάθαρτος εἶναι νομίζουσα διὰ τὴν ῥύσιν· ἔτι δὲ καὶ τὴν προσήκουσαν περὶ αὐτοῦ μὴ ἔχουσα δόξαν, ἐπεὶ οὐκ ἂν ἐνόμισε λανθάνειν· οὐκ ἀφῆκε δὲ αὐτὴν λαθεῖν, ἵνα πρῶτον μὲν λύσῃ αὐτῆς τὸν φόβον· δεύτερον ἵνα διορθώσηται ταύτην, ἐπειδὴ ἐνόμισε λανθάνειν· τρίτον ἵνα τὴν πίστιν αὐτῆς δημοσιεύσῃ· τέταρτον δὲ ἵνα καὶ τὸν ἀρχισυνάγωγον πιστὸν ποιήσῃ περὶ τὴν ἀνάστασιν τοῦ παιδός· τότε γὰρ αὐτὸν ἐζήτει.

v. 22. Ἵνα μὴ ἀγωνιᾷ κεκλοφυῖα, καὶ ἵνα δημοσιεύσῃ τὴν πίστιν· καὶ τὸ στῆσαι δὲ τὴν νόσον, οὐκ ἔλαττον τοῦ νοῆσαι ἐστίν.

v. 23. Ἐμνήσθη τῶν αὐλητῶν ἐν τῷ ἀρχισυναγώγῳ, ἵνα καὶ ἐν τούτῳ δημοσιεύσῃ τὴν τῶν ἀρχισυναγώγων ἄνοιαν. IX.

Τοὺς θρηνοῦντας καὶ αὐλοῦντας ἔξω τῆς οἰκίας ἐξέβαλεν, ὡς ἀναξίους αὐτοὺς τοῦ θαύματος κρίνων εἶναι. — Ἐπὶ τοῦ ἀρχισυναγώγου πάντα ἐξέβαλεν ἔξω, τοὺς δὲ μαθητὰς μόνους εἰσήνεγκεν ὁρᾶν τὸ θαῦμα· διδάσκων ἡμᾶς τὴν παρὰ τῶν πολλῶν διακρούεσθαι δόξαν, τοὺς μαθητὰς δὲ προθυμοτέρους ποιῶν.

v. 24. Τὸ οὐ τέθνηκεν ἀλλὰ καθεύδει λέγειν, δεικνύει ὅτι οὐ φοβερὸς ὁ θάνατος ἀπὸ τοῦ νῦν.

Διὰ τοῦτο κελεύει αὐτῇ δοθῆναι φαγεῖν, ἵνα μὴ δόξῃ φαντασία εἶναι τὸ γεγενημένον. (Pertinet ad Marc. V. 43.)

v. 27. Τοὺς τυφλοὺς παρέλκει κράζοντας, οὐ κενοδοξῶν, ἀλλ' ἵνα δείξῃ τὸ πιστὸν αὐτῶν. — Κατηγορία Ἰουδαίων καὶ τοῦτο ἦν, τὸ ἐξ ἀκοῆς μόνης ζητεῖν τὴν ἴασιν τοῖς τυφλοῖς· ἤκουον γὰρ περὶ τοῦ Χριστοῦ οὕτω· ἐκεῖνοι δὲ καὶ ἔβλεπον καὶ οὐκ ἐπίστευον.

Υἱὸν Δαβὶδ οἱ τυφλοὶ ἐκάλουν, διότι τιμῆς εἶναι τὸ ὄνομα ἐδόκει.

v. 28. Δευτέραν ἐρώτησιν προσάγει πρὸς αὐτούς, οὐ δοξομανῶν ἀλλὰ σπουδάζων ἱκετεύεσθαι πολλάκις· ἵνα μὴ νομίσῃ τις τοῦτον ὡς φιλότιμον ὄντα ἐπιπηδᾷν τοῖς θαύμασιν.

IX. Ὅτε τὸ μεῖζον αὐτὸν ἐκάλεσαν ὄνομα ἠτοῦντο κύριον, τότε ἰᾶται αὐτοὺς, ἐφελκόμενος εἰς τοῦτο πιστεύειν τοὺς ἀκούοντας.

v. 30. Παραγγέλλει μηδενὶ εἰπεῖν διὰ τὸ ἄτυφον καὶ ἀκενόδοξον.

v. 32. Ἡ κώφευσις οὐκ ἦν φυσικὴ ἀσθένεια, ἀλλὰ ἐκ δαίμονος ἐπιβουλῆς.

CAP. X.

X. v. 2. Διὰ τί Σίμωνα λέγει τὸν λεγόμενον Πέτρον; καὶ διὰ τί Ἰάκωβον τὸν Ἀλφέου; ὅτι ἦν καὶ ἄλλος Σίμων καὶ ἄλλος Ἰάκωβος.

v. 8. Ἵνα μὴ ἐπαρθῶσιν ὑπὸ τῶν γινομένων ὑπ' αὐτῶν θαυμάτων, εἶπεν, δωρεὰν ἐλάβετε, δωρεὰν δότε.

v. 10. Τί γὰρ ἡ ῥάβδος κωλύει πρὸς τὸ κήρυγμα; ἢ ποία ἁμαρτία ἦν ἡ τῆς ῥάβδου κράτησις; ἀλλὰ τὸ τραχὺ τῆς παιδείας τῇ ῥάβδῳ παρεικάζων, ἀπαγορεύει τέως τῷ σκληρῷ τῆς παιδείαις μὴ χρᾶσθαι παρὰ τὴν ἀρχὴν τῆς διδασκαλίας· ὅτι δὲ ἐπὶ ῥάβδου λαμβάνεται τὸ αὐστηρὸν τῆς παιδείας, μαρτυρησάτω μοι Παῦλος· ἀκούσας γὰρ ἐν Κορίνθῳ τινὰς ἁμαρτήσαντας, γράφει λέγων, τί θέλετε; ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ πνεύματί τε πραό-

τῆτος; διὰ τοῦτο καὶ ὁ κύριος τοὺς νεοστὶ προσελθόντας αὐτῷ ἀνθρώπους, οὐ πρότερον νηστεύειν ἐπιτρέπει, ἀλλὰ πρότερον πιστεύειν καὶ τότε νηστεύειν· ὅθεν ἐγκαλούμενος ὑπὸ τῶν Φαρισαίων διὰ τί οἱ Ἰωάννου μαθηταὶ νηστεύουσι, προσφόρως καὶ ἁρμοζόντως ἀποκρίνεται λέγων, οὐδεὶς ἐπιβάλλει ἐπίβλημα ῥάκους ἀγνάφου ἐπὶ ἱματίῳ παλαιῷ· εἰ δὲ μή γε πλεῖον σχίσμα γίνεται· ἱμάτιον παλαιὸν, τὸν ἐν τῇ παλαιότητι παραβάσεως τοῦ ἀρχαίου Ἀδὰμ γεννηθέντα ἄνθρωπον λέγει· καινὸν δὲ ῥάκος, τὸ νεαρὸν κήρυγμα τῆς νηστείας· ἐὰν γὰρ θελήσῃς τῷ παλαιωθέντι ἐν τῇ ἁμαρτίᾳ ἕλληνι πρῶτον ἐπιβάλλειν τὸ νεαρὸν κήρυγμα τῆς νηστείας, πλέον σχίζεται ἤπερ συνάπτεται, πλέον χωρίζεται τῆς ἐκκλησίας. X.

Τὸ ἄξιος ἐργάτης τοῦ μισθοῦ αὐτοῦ, διὰ τὸ ἐκ τῶν ἰδίων μαθητῶν τρέφεσθαι· λέγει γὰρ αὐτοὺς τοὺς ἀποστόλους δηλονότι.

v. 12. Τὸ μὴ οἰκίαν ἐξ οἰκίας ἀμείβειν, ἕνεκα τοῦ μὴ δοξομανεῖν εἴρηται, ἢ τοῦ μὴ λυπεῖσθαι τὸν καταλιμπανόμενον.

v. 14. Τὸ ἐκτινάσσειν τὸν κονιορτὸν τῶν ποδῶν αὐτῶν ἐπετέτακτο καὶ ἐπράττετο αὐτοῖς, ἢ ὥστε δεῖξαι μηδὲν λαβεῖν αὐτοὺς παρ' αὐτῶν μηδὲ βούλεσθαι· ἢ ὥστε εἰς μαρτύριον αὐτοῖς

x. Γενέσθαι τῆς μακρᾶς ὁδοιπορίας ἣν ἐβάδισαν δι' αὐτούς. — Τὸ ἐκτινάξατε τὸν κονιορτὸν τῶν ποδῶν ὑμῶν, ἢ ὅτι οὐδὲν ἐλάβετε φησὶν δείξατε· ἢ ὅτι δείξατε αὐτοῖς ὅτι μακρὰς ὁδοιπορήσατε δι' αὐτοὺς, κἂν οὐδὲν ὠφελήθησαν.

v. 16. Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς· τὸ ἐγὼ ἀντὶ τοῦ ἐστὼ ὁ κραταιὸς καὶ δυνατός· ὅπερ ἀρκεῖ εἰς παραμυθίαν.

Τὸ ὡς πρόβατα ἐν μέσῳ λύκων, τὴν ἡμερότητα αὐτῶν ἐμφαίνει, ἣν ἔχειν δεῖ διδασκόντων αὐτῶν.

Καὶ τῆς περιστερᾶς τὴν ἁπλότητα λέγει αὐτοὺς φυλάττειν καὶ ἀκακίαν· καὶ κεράσαι βουλόμενος ταῦτα ἵνα γένηται ἀρετὴ, τὴν φρόνησιν τοῦ ὄφεως ἔχειν λέγει, εἰς τὸ τηρεῖν ὡς ἐκεῖνος τὴν κεφαλὴν, ἤγουν τὴν πίστιν.

v. 19. Τὸ μὴ μεριμνήσητε τί λαλήσητε, τὸ θαῤῥεῖν εἰσάγει αὐτούς· ἀμαθεῖς γὰρ ἦσαν.

v. 23. Τὸ οὐ μὴ τελέσητε τὰς πόλεις τοῦ Ἰσραὴλ, ἕως ἂν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου, τουτέστιν ἕως οὗ ὑμᾶς καταλήψομαι· καὶ γὰρ ἤρκει εἰς παραμυθίαν αὐτοῖς τὸ ἰδεῖν αὐτὸν καὶ μόνον.

v. 24. Τὸ οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον, ἀπὸ τοῦ πλείονος τὸν λόγον δέξαι· τοῦτο γὰρ ὡς ἐπὶ τὸ πλεῖστον· καὶ μάλιστα ἕως ἐστὶ δοῦλος ἢ μαθητής.

v. 25. Πόσῳ μᾶλλον τοὺς οἰκειακοὺς αὐτοῦ X.
εἶπεν, ἤγουν ὑμᾶς· οὐκ εἶπεν δούλους ἀλλ' οἰκειακοὺς, πολλὴν πρὸς αὐτοὺς οἰκειότητα ἐπιδεικνύμενος, καὶ θαῤῥεῖν αὐτοὺς ποιῶν.

v. 26. Τὸ οὐδέν ἐστιν ἀπόκρυφον ὃ οὐ φανερωθήσεται πρὸς τοὺς ἀποστόλους λεγόμενον, τοιαύτην ἔχει τὴν διάνοιαν, ἀπὸ τοῦ εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσι, λαβὼν τὴν ἀρχὴν τῆς ἐννοίας· ἀντὶ τοῦ κωμῳδήσαντες ὑμᾶς πρότερον, ὕστερον γνωρίσουσιν οἵ τινες ἐστέ.

v. 27. Σκότος καὶ οὖς λέγει, οὐχ ὅτι εἰς τὸ οὖς καὶ ἐν σκοτίᾳ διελέγετο, ἀλλ' ὅτι φησὶ τὰ κρυπτῶς διδασκόμενα μετὰ παῤῥησίας ἔσονται· τὸ δὲ ἐπὶ τῶν δωμάτων, ἀντὶ τοῦ εἰς τὴν οἰκουμένην πᾶσαν λέγει.

v. 29. Δύο στρουθία ἀσσαρίου πωλεῖται· τὴν πρόνοιαν εἰσάγει, ὡς οὐδὲ ἐκεῖνα κρατηθήσονται ἀγνοοῦντος τοῦ θεοῦ, οὐχ ὅτι ἐνεργοῦντος αὐτοῦ πίπτουσιν εἰς παγίδα.

v. 30. Τὸ καὶ αἱ τρίχες ὑμῶν ἠριθμημέναι εἰσὶ, τοῦτο σημαίνει ὡς φιλεῖσθαι παρὰ θεῷ καὶ γινώσκεσθαι καὶ προνοεῖσθαι.

v. 32. Οὐκ εἶπεν ὅτι ὁμολογήσει ἐμὲ ἀλλ' ἐν ἐμοί· δεικνὺς ὅτι οὐκ οἰκείᾳ δυνάμει, ἀλλὰ τῇ ἄνω βοηθούμενος χάριτι ὁμολογεῖ ὁμολογῶν Χριστόν.

X. v. 33. Περὶ τοῦ ἀρνουμένου οὐκ εἶπεν ἐμοὶ ἀλλ' ἐμέ· ἔρημος γὰρ γενόμενός τις θεοῦ οὕτως ἀρνεῖται τὸν Χριστόν.

v. 34. Οὐκ ἦλθον βαλεῖν εἰρήνην ἀλλὰ μάχαιραν· τὸ νενοσηκὸς ἀπὸ τοῦ ὑγιαίνοντος, καὶ τὸ στασιάζον ἀπὸ τοῦ εἰρηνεύοντος λέγει.

v. 37. Τὸ ὁ φιλῶν πατέρα καὶ τὰ ἑξῆς τοῦτο λέγει· ὅταν πλέον τῆς ἀγάπης τοῦ θεοῦ καὶ τῶν αὐτοῦ ἐντολῶν. Λουκᾶς λέγει, ὅτι εἴ τις ἔρχεται πρός με καὶ οὐ μισεῖ τὸν πατέρα αὐτοῦ, ἀντὶ τοῦ ἀπιστοῦντος τοῦ πατρὸς αὐτοῦ· ἢ μὴ ἀπίστου ὄντος, ἀπαιτοῦντος δὲ πλέον φιλεῖν αὐτὸν ὑπὲρ Χριστὸν, δεῖ φησι τοῦτον ἀποστρέφεσθαι.

v. 38. Τὸ ὅστις οὐ βαστάζει τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ μοι, τοῦτο δηλοῖ τὸ πρὸς θάνατον εἶναι ἑτοίμους· ὡς ἐπὶ πολὺ γὰρ ὁ τῶν παλαιῶν θάνατος διὰ σταυροῦ ἦν ὡς νῦν διὰ ξίφους.

v. 39. Τὸ ὁ εὑρὼν τὴν ψυχὴν αὐτοῦ ἀντὶ τοῦ ὁ φιλῶν αὐτὴν ἐν ἡδοναῖς λέγει.

Τὸ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ ἀντὶ τοῦ διὰ θανάτου στερηθεὶς αὐτῆς λέγει.

v. 41. Τὸ ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου καὶ δικαίου, μισθὸν προφήτου λήψεται, τοῦτο λέγει, τὸ μὴ διὰ βιωτικὴν προστα-

σίαν δέξασθαι αὐτὸν, ἀλλὰ διότι προφήτης ἐσ- X.
τὶν, ἢ διότι δίκαιός ἐστι· τὸ δὲ μισθὸν προφή-
του λήψεται, καὶ ἄλλως ἐστὶ νοῆσαι· ἢ οἷον αὐ-
τὸς ὁ προφήτης μέλλοι λαμβάνειν μισθόν· προ-
φήτην δὲ νοήσεις καὶ τὸν ψευδοπροφήτην.

v. 42. Τὸ ποτήριον τοῦ ὕδατος τοῦ ψυχροῦ, τούτου χάριν δέχεται, ἵνα καὶ τῶν πενήτων τὴν ἀφορμὴν ἐκκόψῃ, ὡς δύναται παρέχειν, καὶ τὴν προαίρεσιν γυμνώσῃ αὐτῶν.

CAP. XI.

v. 1. Διὰ τοῦτο μετὰ τὸ διδάξαι τοὺς μα- XI.
θητὰς, μετέβη φησὶν ἐκεῖθεν διδοὺς χώραν αὐ-
τοῖς ἰᾶσθαι· παρόντος γὰρ αὐτοῦ, οὐδεὶς ἂν
ἐκείνοις ἠθέλησε προσελθεῖν πρὸς θεραπείαν.

v. 2. Διὰ ζηλοτυπίαν Ἰωάννου μαθητῶν πρὸς Χριστὸν ἐγένετο ἡ ἀποστολὴ παρὰ Ἰωάννου· καὶ τὸ ἐρωτῆσαι αὐτὸν τίς ἦν· εἶχον γὰρ τὸν μὲν Χριστὸν ψιλὸν ἄνθρωπον, τὸν δὲ Ἰωάννην κρείττονα ἢ κατὰ ἄνθρωπον· ἐπεὶ οὐκ ἐγίνωσκεν ἑαυτὸν παρεχόμενον, ἵνα ὠφελήσῃ αὐτούς· τοῦτο χάριν πέμπει δῆθεν αὐτὸς μαθεῖν ἵν' ἐκεῖνοι μάθωσιν· οὔτε γὰρ τὸ σιγῆσαι Ἰωάννην περὶ τούτου καλὸν, οὔτε τὸ εἰπεῖν μείζων μου ἐστὶ, δυσαποστάτως ἔχοντες πρὸς Ἰωάννην· διὰ τοῦ-

XI. το καὶ ἐλθόντων αὐτῶν ἐνώπιον αὐτῶν ἐθεράπευσεν.

v. 6. Διὰ τοῦ εἰπεῖν μακάριος ὃς οὐ σκανδαλισθῇ ἐν ἐμοὶ, ἔδειξε ὅτι καὶ τὰ ἀπόῤῥητα οἶδε τῶν ἀπιστούντων.

v. 7. Διὰ τὸ μὴ ὑποπτεῦσαι τοὺς ὄχλους ὅτι πρότερον μαρτυρῶν ὁ Ἰωάννης περὶ τοῦ Χριστοῦ, ὕστερον ἐρωτᾷ εἰ σὺ εἶ· τούτου χάριν λέγει ἀκουόντων τῶν ὄχλων, τί ἐξήλθετε ἰδεῖν εἰς τὴν ἔρημον; κάλαμον ὑπὸ ἀνέμου; καὶ τὰ ἑξῆς· τοῦτο δὲ λέγει ὅτι ἑδραῖός ἐστι, καὶ οὐκ εὐρύπιστος ὡς κάλαμος.

v. 9. Περισσότερον ἐστὶν προφήτου, ὅτι ἐγγύς ἐστι τοῦ προφητευομένου καὶ πρόδρομος αὐτοῦ. — Οἱ λέγοντες αὐτὸν μὴ μείζονα εἶναι προφητῶν ὡς ἀγνοοῦντα, οὐκ οἴδασι τί λέγουσιν· οὐ γὰρ ἠγνόει, ἀλλὰ διὰ τοὺς μαθητάς· ἔπειτα μείζων ὅσῳ καὶ τὸν προφητευόμενον εἶδεν.

Ἐγίνωσκεν Ἰωάννης ὅτι δεῖ παθεῖν τὸν Χριστόν· ὅταν γὰρ λέγῃ αὐτὸν ἀμνὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, τοῦτο αἰνιττόμενος λέγει· καὶ τὸ ἐν πνεύματι βαπτίσει ὑμᾶς, τὰ μετὰ τὴν ἀνάστασιν διὰ τὴν πεντηκοστὴν αἰνίττεται.

v. 11. Τὸ οὐκ ἐγήγερται μείζων Ἰωάννου ἐν γεννητοῖς γυναικῶν, παρεληλυθότος ἐστὶ χρόνου, οὐ μέλλοντος· ἵνα μή τις ὑποπτεύσῃ καὶ

τῶν μετὰ ταῦτα ἀποστόλων κρείττονας εἶναι τοὺς XI.
παρεληλυθότας, συγκρίνει μόνον πρὸς αὐτόν.

Τὸ μικρότερον λέγειν τινὰ Ἰωάννου, ἑαυτὸν λέγει μικρότερον κατὰ τὸν χρόνον, μικρότερον κατὰ τὴν τῶν πολλῶν δόξαν· τοῦτο δὲ λέγει μετὰ τὸ ἐγκωμιάσαι αὐτὸν· ἵνα μὴ ἡ ὑπερβολὴ καὶ ἀσύγκριτος τῶν ἐγκωμίων παράθεσις ἐξαίρετον αὐτὸν δείξῃ, καὶ αὐτοῦ τοῦ ἐπαινοῦντος Χριστοῦ.

v. 12. Τίνα λέγων βασιλείαν; τὴν πίστιν τὴν εἰς αὐτόν· οὗτος γὰρ ὁ οὐράνιος βασιλεύς.

Τὴν βασιλείαν τῶν οὐρανῶν εἶναι τινὲς λέγουσι τὴν ἐν οὐρανοῖς τῶν ἀξίων διαγωγήν· ἕτεροι δὲ τὴν ὁμοίαν τοῖς ἀγγέλοις τῶν σωζομένων κατάστασιν· ἄλλοι δὲ τὸ εἶδος αὐτὸ τῆς θεϊκῆς ὡραιότητος, τῶν φορεσάντων τὴν εἰκόνα τοῦ ἐπουρανίου· συνάγουσι δὲ τῇ ἀληθείᾳ κατὰ τὸ ἐμοὶ δοκοῦν καὶ αἱ τρεῖς περὶ τούτου δόξαι· ἑκάστῳ γὰρ κατὰ τὴν ἀναλογίαν τῆς ἐν αὐτοῖς κατὰ τὸ ποιόν τε καὶ ποσὸν δικαιοσύνης, ἡ μέλλουσα χάρις.

v. 14. Τὸ αὐτός ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι· οὐ μόνον νοοῖτο ὅτι ὁ λεχθεὶς ἐλεύσεσθαι, ἀλλ' ὅτι φησὶν ὥσπερ Ἰωάννης πρόδρομος γέγονε τῆς πρώτης αὐτοῦ παρουσίας, οὕτως Ἠλίας τῆς δευτέρας ἔσται.

XI. v. 15. Τὸ ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω, βουλομένου ἐστὶ διεγεῖραι τὴν γνώμην τῶν ἀκουόντων· καὶ διὰ τοῦτο αἰνιγματωδῶς λέγοντος.

v. 16. Τὸ ηὐλήσαμεν καὶ οὐκ ὠρχήσασθε, μηδεὶς ὡς χακέμφατον ἐπιλάβηται· ὡς πρὸς ἰδιῶτα γὰρ λέγει νοῦν.

v. 18. Μήτε ἐσθίων μήτε πίνων, δηλαδὴ κρέα καὶ οἶνον· ἄνευ γὰρ τῶν ἄλλων ζῆν οὐκ ἠδύνατο.

v. 19. Τὸ ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν τέκνων αὐτῆς, τοῦτο λέγει ὅτι εἰ καὶ οὐκ ἐπίστευσαν ἰουδαῖοι, ἐγκαλεῖν οὐκ ἔχουσιν αὐτῷ· καὶ γὰρ τὰ αὐτοῦ πάντα ἐπλήρωσεν· ὥστε τοῖς ἀναισχυντεῖν βουλομένοις, οὐδὲ σκιὰν καταλιπεῖν ἀφορμῆς· καὶ γὰρ εἰ καὶ μὴ ἰουδαῖοι ἐπίστευσαν εἰς τὸν Χριστὸν, μήτε διὰ τῆς Ἰωάννου νηστείας καὶ τοῦ ἐρημικοῦ βίου, μηδὲ διὰ τῆς συγκαταβατικῆς διαίτης καὶ οἰκονομικῆς πολιτείας αὐτοῦ τοῦ δεσπότου Χριστοῦ· ἀλλ' οὖν αὐτὸς ὁ πάντα σοφῶς ἐκτελῶν τῷ μηδὲν παραλιπεῖν τῶν συντελούντων εἰς ὄνησιν καὶ σωτηρίαν αὐτῶν, ἐδικαιώθη ἀπ' αὐτῶν· καὶ οὐκέτι λοιπὸν ἔχουσιν αὐτῷ τί ἐγκαλεῖν· πάντα γὰρ ἐξεπλήρωσεν τὰ αὐτοῦ, μηδὲ σκιὰν αὐτοῖς ἀγνωμοσύνης ἢ ἀχαριστίας καταλιπών.

v. 25. Τὸ ἐξομολογοῦμαί σοι πάτερ, ἀντὶ τοῦ εὐχαριστῶ σοι κεῖται· ὅτι ἃ φησὶ, σοφοὶ

οὐκ ἔγνωσαν, νήπιοι ταῦτα ἔγνωσαν, ἤγουν οἱ ἀπόστολοι. XI.

v. 26. Τὸ ἐγένετο εὐδοκία ἔμπροσθέν σου, ἀντὶ τοῦ ἤρεσέ σοι κεῖται.

v. 27. Πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρὸς λέγεται, ἵνα μὴ ἀντίθεος νομισθῇ.

C A P. XII.

v. 1. Οὐδαμοῦ φαίνεται λύων τὸ σάββατον XII.
χωρὶς αἰτίας, ἵνα καὶ τὸν νόμον ἀναπαύσῃ, καὶ τοὺς ἰουδαίους μὴ πλήξῃ, καὶ τὰ θαύματα τελέσῃ.

v. 4. Ὅταν μὴ ἐγκαλῆται ὁ πεποιηκὼς, νόμος γίνεται ἡ ἀπολογία τοῦ τολμήματος· τοῦτο δὲ πρὸς τοὺς ἄρτους τῆς προθέσεως νοεῖται οὓς ἔφαγε Δαβίδ.

v. 5. Ἐν γὰρ τοῖς σάββασι παντὸς ἔργου χειροκμήτου κεκωλυμένου αὐτοὶ ἐν τῷ ἱερῷ οἱ ἱερεῖς ἐξυλοκόπουν καὶ πῦρ ἧπτον καὶ ἐκρεανόμουν.

v. 20. Διὰ τούτου τὴν αὐτοῦ ἰσχὺν καὶ πραότητα, καὶ τῶν ἰουδαίων τὸ ἀσθενὲς ὑπογράφει, ὅτι ὡς κάλαμός ἐστι συντετριμμένος ἐνώπιον αὐτοῦ, εἴ γε βούλοιτο αὐτοὺς ἀφανίσαι· ἀλλὰ τέως

XII. οὐ κατάγει αὐτούς· καὶ λίνος δὲ τυφόμενος ὁ θυμὸς αὐτῶν ὁ ἀκατάσχετος δηλωθείη ἄν.

v. 22. Ὁ τυφλὸς καὶ κωφὸς ἐκ τοῦ δαίμονος τοῦτο ἔπαθον· ἀλλ' ὁ Χριστὸς εἰς τὸ αὐτὸν ἰδεῖν, καὶ τὰ ἑαυτοῦ ἀκοῦσαι, ὀμμάτωσε καὶ ἀκοῦσαι παρεσκεύασεν· ἢ εἰς τὸ δοξασθῆναι Χριστόν.

v. 27. Οἱ ἀπόστολοι δηλονότι.

Ἐλέγχοντες ὑμῶν τὴν ἀπιστίαν καὶ θριαμβεύοντες.

v. 28. Οὐχ ἡ δευτέρα ἀλλ' ἡ πρώτη ἐφ' ᾗ χαίρειν δέον καὶ ἀνυμνεῖν, ὑμεῖς ὀργίζεσθε καὶ διαβάλλετε.

v. 29. Τὸ ἐὰν μὴ δήσῃ τὸν ἰσχυρὸν, τὸν ἰσχυρὸν λέγει τὸν διάβολον, οὐκ ἐκ τῆς αὐτοῦ φύσεως ἀλλ' ἐκ τῆς ἡμετέρας ἀμελείας.

v. 30. Ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστιν, σκοπὸν ἔχει τοιοῦτον, ὅτι ἐγὼ μὲν ἀρετὴν διδάσκω, οἱ δὲ δαίμονες τὰ ἐναντία τούτοις· πῶς οὖν ὁ μετ' ἐμοῦ ὢν, ἐμοὶ συμπράττειν ἔμελλεν;

v. 31. Ἀπροφασίστως· τοῦτο δῆλον ἀμετανοήτων μενόντων ἑκατέρων· εἰ δή γε ἀξίαν τῆς ἁμαρτίας μετάνοιαν ἐπιδείξαιντο, ἀφεθήσεται· ὁ μὲν τὴν ἐκείνην δίκην ἣν καὶ ὑπέτεινε μόνην· ὁ δὲ ἃς ὤφλεν, τήν τε ἐνταῦθα καὶ τὴν ἐκεῖθεν.

Ἀφεθήσεται τοῖς ἀνθρώποις ἡ εἰς τὸν υἱὸν XII.
τοῦ ἀνθρώπου ἁμαρτία ἐν τῷ νῦν αἰῶνι· καὶ οὐ τίσουσιν ὑπὲρ αὐτῆς ἐνταῦθα δίκην, ἐν μέν τοι τῷ μέλλοντι ἀποτίσουσιν· ἡ δ' εἰς τὸ πνεῦμα βλαφημία, οὔτε ἐν τῷ νῦν οὔτε ἐν τῷ μέλλοντι ἀφεθήσεται· καὶ γὰρ ὅλη ἐστὶν ἡ τοιαύτη ἁμαρτία.

Τῷ βλασφημοῦντι εἰς τὸ πνεῦμα οὐκ ἀφεθήσεται· τοῦτο δὲ λέγει περὶ τοῦ ἁγίου πνεύματος καὶ τῶν σημείων ὧν ἐποίει· τὸ δὲ οὐκ ἀφεθήσεται οὔτε ἐν τῷ νῦν οὔτε ἐν τῷ μέλλοντι, τοῖς μὴ μετανοοῦσι λέγει.

v. 33. Τὸ ἢ ποιήσατε τὸ δένδρον σαπρὸν, καὶ τὸν καρπὸν αὐτοῦ σαπρὸν· ἢ τὸ δένδρον καλὸν, καὶ τὸν καρπὸν αὐτοῦ καλὸν, περὶ ἑαυτοῦ λέγει· ἢ διαβάλετε φησὶ τὰ σημεῖα καὶ τὸν ποιοῦντα ἐμὲ, ἢ ἀποδέξασθε· ἐπεὶ τοῦτο καὶ δεῖ· καὶ μὴ λέγετε ἐν τῷ Βεελζεβοὺλ ἐκβάλλεις τὰ δαιμόνια.

v. 34. Γεννήματα αὐτοὺς καλεῖ ἐχιδνῶν, ἐπειδὴ ἐπὶ τοῖς προγόνοις μέγα ἐφρόνουν· κακοὶ δὲ ὄντες ἀνήρουν τοὺς προγόνους, ὡς ἐκεῖναι.

v. 39. Τὸ γενεὰ ἄπιστος καὶ μοιχαλὶς, καὶ διὰ τοὺς αὐτῶν πατέρας λέγει καὶ διὰ τοὺς ἐκείνους· ἠπίστησαν γὰρ καὶ οἱ πατέρες αὐτῶν ἐν τῇ ἐρήμῳ τοῖς θαύμασιν· ἠπίστησαν δὲ καὶ

XII. αὐτοὶ ἀρτίως· μοιχαλίδα δὲ λέγει αὐτοὺς συναγωγὴν, ὅτι ἀφέντες τὸν Θεὸν οἱ πατέρες αὐτῶν ἐξεπόρνευσαν ἐν τοῖς δαίμοσιν· οὗτοι δὲ αὐτὸν παραγενόμενον προσδέξασθαι οὐκ ἠθέλησαν.

Τὸ λέγειν αὐτοῖς ὅτι οὐ δοθήσεται ὑμῖν σημεῖον εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ, τὴν τριήμερον ταφὴν καὶ ἀνάστασιν λέγει.

v. 40. Καρδίαν τῆς γῆς τὸν τάφον λέγει.

v. 41. Τοὺς νινευίτας λέγει κατακρίναι τὴν γενεὰν αὐτῶν, ὅτι ἐκεῖ μὲν δοῦλος ἐκ κήτους καταστροφὴν βαρβάροις μηδὲν θαῦμα ποιήσας ἐκήρυττεν, καὶ ὑπηκούετο· ὧδε δεσπότης ἐκ θανάτου βασιλείαν εὐαγγελιζόμενος ἐννόμοις ἀνθρώποις μετὰ θαυμάτων ἐδίδασκεν, καὶ οὐκ εἰσηκούετο.

v. 42. Ἰδοὺ πλεῖον Σολομῶνος ὧδε· ἐκεῖνος μὲν γὰρ περὶ δένδρων καὶ ξύλων καὶ φύσεως τινὸς διελέγετο, οὗτος δ' ὑπὲρ ἀποῤῥήτων καὶ οὐρανίων μυστηρίων.

v. 43. Πῶς νοεῖται καὶ ποία διάνοια λέγει ὅτι τὸ πνεῦμα τὸ ἀκάθαρτον καὶ πονηρὸν ὅταν ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου, καὶ τὰ ἑξῆς; Ὃ λέγει τοιοῦτόν ἐστιν, ὅτι ἐλυτρωσάμην ὑμᾶς ἐξ εἰδώλων διὰ προφητῶν, τοῦ πνεύματος τοῦ ἀκαθάρτου διωχθέντος ἀφ' ὑμῶν, εἶτα τὸν οἶκον οὐκ ἐσαρώσατε· λοιπὸν πλειόνων κακῶν ἄξιοι γενήσεσθε.

v. 48. Διὰ τί ἐπιτιμᾷ πράως τῇ μητρὶ λέγων, τίς ἐστιν ἡ μήτηρ μου; καὶ τίνες εἰσὶν οἱ ἀδελφοί μου; πρῶτον μὲν τὴν διδασκαλίαν προτιμῶν τῶν γενεῶν· ἔπειτα δὲ τῆς κενοδοξίας ἀπαλλάξαι βουλόμενος τὴν μητέρα· ἐβούλετο γὰρ ἐπιδείξασθαι τῷ λαῷ ὅτι κρατεῖ αὐτοῦ καὶ ὑπακούεται· εἰ γὰρ μὴ τοῦτο ἦν, ἔδει εἰσελθοῦσαν ἀκούειν μετὰ τοῦ ὄχλου, ἕως ἂν τὸν λόγον καταπαύσῃ· ἔπειτα δὲ χρὴ ὁρᾷν τίς ἐστιν καὶ ὁ ἐπιτιμῶν, ὅτι Θεὸς καὶ Θεοῦ υἱός· ὅμως οὐδὲν ἔχει ὅτι οὐκ εἶ μου μήτηρ, ἀλλὰ πρὸς τὸν εἰπόντα ἀποτείνεται λέγων· ἔπειτα καὶ διδάσκει μὴ θαῤῥοῦντας συγγενείᾳ, ἀμελεῖν ἀρετῆς καὶ διδασκαλίας. XII.

C A P. XIII.

v. 1. Τίνος χάριν ἐκάθισεν εἰς τὸ πλοῖον, XIII.
καὶ οὕτως ἐδίδασκεν; βουλόμενος ἐξ ἐναντίας αὐτοῦ καὶ μὴ κατόπιν πάντας εἶναι.

v. 3. Περὶ τίνος λέγει καὶ ἐξῆλθεν ὁ σπείρων τοῦ σπείρειν; περὶ αὐτοῦ λέγει· σπέρμα μὲν ὁ θεῖος λόγος νοεῖται· καὶ τὸ μὲν παρὰ τὴν ὁδὸν, οἱ βάναυσοι καὶ ῥάθυμοι· εἰσὶ δὲ ἐν τῇ πέτρᾳ, οἱ ἀσθενέστεροι, μόνον λαβόντες καὶ μὴ ἀναμοχλεύοντες εἰς τὸ δέξασθαι· οἱ δ' ἐν ταῖς ἀκάνθαις, οἱ ἐν μερίμναις.

XIII. v. 8. Τίς ὁ καρποφορῶν τὰ ἑκατόν; τίς ὁ τὰ ἑξήκοντα; τίς ὁ τριάκοντα; ἔστι δὲ ἑκατὸν, παρθενία· τὰ ἑξήκοντα, γάμος σεμνὸς καὶ σώφρων, μεριζόμενος μετὰ Χριστοῦ τὰ ὑπάρχοντα· τὰ δὲ τριάκοντα, ὁμοίως γάμος σεμνὸς καὶ σώφρων τὴν τρίτην διδοὺς μοῖραν, προδήλως φυλαττομένων καὶ τῶν λοιπῶν ἀρετῶν.

v. 10. Διὰ τί νῦν μὲν ἐν παραβολαῖς διαλέγεται, ὅτε δὲ ἐπὶ τοῦ ὄρους ἐδίδασκεν οὐχ οὕτως; ὅτι τότε μὲν ὄχλος ἄκακος ἦν, νῦν δὲ γραμματεῖς καὶ Φαρισαῖοι.

v. 12. Τὸ ὅστις ἔχει, δοθήσεται αὐτῷ καὶ περισσευθήσεται καὶ τὰ ἑξῆς, δηλοῖ ὅταν τις προθυμίαν ἔχῃ, δοθήσεται αὐτῷ καὶ τὰ παρὰ τοῦ θεοῦ ἅπαντα.

v. 18. Αὕτη ἡ παραβολὴ περὶ τῶν αἱρέσεων διαλαμβάνει.

v. 25. Ἡ περὶ τῶν ζιζανίων παραβολὴ ἡ λέγουσα ὅτι ἐν τῷ καθεύδειν τοὺς ἀνθρώπους ἦλθεν αὐτοῦ ὁ ἐχθρὸς καὶ ἔσπειρε ζιζάνια ἀνὰ μέσον τοῦ σίτου καὶ ἀπῆλθε· ζιζάνια λέγει τοὺς αἱρετικούς· τοὺς δὲ ὑπνοῦντας, τοὺς ἱερεῖς· ὅτι δὲ ὥσπερ τὸ ζιζάνιον ἔοικεν τῷ σίτῳ, οὕτως καὶ ἡ αἵρεσις τῇ ἀληθείᾳ· ὥστε διηνεκῶς φυλακῆς δεῖ· ἄλλοι δὲ τὴν παραβολὴν ταύτην εἰς τὰς ἐπιβουλὰς τῶν δαιμόνων ἐνενόησαν.

v. 26. Ὅτε δὲ ἐβλάστησεν ὁ χόρτος, τότε XIII.
ἐφάνη καὶ τὰ ζιζάνια· παρὰ μὲν τῇ ἀρχῇ συσκιάζουσιν οἱ αἱρετικοὶ ἑαυτούς· ἐπ' ἂν δὲ πολλὴν λάβωσι παῤῥησίαν, τότε τὸν ἰὸν ἐκχέουσιν.

v. 30. Θερισμὸν νῦν τὴν συντέλειαν λέγει· ζιζάνια δὲ τοὺς αἱρετικοὺς, οὓς καὶ κωλύει ἀναιρεῖσθαι· οὐ μέν τοι γε μὴ περικόπτεσθαι αὐτῶν τὴν παῤῥησίαν καὶ τὰς συνόδους· καὶ ἀλλαχοῦ θερισμὸν τὴν ὑπακοὴν τῶν ἀκουσάντων, ὡς μὲν θερισμὸς πολὺς, οἱ δὲ ἐργάται, ἤτοι οἱ διδάσκαλοι, ὀλίγοι· δώδεκα γὰρ ἦσαν οἱ μαθηταί.

Οἱ θερισταὶ ἄγγελοί εἰσιν οἱ μισοῦντες τὰς αἱρέσεις, καὶ ἐκκόψαι αὐτὰς βουλόμενοι· τὸ δὲ ἐκκόψαι, δηλοῖ τὴν αὐτῶν σφαγήν· οὐκ ἐπιτρέπει δὲ ὁ θεὸς, ἵνα μὴ πολέμων κινηθέντων, ἐν τῷ κατασφάττεσθαι αὐτοὺς ἀνάγκη πολλὴ καὶ τοὺς τοῦ σίτου ἤγουν τοὺς τῆς ὀρθοδόξου πίστεως τῇ σφαγῇ ὑποπίπτειν· ἵνα οὖν τοῦτο μὴ γένηται, ἔτι δὲ καὶ διὰ τὸ ἐπιστρέψαι τοὺς αἱρετικοὺς, ἔστιν ὅτε ἴσως γένηται σῖτος τὰ ζιζάνια, παντελῶς ἐκώλυσε τὴν ἀναίρεσιν αὐτῶν. — Τὸ ἀναβλέψατε ὅτι αἱ χῶραι λευκαί εἰσιν, τὴν τελείαν ὑπακοὴν τῶν πιστευσάντων λέγει· ἔστι δὲ ὅτε θερισμὸν τὴν συντέλειαν· ἔστι δὲ ὅπου καὶ θερισμὸν καὶ σπόρον αὐτὸ καλεῖ, πρὸς ἄλλο καὶ ἄλλο λαμβανόμενον.

XIII. v. 31. Κόκκον σινάπεως τὴν βασιλείαν τῶν οὐρανῶν λέγει, τὴν διὰ τοῦ κηρύγματος φανερωθεῖσαν· ἐπειδὴ σπόρον ἔχει τὸ λάχανον, τοῦτο αὐξηθὲν δὲ μεῖζον γίνεται τῶν λαχάνων· οὕτως καὶ ἐπὶ τοῦ κηρύγματος πάντων οἱ ἀπόστολοι ἀσθενέστεροι ὄντες, ἐξήπλωσαν τὸ κήρυγμα πανταχοῦ.

v. 33. Τὸ ὁμοία ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ ζύμῃ, ἣν λαβοῦσα γυνὴ ἔκρυψεν εἰς ἀλεύρου σάτα τρία, ἕως οὗ ἐζυμώθη ὅλον. Ζύμη ὁ θεῖος λόγος ὁ ἐν τοῖς ἀποστόλοις, ὁ μεταστήσας πρὸς τὴν ἑαυτοῦ δύναμιν τὸν πάντα κόσμον· ὥσπερ ἡ ζύμη πρὸς τὴν ἑαυτῆς ἰσχὺν τὸ ἄλευρον· τρία δὲ σάτα, τὰ πολλὰ λέγει· ἐπὶ πλήθους γὰρ τὸν ἀριθμὸν τόνδε λαμβάνειν ἡ γραφὴ πέφυκε· ἀλλὰ καὶ οἱ ἔξω, ὡς τὸ τρισμάκαρες Δαναοί.

v. 36. Ὅτι ἐν παραβολαῖς ἐλάλει αὐτοῖς, εἰς ἐρώτησιν αὐτοὺς προτρεπόμενος· ἐπειδὴ δὲ οὐδεὶς ἠρώτησεν, ἀφεὶς αὐτοὺς ἀπῆλθεν.

Διὰ τί προσῆλθον αὐτῷ μετὰ παῤῥησίας ζητοῦντες τὴν λύσιν τῆς παραβολῆς τῶν ζιζανίων; ὅτι ἤδη ἤκουσαν, ὑμῖν δέδοται ἀκούειν τὰ μυστήρια τῆς βασιλείας· καὶ διὰ τί κατ' ἰδίαν ἐρωτῶσιν; οὐ τῷ πλήθει βασκάνοντες, ἀλλὰ τὸν νόμον Χριστοῦ φυλάττοντες τὸν λέγοντα ὅτι αὐτοῖς οὐ δέδοται. — Ὡς δεινοτέρας οὔσης τῆς

τῶν ζιζανίων παραβολῆς, ταύτην ἐρωτῶσι· τὴν XIII.
δὲ τοῦ σινάπεως καὶ τῆς ζύμης παρῆκαν. — Χρὴ εἰδέναι ὅτι ὅτε μὲν σπείρει, δι' ἑαυτοῦ σπείρει· λέγει γὰρ ὁ σπείρων τὸ καλὸν σπέρμα, ἔστιν ὁ υἱὸς τοῦ ἀνθρώπου· ὅτε δὲ κολάζει, διὰ τῶν ἀγγέλων τοῦτο ποιεῖ· οὕτως δείκνυσι καὶ τὴν φιλανθρωπίαν ἐν τῷ σπείρειν, ἤγουν τῷ διδάσκειν, καὶ τὸ πρὸς τιμωρίαν ἠλλοτριωμένον.

v. 37. Διὰ τί ἀναχωρησάντων τῶν ὄχλων, τοῖς μαθηταῖς ἐν παραβολαῖς διαλέγεται; ἐπειδὴ σοφώτεροι ἐκ τῶν εἰρημένων ἤδη παραβολῶν ἐγένοντο.

v. 42. Ἐν τῷ κολάζειν· μνήσθητι δὲ ὅτι καὶ ἐπὶ τοῦ Ἀβραὰμ καὶ τῶν σοδομιτῶν τοῦτο ποιεῖ.

v. 43. Τίνος χάριν ἀλλαχοῦ οἱ δίκαιοι ἁρπάζονται πρῶτοι, νῦν δὲ ὅτι μετὰ τὸ ἐμβληθῆναι τοὺς ἁμαρτωλοὺς εἰς κόλασιν, τότε οἱ δίκαιοι ἐκλάμψουσιν; Ἁρπάζονται μὲν πρῶτοι οἱ δίκαιοι ἐρχομένου Χριστοῦ εἰς ἀπάντησιν· παραγενομένου δὲ αὐτοῦ καὶ παραδοθέντων εἰς κόλασιν τῶν ἁμαρτωλῶν, τότε εἰς βασιλείαν οὐρανῶν ἀπέρχονται οἱ δίκαιοι.

v. 45. Ὁ μαργαρίτης ὁ τίμιος ἐστὶν ἀπὸ θαλάσσης, καὶ πολλῆς τιμῆς ἄξιός ἐστιν διὰ τὸ δυσεύρετον· οὐ παρέχει βρῶσιν, ἀλλὰ καύχημα· οὐ παρέχει ποτοῦ ἀπόλαυσιν, ἀλλ' εὐδο-

XVI. ξίαν πολλῶν χρημάτων ποιοῦσαν ὄγκον· οὗτος ὁ ἐπικουφίζει τὸ βάρος, βραχὺς ὢν μεγάλα δύναται· καὶ σύντομος εἰς τὸ βασταχθῆναι, καὶ εὐμετάθετος εἰς ἀποκατάστασιν, ῥᾳδίως κρύπτεται, καὶ δυσκόλως εὑρίσκεται· οὕτως ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν· οὕτως ἐστὶν ὁ θεὸς λόγος ἐν βραχεῖ πολλὴν δύναμιν περιέχων σαφῶς· οὐ πρόκειται εἰς βρῶσιν· οὐ γάρ ἐστιν πρόσκαιρος· οὐκ ἔστιν πενήτων χρῆσις, ἀλλὰ τῶν πλουτούντων ἐν γνώσει ἡ κατάληψις· οὐδεὶς αὐτὸν ἔχειν δύναται τῶν πτωχῶν ἐν ἀρετῇ· τελείων δὲ κτῆμα γίνεται. Καὶ μετ' ὀλίγα. Ὁ μαργαρίτης λίθος ἐστὶν ἐκ σαρκῶν γενόμενος, ὅτι ἐκ τῶν ὀστρέων προέρχεται· τίς οὖν μὴ πιστεύσειεν ὅτι καὶ θεὸς ἐκ σώματος ἄνθρωπος γεγέννηται; ἐκεῖνον οὐχ ἡ συνουσία τῶν κόγχων συνιστᾷ, ἀλλ' ἡ τῆς ἀστραπῆς καὶ τοῦ ὕδατος σύγκρασις· οὕτως καὶ ὁ Χριστὸς συνελήφθη ἐν τῇ παρθένῳ ἐκ τῆς ἡδονῆς τοῦ ἁγίου πνεύματος, ἐκ τοῦ φυράματος αὐτῆς συστήσαντος τῷ θεῷ τὴν πρόσληψιν.

v. 46. Ἐὰν μὴ πωλήσῃς, οὔτ' ἂν πράξῃς πίστιν· ἤγουν εἰ μὴ ἔχῃς ἐλεημοσύνην, οὐδὲ πίστις σε ὠφελήσει.

v. 47. Χρὴ γινώσκειν ὅτι διέστηκεν ἡ παραβολὴ τῆς σαγήνης τῇ τῶν ζιζανίων· ἐκεῖ γὰρ

διὰ αἵρεσιν ἀπόλλυνται· καὶ οἱ πρὸ ταύτης τῆς παραβολῆς, λέγω δὴ οἱ εἰς τὸν σπόρον, διὰ τὸ μὴ προσέχειν τοῖς λεγομένοις· οὗτοι δὲ διὰ βίου πονηρίαν· οἵτινες πάντων εἰσὶν ἀθλιώτεροι, τῆς μὲν γνώσεως ἐπιτυχόντες, οὐ δυνηθέντες δὲ δεόντως σωθῆναι. XIII.

v. 50. Δεῖ εἰδέναι ὅτι τοσαῦται εἰσὶν ὁδοὶ τῆς ἀπωλείας, ἢ διὰ τῆς πέτρης ἢ διὰ τῶν ἀκανθῶν, ἢ διὰ τῆς ὁδοῦ, ἢ διὰ τῶν ζιζανίων, ἢ διὰ τῆς σαγήνης· ἀληθῶς ἄρα πλατεῖα ἐστὶν ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν.

v. 52. Τὸ πᾶς γραμματεύς φησιν μαθητευθεὶς τῇ βασιλείᾳ τῶν οὐρανῶν ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά· γραμματέα λέγει τὸν εἰδότα τὸν νόμον, ὃν ἐπιγνόντα καὶ τὰ τῆς χάριτος εἰκάζει πλούσιον δυνάμενον ἔχειν πολλά· τὸ δὲ καινὰ καὶ παλαιὰ ἐκβάλλειν, ἀντὶ τοῦ ἀπὸ τῆς καινῆς καὶ παλαιᾶς γραφῆς διαλέγεσθαι δύναται.

v. 58. Διὰ τί ἐν μὲν τῇ Καπερναοὺμ ἐποίησεν σημεῖα, ἐν δὲ τῇ πατρίδι, τὴν Ναζαρὲθ λέγω, οὐκ ἐποίησεν; διὰ τὴν ἀπιστίαν αὐτῶν, καὶ διὰ τὸ λέγειν αὐτοὺς, οὐχ οὗτός ἐστιν ὁ τέκτονος υἱός; ἐξ ὧν καὶ ὁ Χριστὸς λέγει ὅτι πᾶς προφήτης ἐν τῇ οἰκείᾳ πατρίδι ἄτιμος· οὐ δεῖ

XIII. δὲ ἀπὸ τῶν εὐτελῶν γονέων χακίζειν τινάς· ἐπεὶ καὶ Δαβὶδ καὶ Ἀμὼς καὶ Μωϋσῆς καὶ πάντες οἱ προφῆται ἐξουδενωθήσονται.

Διὰ τί ἐποίησεν μὲν σημεῖα, ὀλίγα δὲ πάνυ ἐν τῇ πατρίδι αὐτοῦ; ἵνα μὴ δόξῃ ὑπερορᾶν αὐτοὺς ὡς πολέμιος καὶ ἐχθρός· πολλὰ δὲ οὐκ ἐποίησεν ὡς ἐν Καπερναοὺμ, ἵνα μὴ αὐτοὺς ἀπιστοῦντας κατακρίνῃ μειζόνως.

C A P. XIV.

XIV. v. 1. Ἀποθανόντος τοῦ Ἰωάννου ἢ καὶ παραδιδομένου, ὅτε ἤκουσαν οἱ ἰουδαῖοι ὅτι πλείονας ἔχει μαθητὰς ὁ Χριστὸς, διὰ τί κατιδίαν ἀνεχώρησεν; ὅτι καιρὸς τοῦ πάθους οὐκ ἦν, καὶ ὅτι ἀνθρωπικώτερον διοικεῖ, μὴ βουλόμενος γνωσθῆναι ὅτι ὁ Χριστός ἐστι· διὸ καὶ τοῖς μαθηταῖς ἔλεγεν μηδενὶ εἰπεῖν ὅτι ἐστὶν ὁ Χριστός· μετὰ γὰρ τὴν ἀνάστασιν ἐβούλετο τοῦτο γενέσθαι γνωριμώτερον.

v. 13. Διὰ τί ἀεὶ οὐκ ἐν πολιτείᾳ ἢ ἀεὶ οὐκ ἐν ἐρημίᾳ διῆγε; καὶ ἀεὶ μὲν ἐν πολιτείᾳ οὐ διῆγεν ἢ ἐδίδασκεν, ἵνα μὴ κατηγορηθῇ ὡς μαχόμενος τὴν πολιτείαν, καὶ ἀποσχίζων ἐκεῖθεν τοὺς πολλούς.

v. 14. Διὰ τί οὐκ ἀπαιτεῖ πίστιν τοῖς ὄχλοις;

ὅτι τὸ παρακολουθεῖν καὶ τὸ ἐν ἐρημίαις ἔρχεσθαι καὶ τὸ προσκαρτερεῖν καὶ δίψης ἀνέχεσθαι, τὴν πίστιν αὐτόθεν γνώριμον ἔχει. XIV.

v. 16. Διὰ τί οὐκ εἶπεν δίδωμι αὐτοῖς φαγεῖν, ἀλλὰ ὑμεῖς δότε αὐτοῖς, εἰρωνικώτερόν πως λέγων πρὸς αὐτοὺς, ἐπειδὴ ὡς ἀνθρώπῳ προσεῖχον αὐτῷ ἔτι· διὸ καὶ λέγουσιν, οὐκ ἔχομεν εἰ μὴ πέντε ἄρτους καὶ δύο ἰχθύας.

v. 19. Τὸ ἐπὶ στιβάδος αὐτοὺς ἀνακλῖναι, καὶ τὸ εἰς ἄδειαν εἶναι, μηδὲν πλέον ἄρτων δοῦναι καὶ ἰχθύων, καὶ τὸ προθεῖναι αὐτὰ κοινὰ, ταπεινοφροσύνην καὶ τὸ ὅμοιον καὶ ἴσον καὶ ἐγκράτειαν, τῷ κοινὰ εἶναι πάντα ἐπαίδευεν.

Τίνος χάριν ἀνέβλεψεν εἰς τὸν οὐρανὸν καὶ εὐλόγησεν; ἵνα δείξῃ ὅτι ἀπὸ τοῦ πατρός ἐστιν· καὶ ὅτι ἁπτόμενος τραπέζης χρὴ προσεύχεσθαι τῷ τὴν τροφὴν παρέχοντι εὐχαριστοῦντες.

Οὐ ποιεῖ ἐκ μὴ ὄντων ἀλλ' ἐξ ὄντων τοὺς ἄρτους, ἐμφράττων τὸ Μαρκίωνος καὶ Μανιχαίων στόμα τῶν τὴν κτίσιν ἀλλοτριούντων αὐτοῦ· ἅμα ὅτι καὶ τὰ ὁρώμενα ἔργα αὐτοῦ ἐστιν· καὶ αὐτὸς ὁ εἰπὼν ἐξαγαγέτω τὰ ὕδατα ἑρπετά.

v. 20. Διὰ τί ἐκέλευσεν περισσεῦσαι ἄρτους καὶ ἄρτων κλάσματα; ἵνα μὴ νομισθῇ φαντασία τὸ γεγονὸς, ἀλλ' ἐλεγχθῇ ἐκ τῶν περιτ-

XIV. τῶν καὶ ὁρωμένων εἰς τὴν αὔριον καὶ ἐσθιομένων, ὅτι κἀκεῖνα ἀληθῆ ἦσαν.

v. 21. Ἐν ἐρήμῳ ποιεῖ τὸ τῶν ἄρτων θαῦμα, ἵνα μὴ δόξωσιν ἀπὸ κώμης λαβεῖν ἄρτους· καὶ ἡ ὥρα δὲ διὰ τοῦτο ἐδηλώθη· ὀψὲ γὰρ ἦν φησιν.

v. 22. Μετὰ τὸ θαῦμα εὐθὺς ἐμβαίνει εἰς τὸ πλοῖον, διδάσκων μὴ ἐκ κενοδοξίας ἐπισύρειν ὄχλους, ὀνόματος ἕνεκεν κενοῦ.

Τοσοῦτον ἐθαύμασεν ὁ ὄχλος, ὅτι καὶ βασιλέα ἠθέλησαν ποιῆσαι αὐτόν· καί τοι γε ἐπὶ τῶν ἄλλων θαυμάτων οὐδαμοῦ τοῦτο ποιήσαντες.

v. 24. Τὸ πρῶτον κλυδωνιζομένοις βοηθεῖ ἐξ ἑτοίμου· ἄρτι δὲ ἐᾷ κλυδωνίζεσθαι μέσον τῆς θαλάσσης, ὑπομένειν διδάσκων αὐτούς· οὐκ εὐθὺς δὲ παρίσταται, γυμνάζων αὐτοὺς εἰς ἐπιθυμίαν αὐτοῦ μείζονα, καὶ παιδεύων μὴ ταχέως λύσιν ἐπιζητεῖν τῶν δεινῶν.

v. 28. Διὰ τί οὐκ εἶπεν Πέτρος κέλευσόν μοι βαδίσαι ἐπὶ τὰ ὕδατα, ἀλλὰ ἐλθεῖν πρός σε; ἐπειδὴ τὸ μὲν ἐπιδείξεως ἦν, τοῦτο δὲ ἀγάπης.

v. 30. Διὰ τί ἐπιτρέψας ἐλθεῖν πρὸς αὐτὸν, ἀφῆκεν καταποντίζεσθαι; διὰ τὸ θερμὸν εἶναι καὶ ἀντιτείνοντα οὐκ ἐκώλυσεν· διὰ δὲ τῶν πραγμάτων πείθειν ἐπιχειρεῖ ὡς οὐ δυνατὸν οὕτως οὐδέν ἐστιν τὸ εἶναι ἐγγὺς τοῦ Χριστοῦ ὅπου οὐκ ἔνι πίστις.

v. 31. Διὰ τί πρὶν τοὺς ἀνέμους παῦσαι, τῆς χειρὸς ἐλάβετο; ἵνα δείξῃ ὅτι οὐχ ἡ γαλήνη ἔσωσεν ἀλλ' αὐτός. XIV.

Δείκνυσιν ὡς ὅτι εἰ μὴ ἠπίστησας διστάσας, οὐ περιετράπης ἄν· διὰ τοῦτο καὶ τοῦ ἀνέμου πνέοντος, ἐπελάβετο αὐτοῦ καὶ ἐποίησε περιπατεῖν.

CAP. XV.

v. 1. Τίνος ἕνεκεν διαλέγονται αὐτῷ οἱ ἀπὸ XV.
Ἱεροσολύμων γραμματεῖς καὶ Φαρισαῖοι; εἰς ὀργὴν αὐτὸν κινῆσαι βουλόμενοι, ἵνα εἴπερ ἐξουδενώσει τοὺς πρεσβυτέρους, κατηγορήσωσιν αὐτοῦ.

v. 2. Διὰ τί ἤσθιον ἀνίπτοις χερσὶν οἱ ἀπόστολοι; οὐκ ἐπιτηδεύοντες καὶ ὡς νόμον ἔχοντες τοῦτο ἀλλὰ παρορῶντες· οὔτε τὸ μὴ νίπτεσθαί τι ἔχοντες, ἀλλ' ὡς ἔτυχεν, ἑκάτερον ποιοῦντες.

v. 3. Ὁ Χριστὸς οὐ λέγει ὅτι καλῶς ποιοῦσιν ἢ κακῶς· τοῦτο μὲν ἵνα μὴ τοὺς ἀποστόλους τὸ ἄνιπτον νομοθετήσῃ καὶ θρασεῖς ποιήσῃ· τοῦτο δὲ ἵνα μὴ τὸν τῶν πρεσβυτέρων νόμον βεβαιώσῃ, τοὺς βαπτισμοὺς λέγω καὶ τὰς νίψεις· οὐδὲ κατηγορεῖ τῶν πρεσβυτέρων ὡς παρανόμων, ἀλλ' ἐφ' ἕτερον ἐρώτημα μεταβαίνει.

XV. v. 5. Τί ἐστιν ὃς ἂν εἴπῃ τῷ πατρὶ ἢ τῇ μητρὶ δῶρον ὃ ἂν ἐξ ἐμοῦ ὠφεληθῇς, οὐ μὴ τιμήσῃ τὸν πατέρα αὐτοῦ ἢ τὴν μητέρα αὐτοῦ; τοιοῦτόν ἐστιν· ἐπαίδευσαν τοὺς νέους εὐσεβείας σχήματι καταφρονεῖν τῶν γονέων· οἷον εἴ τις εἶπεν τῷ υἱῷ δός μοι τὸ πρόβατον τοῦτο ὃ ἔχεις ἢ τὸν μόσχον ἢ ἄλλό τι, ἔλεγεν πρὸς τὸν πατέρα ὁ υἱὸς, δῶρόν ἐστιν τῷ Θεῷ τοῦτο ὃ θέλεις ἐξ ἐμοῦ ὠφεληθῆναι, καὶ οὐ δύναμαι δοῦναί σοι αὐτό· καὶ διπλοῦν ἐγίνετο κακόν· οὔτε γὰρ τῷ Θεῷ προσῆγον, καὶ τοὺς γονέας τοῦ ζητουμένου ὀνόματι τῆς προσφορᾶς ἀπεστέρουν, ἄλλον δι' ἄλλου ὑβρίζοντες, θεὸν διὰ γονεῖς, καὶ γονεῖς διὰ Θεόν· οὕτως ἐντρέψας αὐτοὺς, πρὸς τὸν ὄχλον ποιεῖται τὸν λόγον.

v. 12. Διὰ τί τῶν ἀποστόλων εἰπόντων ὅτι οἱ Φαρισαῖοι ἐσκανδαλίσθησαν, εἶπεν αὐτὸς, ἄφετε αὐτούς· ἀλλαχοῦ δὲ φαίνεται εἰπὼν, ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτοὺς; ὅτι ἐστὶ καιρός· καὶ οἶδεν αὐτὸς πότε μὴ καταφρονεῖν· χρὴ μέντοι ὁρᾶν, καὶ ὅταν εὐλόγως σκανδαλίζωνται, ταχέως αὐτοὺς διορθοῦν· ὅταν δὲ ἀλόγως, εἰς οὐδὲν τοῦτο λογίζεσθαι.

v. 21. Διὰ τί εἰς ὁδὸν ἐθνῶν τοὺς μαθητὰς εἰπὼν μὴ ἀπελθεῖν, αὐτὸς φαίνεται εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος ἐλθών; διὰ τοὺς Ἰου-

δαίους διδαχθέντας καὶ μὴ πεπιστευκότας, τοῖς XV.
ἔθνεσιν ἀνοῖξαι θύραν ἐδῷ προβαίνων.

v. 23. Τίνος ἕνεκεν κραζούσης τῆς χαναναίας, πρῶτον μὲν οὐκ ἀπεκρίθη αὐτῇ λόγον, ὅτε δὲ καὶ ἀπεκρίθη, ἄπορόν τι ἀπεκρίθη αὐτῇ; διὰ τῆς σιγῆς καὶ τῶν τοιούτων λόγων ἐκκαλεῖσθαι καὶ δεῖξαι τῷ λαῷ τὸ πρόθυμον αὐτῆς βουληθεὶς, ὡς προγινώσκων τὸν θερμὸν θυμὸν αὐτῆς.

Διὰ τί κραζούσης αὐτῆς, οἱ ἀπόστολοι εἰπόντες ἀπόλυσον αὐτὴν, οὐχ ὑπηκούσθησαν, ἀλλ' ὅτε αὐτὴ πολλὰ ἐδεήθη; ὅτι βούλεται τοὺς ὑπευθύνους αὐτοὺς ὑπὲρ αὐτῶν, ἀλλ' οὐχ ἑτέρους μᾶλλον ὑπὲρ ἐκείνων δέεσθαι.

Διὰ τί τῇ μὲν χαναναίᾳ κραζούσῃ μόλις ὑπήκουσεν, τοῖς δὲ ἀνελθοῦσιν εἰς τὸ ὄρος εὐθέως μὴ δεηθεῖσιν; οὐχ ὅτι κρείσσονα πίστιν εἶχον, ἀλλ' ἵνα ἐκκόψῃ τὴν πρόφασιν· ὅσῳ γὰρ ἄν τις μεῖζον εὐεργετῆται, τοσοῦτον ὑπεύθυνος, μὴ θηλήσας γενέσθαι βελτίων ἑαυτοῦ.

v. 32. Τί δήποτε ἀρτίως οὐκ εἶπον ἀπόλυσον τοὺς ὄχλους οἱ ἀπόστολοι, καὶ ταῦτα τριῶν παρελθουσῶν ἡμερῶν; ἐπειδὴ ἐκ τῶν προτέρων ἄρτων καὶ τοῦ ἐκεῖθεν θαύματος βελτίους ἐγένοντο, διὰ τοῦτο οὐδὲ λέγουσιν ὅπερ ἐπὶ τῶν πέντε ἄρτων, ὅτι καὶ τί ταῦτά ἐστιν εἰς τοσούτους;

XV. v. 34. Τὸ ἐγκρατὲς τῶν ἀποστόλων καὶ ἐκ τούτου δείκνυται, ὅτι τοσούτων ὄντων ἀνδρῶν ἐπὶ ξένης καὶ ἐρημίας, πέντε ἄρτους μόνον εἶχον.

v. 37. Διὰ τί ἐπὶ μὲν τῶν πεντακισχιλίων ἀνδρῶν, χωρὶς λέγω γυναικῶν καὶ παιδίων, δώδεκα κόφινοι περιέσσευσαν πέντε ἄρτων ὄντων, ἐνταῦθα δὲ τετρακισχιλίων ὄντων, καὶ ἑπτὰ ἄρτων ἑπτὰ σπυρίδες; ἢ τοίνυν ἔστιν εἰπεῖν ὅτι αἱ σπυρίδες τῶν κοφίνων μείζους ἦσαν, ἵνα μὴ ἡ ἰσότης τοῦ σημείου εἰς λήθην αὐτοὺς ἐμβάλῃ τοῦ ἑνὸς διάφορος γέγονεν ὁ ἀριθμὸς περισσευσάντων.

v. 39. Διὰ τοῦτο ἀφεὶς αὐτοὺς, εἰς πλοῖον εἰσῆλθεν, ἵνα μὴ ἀκολουθήσωσιν αὐτῷ· καὶ γὰρ ἤθελον αὐτὸν βασιλέα ποιῆσαι· φεύγων οὖν καὶ τῆς τυραννίδος τὴν ὑποψίαν, ἀφῆκεν αὐτούς.

C A P. XVI.

XVI. v. 1. Ποῖον σημεῖον ἐξ οὐρανοῦ ζητοῦσιν οἱ Φαρισαῖοι τὸν Χριστόν; ἵνα στήσῃ τὸν ἥλιον, ἢ τὴν σελήνην χαλινώσῃ, ἢ κεραυνοὺς κατενέγκῃ, ἢ τὸν ἀέρα μεταβάλῃ, ὃ καὶ δέδοται· ἄλλος γὰρ ὁ νῦν καιρὸς, καὶ ἄλλος ὁ τῆς μελλούσης ἡμέρας, ὅτε ταῦτα γενήσεται· ἐγὼ δέ φημι ὅτι κἂν μὴ εὐθὺς ὑπήκουσιν αὐτῶν ὥσπερ προστασ-

σόντων, ὕστερον ἔδειξεν ὅτι δύναται ποιεῖν· ἥ- XVI.
λιος γὰρ καὶ σελήνη ἐσκοτίσθη, καὶ σεισμὸς γέγονε· καὶ τὸ ἐν τῷ ἱερῷ καταπέτασμα διεσχίσθη· γέγονε δὲ τὸ τοῦ ἡλίου πάθος οὐ λόγῳ ἐκλείψεως φυσικῆς, ἀλλὰ λόγῳ δυνάμεως.

v. 3. Ὑποκριτὰς δὲ αὐτοὺς καλεῖ ὅτι ἕτερα μὲν ἐλάλουν, ἕτερα δὲ ἐφρόνουν· διὰ τοῦτο οὐδὲ δέδωκε σημεῖον· οὐ γὰρ διὰ τὸ πιστεῦσαι ἐζήτουν, ἀλλ' ὥστε ἐπιλαβέσθαι αὐτοῦ· ἐπεὶ πῶς ἂν οὐκ ἔδωκεν ὁ δυνάμενος, ὁ τῇ χαναναίᾳ λέγων, οὐκ ἔστι καλὸν λαβεῖν τῶν τέκνων τὸν ἄρτον καὶ δοῦναι τοῖς κυναρίοις· καὶ ὅτι εἰπόντος αὐτοῦ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου δοθήσεται ὑμῖν, οὐκ ἐρωτῶσιν τί ποτε ἦν· διὰ τοῦτο καὶ αὐτὸς ἀφεὶς αὐτοὺς ἀπῆλθεν.

v. 6. Τὸ προσέχετε ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων, ἀπὸ τῆς διδασκαλίας αὐτῶν λέγει.

v. 8. Τί οἰκονομεῖ ἐν τῷ λέγειν τοῖς ἀποστόλοις ὀλιγόπιστοι; ἐπιτιμᾷ αὐτούς· οὐ γὰρ πανταχοῦ ἡ πραότης καλόν.

v. 13. Διὰ τί εἰς Καισάρειαν τὴν Φιλίππου ἐπαγαγὼν αὐτοὺς ἐρωτᾷ, τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι; ὡς μακρὰν αὐτῶν ὄντων τῶν ἰουδαίων καὶ τῆς ἀγωνίας· ἔστι δὲ καὶ ἄλλη Καισάρεια ἡ Στράτωνος· μετὰ πολλὰ δὲ θαύματα ἐρωτᾷ· καὶ οὐκ ἐρωτᾷ τίνα με λέγουσιν

XVI. οἱ γραμματεῖς, ἀλλὰ τοῦ ἀδεκάστου πλήθους τὴν γνώμην· υἱὸν δὲ ἀνθρώπου ἑαυτὸν πολλάκις λέγει, βουλόμενος τὴν οἰκονομίαν ὁμολογεῖσθαι.

v. 16. Προσέχετε παρακαλῶ τῇ δυνάμει τῶν λέξεων· ὅπου μὲν γὰρ τὰς ἑτέρων ἀπήντησεν δόξας, προσέθηκε τὸν υἱὸν τοῦ ἀνθρώπου· τίνα γάρ με φησὶν λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου; ὅπου δὲ τὴν αὐτῶν κρίσιν ἐζήτει, οὐκέτι προσέθηκεν τὸν υἱὸν τοῦ ἀνθρώπου· ἀλλὰ τί; ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; οἱ μὲν γὰρ ἄλλοι φησὶν ἄνθρωποι υἱόν με νομίζουσιν εἶναι τοῦ Ἰωσήφ, υἱὸν ἀνθρώπου, καὶ πλέον οὐδέν· οὐ γὰρ ἔλαβόν μου πεῖραν τοσαύτην τῆς θεϊκῆς μου ἐξουσίας· ἀλλ' ὑμεῖς οἱ λαβόντες, τίνα με λέγετε εἶναι; οὐ λέγω τὸν υἱὸν τοῦ ἀνθρώπου, ἵνα μὴ πρὸς τὴν ἐμὴν ἀπόφασιν δράμητε· οὐ λέγω πάλιν τὸν υἱὸν τοῦ θεοῦ, ἵνα μὴ τὴν ὑμῶν ψῆφον ἁρπάσω· οὐδὲν ἐμαυτὸν νῦν γε καλῶ· τὰ πράγματα μόνον ὑμῖν χειραγωγὰ τῆς ἀποκρίσεως δέδωκα.

Ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος λέγει Πέτρος· υἱὸν θεοῦ λέγων καθαρῶς καὶ ἐκ τῆς αὐτοῦ οὐσίας, ἀλλ' οὐχὶ ὡς οἱ ἐν τῷ πλοίῳ, οὐδὲ ὡς ὁ Ναθαναὴλ ἕνα τῶν πολλῶν, ἀλλὰ γνησίως· διὰ τοῦτο καὶ τὸ βὰρ

Ἰωνᾶ λέγει, ἀντὶ τοῦ υἱέ· δηλῶν ὅτι ὡς σὺ τοῦ XVI.
Ἰωνᾶ φύσει, οὕτως ἐγὼ τοῦ Θεοῦ εἰμὶ υἱός.

v. 17. Ἀπορούντων τῶν μαθητῶν καὶ πρὸς ἑαυτοὺς εἰκὸς ταῦτα λεγόντων, υἱὸν αὐτὸν θεοῦ Πέτρος εἰπὼν, μακαρίζεται. Μάρθα πάλιν οὐχ υἱὸν αὐτὸν εἶπεν Θεοῦ; ναὶ γὰρ κύριε φησὶν, ἐγὼ πεπίστευκα ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ, ὁ εἰς τὸν κόσμον ἐρχόμενος· τί οὖν ἐκείνη μακαρισμῶν οὐκ ἠξιώθη τινῶν, ἀλλὰ Πέτρος ὥς τι καινὸν εἰπὼν μακαρίζεται; ἡμεῖς πάλιν συμφώνως ὅτε τῇ θαλάσσῃ καὶ τοῖς ἀνέμοις ἐπετίμησεν, οὐχ ὡς υἱὸν θεοῦ αὐτὸν προσεκυνήσαμεν καὶ μετὰ φωνῆς ἐβοήσαμεν, ἀληθῶς θεοῦ υἱὸς εἶ; διὰ τί μακαρίους ἡμᾶς οὐκ ἐκάλεσεν τότε; ταῦτα τῶν μαθητῶν ἐνθυμουμένων, ὁ δεσπότης ἐπάγει βὰρ Ἰωνᾶ, τουτέστιν υἱὲ τοῦ Ἰωνᾶ· ὡς ἐκήρυξας γάρ μου φησὶ τὸν πατέρα, οὕτω κἀγὼ κηρύττω σου τὸν πατέρα· μὴ χρήζων μὲν τοῦ σοῦ μνημονεῦσαι πατρὸς, δεῖξαι δὲ βουλόμενος τὸ ταυτοφυὲς ἐμοῦ καὶ πατρός· εἰκόνα σὲ καὶ τὸν σὸν πατέρα ἐμοῦ, καὶ τοῦ πατρὸς προστίθημι νῦν· ἐκ τῶν καθ' ὑμᾶς μανθανέτωσαν ἅπαντες υἱοῦ καὶ πατρὸς τὴν ταυτότητα· ὃν γὰρ τρόπον ὅμοιος σὺ τῷ Ἰωνᾷ κατὰ φύσιν, οὕτως ὅμοιος ἐγὼ τῷ πατρὶ κατ' οὐσίαν· ὡς οὐκ εἶ σὺ κτίσμα τοῦ οἰκείου πατρὸς

XVI. ἀλλὰ Γέννημα, οὕτως οὐδὲ ἐΓὼ κτίσμα τοῦ πατρὸς ἀλλὰ γέννημα· σὺ ἀνθρώπου, ἐγὼ θεὸς ἐκ θεοῦ· σὺ γεγέννησαι ἐκ τοιούτου, ἐγὼ φῶς ἐκ φωτός· σὺ ὅμοιος ἐξ ὁμοίου, κἀγὼ ὅμοιος ἐξ ὁμοίου· διὰ τοῦτο μακαρίζω τὸν Πέτρον, ὅτι περ οὐχ ὥσπερ οἱ λοιποὶ τῶν ἀνθρώπων υἱόν με θεοῦ προσηΓόρευσαν καΤὰ χάριν, οὕτω ὁ Πέτρος· ἀλλ' ὡς αὐτὸς ἀληθῶς υἱὸς τοῦ οἰκείου πατρὸς, οὕτως υἱόν με ἀληθῆ προσεῖπεν τοῦ θεοῦ· ὡς αὐτὸς ἀρχὴν ἔχων ἐξ ἀρχὴν ἔχοντος ἐγεννήθη, οὕτως ἄναρχόν με υἱὸν ἀνάρχου πατρὸς ἀνεκηρύξεν· ὡς αὐτὸς θνητὸς ἐκ θνητοῦ, οὕτως ἀθάνατόν με υἱὸν ἐξ ἀθανάτου πατρὸς ὡμολόγησεν· διὰ τοῦτο γάρ με υἱὸν τοῦ θεοῦ τοῦ ζῶντος προσηγόρευσεν· ὁ γὰρ τοῦ ζῶντος υἱὸς ζῶν καὶ αὐτὸς, ἀτρέπτου πaΤρὸς ἄτρεπΤος πάντως υἱὸς ἔοικεν ἀεὶ κατὰ πάντα τῷ γεγεννηκότι τὸ Γέννημα· καὶ οὕτως ἀθάναΤόν με θεὸν ἀθανάτου καὶ ζῶντος υἱὸν προσηγόρευσεν· ὅτι περ μετὰ μικρὸν ἂν ἀκούσῃ θάνατον καὶ σταυρὸν, εὐθὺς ναρκήσας βοήσῃ λέγων, ἵλεώς σοι κύριε, οὐ μὴ ἔσται σοι τοῦτο· οὔπω γὰρ ἔγνω τῆς σαρκός μου τὸ πάθος· καὶ διὰ τοῦτο τὴν ἐπιτίμησίν μου δέξηται· οὔπω τὴν οἰκονομίαν ἔγνω τὴν πατρικὴν, ἀλλ' οὕτως ἀθάνατόν με Γινώσκει θεόν· ὅτι περ καὶ περὶ τῆς σαρκὸς τῆς

ἐμῆς ἀμφίβολον ἔχει τὸ πάθος· οὐ γὰρ νομίζει τὴν ὑπὸ ζωῆς φερομένην στολὴν δύνασθαι θανάτῳ κρατεῖσθαι· διὰ τοῦτο πρὸς αὐτὸν εἶπον ἐγὼ, μακάριος εἶ Σίμων βὰρ Ἰωνᾶ· τὴν ἔννοιαν ἐξηγούμενος Πέτρου, τὴν δύναμιν τῆς πατρικῆς ἀποκαλύψεως φράζων· διὰ τοῦτο μακάριος εἶ, ὅτι περ ὡς σὺ υἱὸς τοῦ Ἰωνᾶ, οὕτως κἀμὲ υἱὸν προσηγόρευσας τοῦ πατρὸς, καὶ πρῶτος εὐηγγελίσω τὴν κτίσιν· ὅτι περ υἱὸν ὁ πατὴρ ὅμοιον αὐτῷ κατ' οὐσίαν ἐγέννησε. Οὐκ εἶπεν ἁπλῶς ὁ πατὴρ ὁ ἐν τοῖς οὐρανοῖς, ἀλλ' ὁ πατήρ μου, ὑπεξαίρων ἐμαυτὸν τῆς κτίσεως· καὶ ἴδιόν μου λέγων πατέρα, τὸν πατέρα· ἐπειδὴ γὰρ καὶ ἀνθρώπων πατὴρ ὁ θεὸς ὠνομάζετο· λέγει γὰρ ὁ προφήτης, οὐχὶ πατὴρ πάντων ἡμῶν ὁ θεός; διὰ τοῦτο ἴδιόν μου πατέρα προσεῖπον τὸν θεὸν, ὡς ὄντα πατέρα, οὐχ ὡς κατὰ χάριν πατέρα, ἀλλ' ὡς κατὰ φύσιν. XVI.

v. 18. Νῆψον Ἄρειε καὶ μικρὸν τῆς μανίας ἀπόστηθι· εἶδες πατρὸς ἐξουσίαν· βλέπε καὶ υἱοῦ αὐθεντίαν· κἀγὼ δέ σοι λέγω· κἀγὼ· ὡς μετὰ αὐθεντίας ἀπεκάλυψεν ὁ πατὴρ, οὕτως κἀγὼ μετ' αὐθεντίας ἀποκαλύπτω, τὸ μὲ· κἀγὼ δέ σοι λέγω, ἐκεῖνος εἶπεν, οὐ τοῦτο· κἀγὼ δέ σοι λέγω τοῦτο ὅτι σὺ εἶ Πέτρος· ὡς ἐκήρυξάς μου τὸ ἴδιον καὶ ἀσάλευτον τῆς θεότητος, οὕ-

XVI. τως κἀγὼ κηρύττω σου τὸ τῆς ὁμολογίας ἀσαλεύτον· ἐξ ὧν εἶπας, τὴν προσηγορίαν κομίζου.

Τὸ ἐπὶ ταύτῃ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, ἐπὶ τῇ ὁμολογίᾳ λέγει· πέτραν δὲ λέγει διὰ τὸ στεῤῥὰν εἶναι τὴν τοιαύτην πίστιν· ἐκκλησίαν δὲ εἶπεν ὅτι πολλοὶ μέλλουσιν πιστεύειν.

Τί λέγεις Ἄρειε; τί λέγεις Εὐνόμιε; οἰκοδομήσω μου τὴν ἐκκλησίαν εἶπεν ὁ Χριστός· οὐκ εἶπεν οἰκοδομήσω τὴν τοῦ πατρὸς ἐκκλησίαν· εἶδες αὐθεντίαν υἱοῦ, εἶδες ἐξουσίαν δεσπότου· ἰδοὺ ὁ υἱὸς ἐκκλησίαν κέκτηται μόνος· δός μοι τὴν τοῦ πατρὸς ἐκκλησίαν· ἄμοιρος ὁ πατὴρ ἐκκλησίας· ἀκτήμων ὁ πατὴρ ἐκκλησίας· εἰ μὴ μία οὐσία πατρὸς καὶ υἱοῦ, οὐδὲ ἐκκλησία. μία πατρὸς καὶ υἱοῦ, πῶς υἱοῦ κοινωνήσει τῇ ἐκκλησίᾳ πατήρ; καί τοι εἰ ὑπεξούσιος ἦν ὁ υἱὸς καὶ γυμνὸς αὐθεντίας, οὐκ ὤφειλεν εἰπεῖν οἰκοδομήσω τὴν τοῦ πατρὸς ἐκκλησίαν; ὁρᾷς ὡς εἴτις δουλεύει ταῖς λέξεσιν, καὶ μὴ τοῖς ἐνθυμήμασιν ἕπεται, πρὸς κρημνοὺς καθάπερ σὺ πίπτει καὶ βάραθρα.

Τὸ πύλαι ᾅδου κατισχύσουσιν αὐτῆς, ὡς ἡγοῦμαι τοὺς θανάτους λέγει τοὺς διὰ τῶν αἱρέσεων καὶ εἰδωλολατρῶν ἐπιφερομένους ἐπὶ τῶν πιστευόντων τὰ σώματα, καὶ μὴ ἰσχυσάντων τί ποιῆσαι ἢ κατισχύσαι αὐτῶν.

v. 19. Διὰ τί λέγει καὶ ἐγὼ δέ σοι τὰς κλεῖς XVI.
τοῦ οὐρανοῦ; ὅμοιον ἑαυτὸν δεικνὺς τῷ πατρὶ, ὡς ἐκεῖνος φησὶν, ἔδωκε τὸ χάρισμα τῆς γνώσεως ταύτης, οὕτως ἐγὼ τὸ λύειν καὶ δεσμεῖν· οὐκ εἶπεν γὰρ παρακαλέσας δώσω.

v. 21. Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς δεικνύειν αὐτοῖς ὅτι δεῖ αὐτὸν πολλὰ παθεῖν· ἀπὸ τότε πότε; ὅτε ἔπηξεν ἐν αὐτοῖς τὸ δόγμα τὸ ὀρθόν· ἐνόμιζον γὰρ πολλῷ βέλτιον τὸ μὴ ἀποθανεῖν αὐτόν.

v. 24. Τὸ ἀπαρνησάσθω ἑαυτὸν, τοιοῦτόν ἐστιν· ὥσπερ φησὶν ἑτέρου τυπτομένου, ἢ τὴν ἐπὶ θανάτῳ ἀγομένου ἢ μαστιζομένου, οὐκ ἀεὶ παριστάμεθα, οὐ βοηθοῦμεν, οὐ πάσχει τί πρὸς αὐτὸν τοσοῦτον ὁ ὁρῶν, οὕτω οὐδὲ ἐφ' ἑαυτῶν, κἂν ἐλαυνώμεθα, κἂν θνήσκωμεν, δεῖ ἡμᾶς πολλοῦ λόγον ποιεῖσθαι τούτων.

Τὸ ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθείτω μοι, τὸν θάνατον λέγει, καὶ θάνατον τὸν ἐπονείδιστον.

v. 25. Τὸ ὃν ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτὴν, περὶ τῆς παρὰ τὸ δέον σωτηρίας λέγει, τὴν ἐκ τῶν κινδύνων διαφυγὴν ἀπώλειαν καλῶν· ὥσπερ καὶ τοὐναντίον σωτηρίαν, τὴν δοκοῦσαν ἀπώλειαν.

v. 28. Τὸ εἰσί τινες τῶν ὧδε ἑστηκότων οἳ

XVI. οὐ μὴ γεύσονται θανάτου, ἕως ἂν ἴδωσιν τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ, βασιλείαν αὐτοῦ λέγων τὴν μεταμόρφωσιν, οὐ τὴν ἀνάληψιν ὡς ἡγοῦμαι· ὧδε γάρ τινὲς, ἐκεῖ δὲ πάντες. Καὶ ἄλλως. Εἰσίν τινες τῶν ὧδε ἑστηκότων καὶ ἑξῆς· διὰ τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην φησίν· οὗτοι γὰρ ἐν τῇ μεταμορφώσει συμπαρελήφθησαν, ἣν καλεῖ βασιλείαν αὐτοῦ· ὡς ἐκφήνασαν τῆς ἐξουσίας τὸ ἄφατον, καὶ τῆς πρὸς τὸν πατέρα γνησιότητος τὸ σφοδρὸν καὶ ἀπαράλλακτον· ἐν αὐτῇ γὰρ καὶ τῆς δευτέρας αὐτοῦ παρουσίας τὸ ἀξίωμα καὶ τὸ φρικτὸν ὑπεδήλωσε· προοίμιον ταύτην ἐκείνης, καὶ οἷον βεβαίωσιν ἐνδειξάμενος.

CAP. XVII.

XVII. v. 1. Καὶ μεθ' ἡμέρας ἓξ παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον καὶ τὸν Ἰάκωβον καὶ Ἰωάννην, καὶ τὰ ἑξῆς ἐν τῷ μεταμορφοῦσθαι· ἄλλος δὲ εὐαγγελιστὴς μεθ' ἡμέρας ὀκτὼ λέγει, οὐκ ἐναντιούμενος ἀλλὰ τὴν ὅτε ἐφθέγξατο, καὶ τὴν ὅτε ἀνήγαγεν εἰπών· ὁ δὲ τὰς διὰ μέσου μόνας εἴρηκεν.

Διὰ τί τοὺς τρεῖς μόνους λαμβάνει εἰς τὸ ὄρος; ὡς ἀξιωτέρους καὶ σφόδρα φιλοῦντας· καὶ

Γὰρ ὁ Πέτρος σφόδρα ἐφίλει αὐτόν· Ἰωάννης δὲ XVII.
ἐκ τοῦ σφόδρα φιλεῖσθαι· Ἰάκωβος δὲ ἀπὸ τῆς ἀποκρίσεως τῆς μετὰ τοῦ ἀδελφοῦ ἧς ἀπεκρίθη ὅτι δυνάμεθα πιεῖν τὸ ποτήριον.

v. 2. Τὸ φαινόμενον φῶς ὑπὲρ ἥλιον ἦν· εἶπεν δὲ ὁ εὐαγγελιστὴς ὡς ὁ ἥλιος, ἐπειδὴ τὸ ἄστρον τοῦτο μόνον γνώριμόν ἐστιν ἐν ὑπερβολῇ φωτός· λευκὸς ἦν ὡς χιών· οὐκ ἔχω ἄλλην ὕλην λευκοτέραν· ὅτι Γὰρ ὑπὲρ ἥλιον ἔλαμψεν, ἀπὸ τοῦ ἑξῆς δείκνυται, καὶ ἔπεσον χαμαὶ οἱ μαθηταί· εἰ δὲ ὡς ὁ ἥλιος ἔλαμψεν οὐκ ἔπιπτον οἱ μαθηταί· ἥλιον γὰρ ἔβλεπον καθ' ἡμέραν καὶ οὐκ ἔπιπτον· ἀλλ' ἐπειδὴ ὑπὲρ τὸν ἥλιον ἔλαμψεν, καὶ ὑπὲρ τὸν χίονα, διὰ τοῦτο μὴ φέροντες τὴν λαμπηδόνα κατέπεσον· εἰπέ μοι οὖν εὐγγελιστὰ, ὑπὲρ τὸν ἥλιον ἔλαμψε, καὶ σὺ λέγεις ὡς ὁ ἥλιος; ναί· γνώριμόν σοι θέλω ποιῆσαι τὸ φῶς· οὐκ ἔχω ἄλλο ἄστρον· οὐκ ἔχω ἄλλην εἰκόνα, τὴν ἐν τοῖς ἄστροις βασιλεύουσαν· ταύτην εἶπον ἵνα μὴ τῇ εὐτελείᾳ τῆς λέξεως ἐναπομείνῃς.

v. 3. Διὰ τί Ἠλίας καὶ Μωσῆς εἰς μέσον ἄγεται; πρῶτον μὲν ἵνα δείξῃ ὅτι οὔτε Ἠλίας ἐστὶν ὡς ἔλεγον, οὔτε Μωσῆς· δεύτερον, ἵνα μὴ περὶ ὧν ἐνεκάλουν αὐτῷ ὡς παρανόμῳ, δείξῃ ὅτι ψεῦδος ἐστίν· οὐ γὰρ ἂν συνωμίλουν·

XVII. τρίτον ἵνα μάθωσιν ὅτι καὶ θανάτου καὶ ζωῆς ἐξουσίαν ἔχει, τὸν μὲν ἐνεγκὼν, τὸν δὲ ἀναστήσας· τί δὲ συνελάλουν τὴν δόξαν ἣν ἔμελλε πληροῦν ἐν Ἱερουσαλὴμ; τουτέστιν τὸ πάθος καὶ τὸν σταυρὸν, καὶ τὴν ἀνάστασιν, καὶ τὰ ὅμοια.

v. 4. Διὰ τί λέγει ὁ Πέτρος, καλὸν ἡμᾶς ὧδε εἶναι εἰς ἐρημίαν; διὰ τὸ ἀκοῦσαι ὅτι παραδοθήσεται εἰς θάνατον ὁ Χριστός· καὶ τοῦτο Λουκᾶς δηλῶν ἔλεγεν, ὅτι εἰ καὶ μὴ ἴδει τί ἐλάλει;

v. 5. Ἀπὸ νεφέλης δὲ ἡ φωνὴ, ὅτι οὕτως ὀπτάνετο ὁ θεός· φωτεινὴ δὲ ὅτι οὐ φοβῆσαι ἐβούλετο· ὅπου γὰρ ἀπειλὴ, ἐκεῖ σκοτεινὴ, ὥσπερ ἐν Σινᾷ ὄρει· διὰ τοῦτο μετὰ τὸ ἀφανεῖς γενέσθαι τόν τε Μωσέα καὶ Ἠλίαν, τότε γίνεται ἡ φωνὴ, ἵνα μὴ ἐπ' αὐτῶν τινὸς, ἀλλ' ἐπὶ Χριστὸν λογισθῇ ἡ φωνὴ ἡ ἐρχομένη.

Οὐ τὸν Χριστὸν μόνον ὑπέλαβεν ἡ νεφέλη, ἀλλὰ καὶ τοὺς μαθητὰς, ἵνα μὴ νομισθῇ ὅτι Χριστὸς ἀφῆκεν τὴν φωνήν.

Τὸ ἐν ᾧ εὐδόκησα, ἀντὶ τοῦ ἐν ᾧ ἀναπαύομαι δηλοῖ· προσέθετο δὲ τὸ αὐτοῦ ἀκούετε, ἵνα κἂν σταυρωθῇ, μὴ ῥαθυμήσωσιν.

v. 6. Διὰ τί ἐπὶ τοῦ βαπτίσματος τῆς φωνῆς γενομένης οὐ κατέπεσον, ὧδε δὲ τοῦτο πά-

σχουσιν; ἐπειδὴ ἐκεῖ μὲν ὄχλος, ὧδε δὲ ἔρημος XVII.
καὶ ὕψος, καὶ μόνοι μεθ' ἡσυχίας, καὶ τὸ γινόμενον κατ' ὀφθαλμοὺς φρικτὸν φῶς ἄκρατον καὶ νεφέλη, ἅπερ τοῦτο παθεῖν ἐποίει.

v. 7. Τί ἐστιν τὸ βεβαρημένοι ἦσαν ὕπνῳ; ὅτι πολλῷ κατείχοντο κάρῳ· τοῦτο δὲ ἀπὸ τῆς ὄψεως ἐκείνης τῆς θαυμαστῆς ἦν γεγενημένον.

v. 9. Διὰ τί λέγει μηδενὶ εἰπεῖν ἕως ἂν ἐκ νεκρῶν ἀναστῇ; ἐπειδὴ ὅσῳ μείζονα ἐλέγετο, τοσοῦτον εἰς φθόνον καὶ ἀπιστίαν ὄντες, δυσπαράδεκτα εἶχον αὐτά· μετὰ δὲ τὴν ἀνάστασιν, ἐκ μέσου μὲν ὁ φθονούμενος· καὶ οἱ μὲν ἀπόστολοι ἤδη πιστεύοντες, οἱ δὲ ὄχλοι τὰ παρὰ τῶν ἀποστόλων θαύματα ὁρῶντες πιστεύσειαν ἄν.

v. 10. Ἐπηρώτησαν αὐτὸν οἱ μαθηταὶ, ὅτι οἱ Γραμματεῖς λέγουσιν Ἠλίαν δεῖ ἐλθεῖν πρῶτον· καὶ πόθεν τοῦτο ἔλεγον; ἐκράτει μὲν ὁ λόγος καὶ περιεφέρετο κακῶς νοούμενος παρὰ τῶν γραμματέων· ὥσπερ καὶ οἱ περὶ τοῦ Χριστοῦ· ἡ δὲ ἀλήθεια ἔχει οὕτως· αἱ μὲν γραφαὶ δύο λέγουσι παρουσίας τοῦ Χριστοῦ, ταύτην καὶ τὴν μέλλουσαν· καὶ οἱ προφῆται ἑκατέρας πρόδρομον τὸν Ἠλίαν ἔσεσθαι λέγουσιν· τῆς γὰρ ἄλλης ὁ Ἰωάννης ἐγίνετο, ὃν καὶ Ἠλίαν ὁ Χριστὸς καλεῖ, οὐκ ἐπειδὴ Ἠλίας ἦν, ἀλλ' ἐπειδὴ τὴν διακονίαν ἐπλήρωσεν Ἠλίου· οἱ Γραμμα-

XVII. μαΐεῖς οὖν συΓχέοντες ταῦτα, τῆς δευτέρας ἐμνημόνευον μόνης· αὐτὸς δὲ φησὶ πρὸς τοὺς μαθητὰς, Ἠλίας μὲν ἔρχεται καὶ ἀποκαταστήσει πάντα· ποῖα πάντα; ἅπερ ὁ προφήτης ἔλεγε μάλα· ἀποστελῶ φησὶ τὸν ἄγγελόν μου, καὶ τὰ ἑξῆς· καὶ τοῦτο γενήσεται ὅτ' ἂν τὰ ἐγκαταλελειμμένα τοῦ Ἰσραὴλ βούλεται σωθῆναι, ἵνα μὴ ἄρδην ἀπώλωνται εἰς τὴν δευτέραν αὐτοῦ παρουσίαν· ὅταν οὖν λέγῃ ὅτι Ἠλίας ἔρχεται καὶ ἀποκαταστήσει, περὶ τοῦ ἐν τῇ δευτέρᾳ παρουσίᾳ λέγει· ὅτ' ἂν δὲ λέγῃ ὁ μέλλων ἔρχεσθαι Ἠλίας οὗτός ἐστιν, κατὰ τὸν τρόπον τῆς διακονίας τὸν Ἰωάννην Ἠλίαν καλεῖ.

v. 14. Τοῦ σεληνιαζομένου ὁ πατὴρ σφόδρα ἦν ἄπιστος· ἐδείκνυτο δὲ τοῦτο ἔκ τε τοῦ εἰπεῖν πρὸς τὸν Χριστὸν, εἰ δύνασαι βοήθησον.

v. 17. Διὰ τί μέμφεται τοῖς ἀποστόλοις, εἰ ἄπιστός ἐστιν ὅτι τὸν υἱὸν αὐτοῦ οὐ τεθεραπεύκασιν; δεικνὺς ὅτι ἡ μεγάλη πίστις καὶ τελεία ἀρετὴ τῶν θαυματουργούντων δύναται καὶ χωρὶς πίστεως τῶν θεραπευομένων ἐνεργεῖν· ὥσπερ γὰρ ἡ πίστις τῶν προσερχομένων καὶ παρ' ἐλαττόνων λαμβάνει τὴν ἴασιν, ὡς ἐπὶ τοῦ Κορνηλίου, οὕτως τῶν ποιούντων τὰ σημεῖα ἤρκεσεν ἡ δύναμις καὶ μὴ πιστευόντων τινῶν ὡς ἐπὶ τοῦ Ἐλισσαίου· ὅτι οὐδενὸς πιστεύσαντος, νε-

κρὸς ἀνέστη· χρὴ δὲ εἰδέναι ὅμως ὅτι οὐ πάν- XVII.
τες οἱ μαθηταὶ ἠσθένησαν τῇ πίστει· οἱ γὰρ στύλοι οὐκ ἦσαν ἐκεῖ.

Διὰ τί εἶπεν ὦ Γενεὰ ἄπιστος καὶ διεστραμμένη; ἐπειδὴ ὁ ἄπιστος ἀνὴρ οὗτος ἐπὶ τοῦ ὄχλου ἐντυγχάνει κατὰ τῶν μαθητῶν· βουλόμενος οὖν ἀπαλλάξαι ἐκείνους μὲν ἐγκλήματος, ἐκεῖνον δὲ ὕβρεως, ἵνα μὴ ἐξαπορήσῃ, κοινοποιεῖται τὸν λόγον ἀληθεύων καὶ περὶ τῶν ἄλλων· εἰκὸς γὰρ ἦν πολλοὺς τῶν παρόντων σκανδαλισθῆναι.

Τὸ ἕως πότε ἔσομαι μεθ' ὑμῶν, δείκνυσιν ὅτι ἠσπάζετο τὸν θάνατον, καὶ βάρος εἶναι τὸ μετ' αὐτῶν ἐλογίζετο.

v. 20. Ὡς κόκκον σινάπεως τὴν πίστιν λέγει, δεικνὺς ὅτι τὸ ἐλάχιστον τῆς γνησίας πίστεως καὶ ὄρη δύναται μεταθεῖναι· εἰ δὲ καὶ οὐδαμοῦ ὄρη μετετέθη, τὸ ἐγεῖραι νεκροὺς οὐκ ἔλαττον.

v. 24. Πόθεν τὰ δίδραχμα ἐτελεῖτο; ὅτε τὰ πρωτότοκα τῶν αἰγυπτίων ἀπέκτεινεν ὁ Θεὸς, τότε τὴν Λευὶ φυλὴν ἀντ' αὐτῶν ἔλαβεν· εἶτα ἐπειδὴ τῶν παρ' αἰγυπτίοις πρωτοτόκων ἐλάττων ἦν ὁ τῆς φυλῆς ἀριθμὸς, ἀντὶ τῶν λειπόντων εἰς τὸν ἀριθμὸν, σίκλον ἐκέλευσεν εἰσενεχθῆναι· ἐξ ἐκείνου οὖν ἔθος ἐκράτησεν τὰ πρωτότοκα τὸν φόρον τοῦτον εἰσφέρειν. — Οἱ τὰ δίδραχμα λαμβάνοντες τῷ Πέτρῳ προσέρχονται·

XVII. ἐπιεικῶς δὲ ἐπειδὴ ἀπένεμον αὐτῷ τινὰ αἰδῶ διὰ τὰ σημεῖα.

Τῷ Χριστῷ καὶ Πέτρῳ ὡς πρωτοτόκοις οὖσιν ἀπαιτεῖται τὸ δίδραχμον.

v. 25. Τὸ λέγειν τὸν Χριστὸν τί σοι δοκεῖ Σίμων, οἱ βασιλεῖς τῆς Γῆς ἀπὸ τίνων λαμβάνουσιν τέλη ἢ κῆνσον; τοιοῦτον ἔχει τὸν νοῦν· ἐλεύθερος φησὶν εἰμὶ τοῦ δοῦναι κῆνσον· εἰ Γὰρ βασιλεῖς τῆς Γῆς οὐ παρὰ τῶν υἱῶν αὐτῶν λαμβάνουσιν, ἀλλὰ παρὰ τῶν ἀρχομένων· οὐ δώσω φησὶν ἐγὼ, οὐκ ἐπιγείου βασιλέως, ἀλλὰ τοῦ τῶν οὐρανῶν ὢν υἱὸς βασιλέως.

v. 27. Τὸ προειπεῖν ὅτι εὑρήσεις στατῆρα ἐν τῷ ἰχθύϊ, καὶ τὸ πρώτως τὸν ἰχθὺν ἐμπεσεῖν, καὶ ὥσπερ ἄγκυστρον τὸν λόγον αὐτοῦ εἰς τὴν ἄβυσσον ἐλθεῖν, μεγάλου θαύματος ἄξιον.

C A P. XVIII.

XVIII. v. 1. Διὰ τί λέγεται ἐν τῇ ὥρᾳ ἐκείνῃ προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ λέγοντες, τίς ἄρα μείζων ἐστίν; ἐπειδὴ ἔπαθον ἀνθρώπινον, ἐπεὶ προετιμήθη ὁ Πέτρος ὡς πρωτότοκος· καὶ γὰρ εἷς τῶν δύο, Ἰάκωβος καὶ Ἰωάννης λέγω, πρωτότοκος ἦν· καὶ οὐδαμῶς τι τοιοῦτον ἐποίησεν ὑπὲρ αὐτῶν· αἰσχυνόμενοι οὖν ὅπερ ἔπαθον ὁμο-

λογῆσαι, οὐ λέγουσι μὲν ὅτι διὰ τί τοῦτον προτιμᾷς; ἀορίστως δὲ ἐρωτῶσι τίς μείζων ἐστίν; ὅτε μὲν γὰρ τοὺς τρεῖς εἶδον προτιμωμένους, οὐδὲν ἔπαθον· ὅτε δὲ τοῦτον μόνον, ἤλγησαν· καὶ οὐ μόνον διὰ τοῦτο, ἀλλ' ὅτι καὶ τὰς κλεῖς ἔλαβε, καὶ ἐμακαρίσθη· τὸ δὲ παιδίον ὑπέδειξεν, δεικνὺς ὅτι φθόνου καὶ κενοδοξίας καὶ τούτων πρωτείων ἐρᾷν, ἀναισθήτως ἔχει, καὶ τὰ ἐναντία καὶ τὰ τίμια ὁμοίως λογίζεται. XVIII.

v. 5. Τὸ ὃς ἐὰν δέξηται παιδίον τοιοῦτο ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται, σημαίνει ὅτι οὐ μόνον ἀκάκους δεῖ εἶναι, ἀλλὰ καὶ τοιούτους τιμᾷν δέει, ἀμερίμνους φησὶ καὶ ἀμελεῖς καὶ εὐκαταφρονήτους.

v. 7. Τὸ ἀνάγκη ἐλθεῖν τὰ σκάνδαλα λέγειν, οὐ τὸ αὐθαίρετον τῆς ἐλευθερίας ἑκάστου ἀνεῖλεν, ἀλλὰ τὸ πάντως ἐσόμενον ὑπὸ πονηρῶν ἀνθρώπων προλέγει.

v. 8. Εἰπών, ἐὰν ἡ χείρ σου ἢ ὁ πούς σου ἢ ὀφθαλμός σου σκανδαλίσῃ σε, βάλε αὐτὸν ἀπὸ σοῦ, φίλον λέγει τὸν ἐν τάξει μέλους διὰ φιλίαν ὄντα μὲν, εἰς δὲ ψυχικὴν ὠφέλειαν οὐχ ὑπάρχοντα.

v. 10. Τίνες εἰσὶν οἱ μικροὶ, οἷς μὴ καταφρονεῖν προστάσσει; οἱ πτωχοὶ, οἱ ἄγνωστοι, οἱ εὐτελεῖς.

XVIII. Εἰπὼν οἱ ἄγγελοι αὐτῶν, ἔδειξεν ὅτι πάντες ἀγγέλους ἔχουσιν· τὸ δὲ λέγειν ὅτι βλέπουσιν τὸ πρόσωπον τοῦ πατρός μου, διὰ τὴν πολλὴν παῤῥησίαν καὶ τιμὴν ἣν ἔχουσιν λέγει.

v. 16. Διὰ τί λέγει ὅτι ἐὰν ἁμαρτήσῃ εἰς σε ὁ ἀδελφός σου, καὶ τὰ ἑξῆς; μεταξὺ δύο γενέσθαι τὸν ἔλεγχον, ἵνα μὴ αἰσχυνθῇ ὁ ἐλεγχόμενος, καὶ δυσδιόρθωτος γένηται.

Οὐκ ἄγει τὸν λυπήσαντα πρὸς τὸν λυπηθέντα, ἀλλὰ τοῦτον πρὸς ἐκεῖνον, ἐπειδὴ ὁ ἠδικηκὼς οὐκ εὐκόλως ἂν ἔλθοι αἰσχυνόμενος· διὰ τοῦτο πρὸς ἐκεῖνον, τοῦτον ἕλκει.

v. 19. Τί ἐστιν τὸ λεγόμενον ὅτι δύο ὑμῶν ἐὰν συμφωνήσωσιν ἐπὶ τῆς γῆς, περὶ παντὸς πράγματος οὗ ἂν αἰτήσωνται, γενήσεται αὐτοῖς; περὶ ποίων λέγει δύο; περὶ τῶν ἀγγελικὴν πολιτείαν ἐχόντων· ὅσα γὰρ ἂν οὗτοι μετὰ ὁμονοίας αἰτήσωνται περὶ τοῦ πλησίον, ἐπιτεύξονται.

v. 23. Τὸ ἑβδομήκοντα καὶ ἑπτὰ, οὐκ ἀριθμὸν δηλοῖ, ἀλλὰ τὸ ἄπειρον· ὥσπερ τὸ μυρία, καὶ ὥσπερ τὸ στεῖρα ἔτεκεν ἑπτὰ, ἀντὶ τοῦ πολλά.

v. 25. Τὰ μυρία τάλαντα ἃ ὁ θεὸς ἀφῆκεν, καὶ τὰ ἑκατὸν ἃ ὁ δοῦλος οὐκ ἀφῆκεν, τὴν ὑπερβάλλουσαν τοῦ θεοῦ συγχώρησιν καὶ μακροθυμίαν πρὸς τὴν ἡμετέραν μικροψυχίαν δείκνυσιν·

ὅτι ἐκεῖνος μὲν ἄμετρα συγχωρεῖ· τοῦτο γάρ XVIII.
ἐστι τὸ μυρία· ἡμεῖς δὲ οὐδὲ τὰ ἀριθμητὰ συγχωροῦμεν· δείκνυσι δὲ διὰ τούτου πόσον Θεὸς ὑπὲρ ἄνθρωπόν ἐστιν ἀγαθὸς καὶ φιλάνθρωπος.

Σὺν τῷ ὀφείλοντι τὰ μυρία τάλαντα διὰ τί καὶ τὴν αὐτοῦ γυναῖκα καὶ τὰ παιδία διακελεύει πραθῆναι; οὐχ ὡς ὠμὸς, ἀλλ' ἵνα αὐτὸν εἰς ἱκετηρίαν ἀγαγὼν συγχωρήσῃ, οὐχ ἵνα πραθῇ· εἰ γὰρ διὰ τὸ πραθῆναι τοῦτο ἐποίει, οὐκ ἂν συνεχώρει· οὐ συγχωρεῖ δὲ πρὸ τῆς ἀποφάσεως, ἵνα αὐτὸν ἐλευθεροῖ ὀφειλημάτων, ἵνα κἀκεῖνος τὸν ὁμόδουλον συγχωρήσῃ.

C A P. XIX.

v. 4. Ὁ Χριστὸς ἐρωτώμενος οὔτε ἀεὶ σιγᾷ XIX.
ἵνα μὴ νομίσωσιν λανθάνειν, οὔτε ἀεὶ ἐλέγχει ἵνα παιδεύσῃ ἐκ τοῦ ἡμέρως φέρειν αὐτὸν, κἀκείνους τὸ μακρόθυμον.

v. 10. Τί δηλοῖ τὸ εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ τῆς γυναικὸς; τοῦτο λέγει, ὅτι διὰ τοῦτο συνήφθη ἵνα ἓν ὦσιν· ἢ ἐκεῖνο, ὅτι εἰ αἰτίαν λήψεται καὶ παρανομεῖ ὁ ἀνὴρ ἐπὶ τούτοις ἐκβάλλων τὴν γυναῖκα, κουφότερόν ἐστιν μᾶλλον πρὸς ἐπιθυμίαν μάχεσθαι φύσεως, ἢ πρὸς γυναῖκα πονηράν. Καὶ ἄλλως. Εἰ

XIX. οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ τῆς γυναικὸς, τουτέστιν εἰ διὰ τοῦτο συνήφθη ἵνα ἓν ὦσιν, καὶ ἀδιάσπαστοι μένωσιν παρ' ὅλον τὸν βίον, κἂν μοχθηρὰ λίαν καὶ θηριώδης ἡ γυνὴ, οὐ συμφέρει, καὶ ἑξῆς. Ἢ καὶ οὕτως. Εἰ αἰτίαν λήψεται καὶ παρανομεῖ ὁ ἀνὴρ ἐπὶ τούτοις ἐκβάλλων τὴν γυναῖκα, οὐ συμφέρει γαμῆσαι· κουφότερον γὰρ πρὸς ἐπιθυμίαν μάχεσθαι καὶ πρὸς ἑαυτὸν, ἢ πρὸς γυναῖκα πονηρὰν καὶ πολλῆς γέμουσαν ἀναισχυντίας.

v. 13. Τίνος ἕνεκεν οἱ μαθηταὶ ἀπεσόβουν τὰ παιδία ἅπερ προσηνέχθη αὐτῷ ἐπὶ τῷ εὔξασθαι αὐτοῖς; τύφου ἕνεκεν· αὐτὸς δὲ διδάσκων αὐτοὺς μετριάζειν καὶ τύφον καταπατεῖν, λαμβάνει καὶ ἐναγκαλίζεται καὶ προσεύχεται· καὶ διδάσκει, ἵνα ἃ τῇ φύσει ἔχει τὰ παιδία, τῇ προαιρέσει ἐργαζώμεθα ἡμεῖς.

v. 16. Τὸν προσελθόντα νεανίσκον τῷ Χριστῷ καὶ εἰπόντα διδάσκαλε ἀγαθὲ, τινὲς μὲν ὡς ὕπουλον διαβάλλουσιν, ἐγὼ δὲ χρημάτων δοῦλον μόνον οὐ παραιτησαίμην εἰπεῖν· ἐπειδὴ καὶ ὁ Χριστὸς τοιοῦτον αὐτὸν ὄντα ἤλεγξε· ἐπεὶ καὶ Μάρκος λέγει, ἐμβλέψας αὐτῷ οἷον ἠγάπησεν αὐτόν· καὶ ὅτι εἰ τοῦτο ἦν, ἐδήλωσεν ἂν αὐτὸς ὁ εὐαγγελιστὴς, ὡς ἐπὶ τοῦ νομικοῦ καὶ ἐπὶ τῶν ἄλλων· καὶ εἰ τοῦτο ἦν, οὐκ ἀπῆλθε

λυπούμενος· καὶ ἐλεγχθῆναι δὲ εἶχεν πειράζων ὡς καὶ οἱ ἄλλοι. XIX.

v. 17. Πῶς νοητέον τὸ οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ Θεός, μή ποτε δὲ καὶ ἑαυτὸν ἐκβάλλει τοῦ εἶναι ἀγαθόν; πρῶτον μὲν οὐχ ὅτι οὐκ ἔστι τίς ἀνθρώπων ἀγαθὸς, τοῦτο λέγει, ἀλλὰ παραβάλλων τὴν τοῦ θεοῦ ἀγαθότητα πρὸς ἡμᾶς· ἔπειτα δὲ οὐκ εἶπεν ὅτι οὐκ εἰμὶ ἀγαθὸς, ἀλλ' οὐδεὶς ἀνθρώπων, ἐπειδὴ ὡς ἀνθρώπῳ αὐτῷ ψιλῶς προσῆλθε· τοῦτο λέγει δῆθεν καὶ περὶ ἑαυτοῦ· τοιοῦτο δὲ καὶ εἰ ὑμεῖς πονηροὶ ὄντες οἴδατε διδόναι, οὐ πάντων πονηρίαν κατηγορεῖ, ἀλλὰ τὴν ἐν ἀνθρώποις ἀγαθότητα τῇ τοῦ θεοῦ ἀγαθότητι παραβάλλων.

v. 23. Διὰ τί πρὸς τοὺς μαθητὰς, ἀπελθόντος τοῦ ἐρωτήσαντος, ὁ Χριστὸς λέγει πλουσίοις μὴ οὖσι, πῶς δυσκόλως πλούσιος εἰσελεύσεται εἰς τὴν βασιλείαν τοῦ θεοῦ; παιδεύων αὐτοὺς μὴ αἰσχύνεσθαι τῇ πενίᾳ.

v. 25. Ἐπεὶ πένητες ἦσαν, πῶς λέγουσιν τίς ἄρα δύναται σωθῆναι; ὑπὲρ τῶν ἄλλων ἀνθρώπων ἀλγοῦντες ὡς ὑπὲρ αὐτῶν.

v. 28. Τὸ καθήσεσθε ἐπὶ δώδεκα θρόνων, ἀντὶ τοῦ συνδοξασθήσεσθε· τὸ δὲ κρίνοντες, ἀντὶ τοῦ κατακρίνοντες· οὐ γὰρ δὴ δικασταὶ μέλλουσιν εἶναι· εἰς γὰρ κατάκρισιν τῶν ὁμοφύλων οἱ πιστεύσαντες ἔσονται.

XIX. v. 29. Τὸ ὅστις ἀφῆκεν γυναῖκα ἢ τόδε ἢ τόδε, οὐ διάζευξιν εἰσάγει τῶν γυναίκων, ἀλλ' ὅμοιόν ἐστιν τῷ ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ, εὑρήσει αὐτήν· ἵνα προτιμῶμεν ἐν τοῖς διωγμοῖς τὴν εὐσέβειαν, ὑπὲρ γυναῖκα καὶ οἰκίας καὶ φίλους· ἢ ὅταν γυνὴ ἄπιστός ἐστιν ἢ ἀνὴρ, τότε δι' εὐσέβειαν διαζεύγνυται, εἰ μὴ δύναται διορθῶσαι καὶ αὐτήν· καθὼς καὶ Παῦλος ἔλεγεν, εἰ δὲ ὁ ἄπιστος χωρίζεται χωριζέσθω.

v. 30. Τὸ πολλοὶ ἔσονται ἔσχατοι, πρῶτοι· καὶ πρῶτοι, ἔσχατοι, ἰουδαίους καὶ ἐθνικοὺς λέγει.

C A P. XX.

XX. v. 1. Περὶ τῶν ἐργατῶν χρὴ νοεῖν, ἀμπελῶνα τὴν ἐργασίαν τῆς ἀρετῆς· χρόνον τῆς ἐργασίας, τὸν παρόντα βίον· ἐργάτας δὲ διαφόρους, τοὺς ἐν διαφόροις ἡλικίαις· τὸ δὲ εἰσάγειν γογγύζοντας τινὰς, οὐ νομίσομεν ἁγίους φθονεῖν ἐκεῖθεν· καθαρὰ γὰρ τὰ ἐκεῖθεν φθόνου· ἀλλὰ τὰ τῆς παραβολῆς οὐ χρὴ πάντα ζητεῖν· παραβολὴ γάρ ἐστιν· τὰ δὲ συντείνοντα πρὸς σκοπὸν μόνον δρέπεσθαι τὸν φθόνον καὶ εἰς ὑπερβολὴν τοῦ εὐεργετηθέντος εἰσάγει ὁ λόγος.

Ἀμπελῶνα τὰ ἐπιτάγματα τοῦ θεοῦ λέγει

καὶ τὰς ἐντολὰς αὐτοῦ· χρόνον δὲ τῆς ἐργασίας, XX.
τὸν παρόντα βίον· ἐργάτας δὲ διαφόρους καλουμένους ἐπὶ τὰ προστάγματα περὶ τρίτην καὶ ἕκτην καὶ ἐννάτην ὥραν καὶ ἑνδεκάτην, τοὺς ἐν διαφέροις ἡλικίαις προσελθόντας εὐδοκιμήσαντας.

v. 3. Τὸ προσκαλεῖσθαι τὸν μὲν τρίτην, τὸν δὲ ἕκτην, τὸν δὲ ἐννάτην, οὐ προκρίνοντός ἐστιν ἀδίκως, ἀλλὰ γινώσκοντος ὅτε ἔμελλον ὑπακοῦσαι αὐτῷ· οὕτως καὶ ὁ Παῦλος οὐκ ἐκ προοιμίων ἐκέκλητο, ἀλλ' ὅτε ἔμελλεν πεισθήσεσθαι· ὅτι δὲ πάντας ἤθελεν ἐξ ἀρχῆς μισθώσασθαι, λέγει καὶ ἡ παραβολὴ· ὅτι ἐξῆλθεν τοῦ μισθώσασθαι, καὶ ὅτι ἐκεῖνος ἤθελεν μισθωθῆναι λέγει, οὐδεὶς ἡμᾶς ἐμισθώσατο.

v. 16. Τὸ εὐθὺς μετὰ τὴν παραβολὴν λεγόμενον ὅτι οὕτως ἔσονται οἱ ἔσχατοι πρῶτοι, οὐ δεῖ θαυμάζειν ὡς μὴ συναγόμενον ἐκ τῆς παραβολῆς, ἀλλὰ δεῖ νοεῖν ὅτι ὥσπερ τοῦτο συνέβη φησὶν, οὕτως κἀκεῖνο γενήσεται.

Χρὴ εἰδέναι ὅτι αἱ παραβολαὶ αὗται οἷον ἡ τῶν παρθένων, ἡ τῆς σαγήνης, ἡ τῶν ἀκανθῶν, ἡ τοῦ δένδρου τοῦ ἀκάρπου, τὴν ἀπὸ τῶν ἔργων ἀρετὴν ἐπιζητοῦσιν.

v. 17. Διὰ τί μετὰ τοσαύτης περιουσίας νῦν ἐπιβαίνει τοῖς Ἱεροσολύμοις; ἐπεὶ τότε μὲν προοίμια ἦν οἰκονομίας, νῦν δὲ ὅτε τῆς αὐτοῦ

XX. δυνάμεως πεῖραν ἔδωκε, μετὰ πλείονος περιφανείας ἔρχεται· ἐπεὶ καὶ ὁ σταυρὸς ἐν θύραις ἦν, τὰ μέλλοντα αὐτοῖς ἐκβαίνειν ἐπιδεικνύμενος.

v. 20. Διὰ τί οἱ υἱοὶ Ζεβεδαίου προσῆλθον αὐτῷ περὶ προεδρίας διαλεγόμενοι; ἐπειδὴ καθώς φησιν ἕτερος εὐαγγελιστὴς διὰ τὸ ἐγγὺς εἶναι τὴν Ἱερουσαλὴμ, δοκεῖ ὅτι καὶ ἡ βασιλεία αὐτοῦ ἐγγύς ἐστιν· εἰ δὲ ὁ εὐαγγελιστὴς οὗτος περὶ τῆς μητρὸς αὐτῶν λέγει ὅτι αὐτὴ ἠτήσατο, ὡς ἐξ ἀμφοτέρων γενόμενον τοῦτο εἶπεν, ἵνα πλέον δυσωπηθῇ· ᾐσχύνοντο γὰρ μόνοι τοῦτο λέγειν.

v. 22. Τὸ εἰπεῖν αὐτὸν οὐκ οἴδατε τί αἰτεῖσθε, ἀντὶ τοῦ οὐδὲν πνευματικὸν, φησίν· εἰ δὲ καὶ περὶ τῆς ἄνω δόξης ᾔτουν, οὐδὲ οὕτως καλῶς ᾔτουν· τὴν δὲ προεδρίαν ἐζήτουν τῶν ἄλλων, ἐπειδὴ εἶπεν ὅτι καθιεῖσθε ἐπὶ δώδεκα θρόνους, μὴ νομίσαντες τὸ δοξασθήσεσθε δι' ἀρετὴν, ἀλλὰ τὸ καθίσαι· καὶ κρίνοντες, μὴ νοήσαντες τὸ κατακρίνοντες, ἀλλὰ τὸ δικάζοντες.

Τὸ δύνασθε τὸ ποτήριον ὃ ἐγὼ πίνω πιεῖν, τὰς σφαγὰς καὶ τὰς βασάνους λέγει καὶ τὸ μαρτύριον· ποτήριον δὲ εἶπεν αὐτὸ, ἵνα προθυμοτέρους ποιήσῃ τῷ εὐκόλῳ τοῦ λόγου, καὶ πρὸς ἑαυτὸν ἐφελκύσηται· καὶ βάπτισμα δὲ αὐτὸ καλεῖ, ὡς καθάρσιον τῆς οἰκουμένης.

v. 23. Καὶ πῶς λέγει, οὐκ ἔστιν ἐμὸν δοῦναι; ἐπείπερ οὐκ ἔστιν οὔτε ἐκεῖθεν τοιαύτη καθέδρα· ἢ δῆλον ὅτι πρὸς τὴν ὑπόνοιαν λέγει συγκαταβαίνων· τὸ δὲ οἷς ἡτοίμασται, ἐκ τῶν πόνων καὶ τῶν ἱδρώτων· τοῦτο δὲ οὐκ ἐκβάλλει ἔξω τὴν ἐξουσίαν, ἀλλὰ τὸ δίκαιον αὐτοῦ δείκνυσιν· ὅτι δὲ ἐξουσίαν ἔχει, ἄκουσον· ἐγὼ δέ σοι δώσω τὰς κλεῖς τῶν οὐρανῶν· καὶ ὁ Παῦλος δὲ οὕτω δηλῶν ἔλεγεν· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι κύριος, καὶ πᾶσιν τοῖς ἠγαπηκόσιν τὴν ἐπιφάνειαν αὐτοῦ. XX.

v. 25. Εἰ οἱ δύο τῶν δέκα κατεξανίσταντο, καὶ οἱ δέκα ἐφθόνουν τοῖς δυσὶν, οὐ χρὴ δὲ τοῦτο σκοπεῖν, ἀλλὰ τὰ τελευταῖα αὐτῶν.

v. 31. Διὰ τί συνεχώρει Χριστὸς ἐπιστομίζεσθαι τοὺς τυφλοὺς ὑπὸ τοῦ ὄχλου; ἵνα μειζόνως αὐτῶν ἡ προθυμία φαίνηται· διὰ τοῦτο οὐδὲ ἐρωτᾷ, πιστεύετε;

v. 32. Διὰ τί ἐρωτᾷ τί θέλετε ποιήσω ὑμῖν; ἵνα μή τις νομίσῃ ὅτι ἄλλα βουλομένοις λαλεῖς ἄλλα δίδως· καὶ ἵνα τοὺς ἄλλους εἰς μείζονα ζῆλον ἀγάγῃ· ἕτερον δὲ ἵνα δείξῃ τῆς δωρεᾶς δικαίως ἀπολαύοντας· ὥσπερ ἐπὶ τῆς χαναναίας καὶ τοῦ ἑκατοντάρχου καὶ τῆς αἱμοῤῥοούσης· μᾶλλον δὲ αὐτὴν καὶ κλέπτουσαν τὴν ἰατρείαν Χριστὸς δήλην ἔσχατον ποιεῖ.

XX. Διὰ τί οὕτως ἐρωτᾷ τί θέλετε; οὐκ ἀγνοῶν, ἀλλ' ἵνα ἀναγκάσῃ αὐτοὺς φανερῶσαι τὸ ἕλκος καὶ ἐπιθῇ τὸ φάρμακον.

CAP. XXI.

XXI. v. 2. Πολλὰ καὶ ἐπὶ τῆς πώλου θεωρεῖται· τὸ προειπεῖν ὅτι εὑρήσουσιν· τὸ ὅτι οὐ γογγύσει ὁ κύριος αὐτοῦ κἂν πένης ἐστὶν, μέτρον φιλονεικίας παρέχων καὶ οὐ θρασύτητος· εἰς ὄνον ἐκαθέσθη, καὶ προφητείαν ἐπλήρου, ὅτι οὐ μόνον διδάσκει τὰ θεῖα, ἀλλὰ καὶ τὸν τῶν ἀνθρώπων βίον διορθοῦται· διὰ τῆς εὐτελείας ὄνον ὃς μόνον εἰς χρείαν ἐστιν ὅτε τῶν ἀσθενούντων διδάσκει εὐπορεῖν· ἀλλ' οὐχ ἵππους καὶ ἡμιόνους, ἐξ ὧν πόλεμοι· καὶ πτωχὴν μητέρα ἔσχεν, καὶ ἐν σπηλαίῳ τίκτεται, καὶ ἐν φάτνῃ τίθεται, καὶ κριθίνους παρατίθησιν ἄρτους, καὶ ἐξ ἀγορᾶς ἐσθίει, καὶ ἀπὸ χόρτου στιβάδα ποιεῖ, καὶ ἱμάτια εὐτελῆ ἀμφιέννυται, οἰκίαν δὲ οὐκ ἔσχεν, καὶ ἵππον μὴ ἔχων, ἐκ τῆς ὁδοιπορίας ἐκοπία· καὶ καθεύδων ἐπὶ γῆς ἔκειτο· καὶ λύπης μέτρα τιθεὶς οὐκ ἐθρήνει· οὕτως τὸ πάντα κοινὰ εἶναι, κανόνας ἐτίθει· καὶ τοιοῦτον τρόπον διώκειν, οἷον αὐτὸς ἐπεδείκνυτο, διδασκαλίαν ἐποιεῖτο.

v. 12. Περὶ τοῦ ἐκβάλλειν τὸν κύριον πάντας τοὺς πωλοῦντας ἐν τῷ ἱερῷ, καὶ Ἰωάννης αὐτὸν τοῦτο λέγει πεποιηκέναι· κἀκεῖνος μὲν ἐν ἀρχῇ τοῦ εὐαγγελίου, οὗτος δὲ πρὸς τῷ τέλει, ὅθεν εἰκὸς δεύτερον γενέσθαι· καὶ δῆλον ἀπὸ τοῦ χρόνου, καὶ ἀπὸ τῆς ἀποκρίσεως· ἐκεῖ μὲν γὰρ σπήλαιον λέγει λῃστῶν, ἐνταῦθα δὲ οἶκον ἐμπορίου. XXI.

v. 16. Διὰ τί λέγουσιν οἱ ἱερεῖς, οὐκ ἀκούεις τί οὗτοι λέγουσιν; τῷ φθόνῳ πνιγόμενοι· διὸ καὶ ἐπιπλήττων αὐτοὺς ἀποκρίνεται ναί· οὐδέποτε ἀνέγνωτε; καὶ τὰ ἑξῆς.

v. 18. Πῶς πρωΐας πεινᾷ; ὅτι συνεχώρησε τῇ σαρκὶ τοῦτο παθεῖν.

v. 19. Διὰ τί κατηράσατο καὶ ἔψυξεν τὴν συκῆν; θαῤῥεῖν ποιῶν τοὺς μαθητὰς, καὶ ὅτι οὐ μόνον εὐεργετεῖν δύναμαι ἀλλὰ καὶ τιμωρίαν ἐπενεγκεῖν.

Διὰ τί τὴν συκῆν ἔψυξεν, καὶ οὐκ ἄλλο φυτόν; ἐπειδὴ ὑγρότατον τῶν ἄλλων ἐστὶν, ἵνα θαυμαστωθῇ μᾶλλον τὸ γινόμενον.

v. 23. Τὸ ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς, τοιοῦτον ἔχει τὸν νοῦν· ἤτουν, ἱερεὺς μὴ ὢν ἢ διδάσκαλος μὴ χειροτονηθεὶς, πῶς τοσαύτην ἐξουσίαν ἐπεδείξω;

v. 24. Τί ἔχει ἡ Χριστοῦ ἀπόκρισις; θαυ-

XXI. μαστῶς πολὺ καὶ μέγα ποιῶν· ἐρωτᾷ γὰρ αὐτοὺς περὶ Ἰωάννου, ὅτι πόθεν αὐτοῦ τὸ βάπτισμα· καὶ γὰρ εἰ μὲν εἶπον ἐκ θεοῦ, εἶπεν ἂν καὶ διὰ τί οὐ πιστεύετε αὐτῷ· εἰ δὲ εἶπον ἐξ ἀνθρώπων, ἐφοβοῦντο τοὺς ὄχλους μὴ λιθοβολήσωσιν αὐτούς· μέγαν γὰρ εἶχον τὸν Ἰωάννην.

v. 28. Τί σημαίνουσι τὰ τέκνα τὰ δύο περὶ ὧν φησὶν ὁ Χριστός; τὸν λαὸν τῶν ἐθνῶν καὶ τῶν ἰουδαίων, ὅτι οἱ μὲν ὑπήκουσαν τὸν νόμον καὶ οὐκ ἀπῆλθον· οἱ δὲ οὐκ ἤκουσαν καὶ ἀπῆλθον· ὅθεν τὸ συνεσκιασμένον λύει λέγων, ὅτι οἱ τελῶναι καὶ αἱ πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

v. 33. Ἄνθρωπον οἰκοδεσπότην τὸν θεὸν λέγει, ἀμπελῶνα δὲ καὶ ληνὸν καὶ πύργον τὸν νόμον ὃν δέδωκεν, καὶ τὴν πόλιν ἣν ἀνέστησεν, καὶ τὸν ναὸν ὃν ἤγειρεν· γεωργοὺς δὲ τοὺς ἰουδαίους· ἔδωκε δὲ αὐτοῖς φυλάσσειν τὰ δοθέντα· τὸ δὲ ἀπεδήμησεν, τὴν πολλὴν μακροθυμίαν σημαίνει· ὅτι περ οὐκ ἀεὶ παρὰ πόδας ἐπάγει τὰς τιμωρίας· οἱ δὲ ἀποσταλέντες δοῦλοι, οἱ προφῆται εἰσίν· καρπὸς δὲ ἡ ὑπακοὴ τοῦ νόμου ἐστίν· τὸ δὲ ἴσως ἐντραπήσονται τὸν υἱόν, εἶπεν οὐχ ὡς ἀγνοῶν, ἀλλὰ μέγα δεῖξαι τὸ ἁμάρτημα βουλόμενος· ἔξω δὲ εἶπεν ὅτι ἀπέκτειναν αὐτὸν τοῦ ἀμπελῶνος, ἐπειδὴ ἔξω τῆς πόλεως ἐσταύρωσαν τὸν κύριον ἡμῶν.

v. 42. Λίθον ἑαυτὸν καλεῖ, οἰκοδόμους δὲ τοὺς διδασκάλους τῶν ἰουδαίων· ἀπεδοκίμασαν δὲ λέγει ἐν τῷ λέγειν αὐτοὺς οὐκ ἔστιν ἐκ τοῦ θεοῦ, οὗτος πλανᾷ τὸν κόσμον καὶ σαμαρίτης ἐστίν· τὸ δὲ ἐγενήθη εἰς κεφαλὴν γωνίας, ὅτι τὰ διεστῶτα ἔθνη καὶ ἰουδαίους τοὺς πιστεύσαντας εἰς ἓν συνῆψεν· τὸ δὲ παρὰ κυρίου ἐγένετο αὕτη καὶ ἔστιν θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν, ὅτι οὐδαμῶς ἐστιν αὕτη ἡ γωνία ἐναντία θεοῦ, ἀλλὰ καὶ θαυμαστὴ ἡμῖν· τὸ δὲ εἰπεῖν ὅτι ὁ πεσὼν ἐπὶ τὸν λίθον τοῦτον, συνθλασθήσεται· ἐφ' ὃν δ' ἂν πέσῃ λικμήσει αὐτὸν, δύο ᾐνίξατο ἀπωλείας, μίαν τοῦ σκανδαλισθῆναι, ὅ ἐστιν προσκόψαι· τοῦτο γὰρ δηλοῖ τὸ πεσεῖν ἐπὶ τὸν λίθον· ἑτέραν δὲ τὴν ἀπὸ τῆς ἁλώσεως αὐτῶν καὶ συμφορᾶς· διὰ τοῦτο δὲ καὶ τὴν ἀνάστασιν ᾐνίξατο τὴν ἑαυτοῦ. XXI.

C A P. XXII.

v. 2. Ἡ μὲν τοῦ ἀμπελῶνος παραβολὴ, τὰ πρὸ τοῦ σταυροῦ ᾐνίξατο· αὕτη δὲ τὰ μετὰ τὴν ἀνάστασιν λέγει· γάμος ἡ ἐνανθρώπησις, διὰ τὸ χαρᾶς γέμειν πνευματικῆς· ἐπεὶ καὶ νυμφίον αὐτὸν ὁ Ἰωάννης καλεῖ· κεκλημένους δὲ λέγει, ἐπεὶ πρὸ πολλοῦ ἐκλήθησαν· ἐκλήθησαν δὲ διὰ XXII.

XXII. τῶν προφητῶν· ἄριστος δὲ, τὴν πολλὴν εὐφροσύνην τῶν θαυμάτων λέγει· ἀλλ' οὐδὲ οὕτως αὐτοὺς ἐνέτρεψεν, ἀλλ' ἀγροὺς καὶ τὰ παρόντα τῆς εὐφροσύνης ταύτης προετίμησαν· ποίους δὲ δούλους ὕβρισαν; τοὺς ἀποστόλους· αὐτοὶ γὰρ αὐτοὺς μετὰ τὴν ἀνάστασιν εὐηγγελίζοντο· τὸ δὲ πέμψαι τὰ στρατόπεδα αὐτοῦ καὶ ἀπολέσαι τοὺς φονεῖς, καὶ τὴν πόλιν αὐτῶν ἐμπρῆσαι, τὰ γενόμενα ἐπὶ Οὐεσπασιανοῦ λέγει.

v. 8. Τί ἐστιν τὸ οὐκ ἦσαν ἄξιοι οἱ κεκλημένοι; ἔδει φησὶν αὐτοὺς μὴ δὲ κληθῆναι· ἀλλ' ἵνα μὴ καταλίπῃ αὐτοῖς πρόφασιν, καί περ εἰδὼς τὴν ἀπιστίαν αὐτῶν, ἔπεμψεν.

v. 9. Τί ἐστιν τὸ ἐξέλθετε εἰς τὰς πλατείας καὶ τὰς διεξόδους; περὶ τῶν ἐθνῶν λέγει· καὶ γὰρ οὐκ ἐν ὁδῷ οἷον ἐν νόμῳ, ἀλλ' ἔξωθεν τῆς ὀρθῆς ὑπῆρχον ὁδοῦ· ἔνδυμα δὲ γάμου ἐστὶν βίος ὀρθός.

v. 13. Τὸ ὁ κλαυθμὸς καὶ βρυγμὸς τῶν ὀδόντων, ἐκεῖνο ἐστὶν τὸ εἰς ἀκαρτηρήτους ὀδύνας εἰσελθεῖν.

v. 15. Ἐπειδὴ ἐφοβοῦντο τοὺς ὄχλους, δημοσίων ἀδικημάτων παγίδας ἱστῶσιν· εἰς γὰρ τὴν τῶν ῥωμαίων ἀρχὴν τῶν πραγμάτων αὐτοῖς μεταστεθέντων, ἐπειδὴ εἶδον ὅτι Θευδᾶς καὶ Ἰούδας διὰ τοῦτο ἀπέθανον ἀποστασίαν ἐκ ῥωμαίων

μελετήσαντες, ἐβούλοντο καὶ αὐτὸν εἰς τοιαύτην ὑποψίαν ἐνεγκεῖν· διὰ τοῦτο μετὰ τῶν μαθητῶν αὐτῶν καὶ τοὺς τοῦ Ἡρώδου στρατιώτας ἔπεμψαν, διπλοῦν ὀρύττοντες τὸν βόθρον, ἵνα εἰ μὲν ὑπὲρ τῶν ἡρωδιανῶν ἀποκρίνηται, αὐτοὶ ἐγκαλέσωσιν· εἰ δὲ ὑπὲρ αὐτῶν, ἐκεῖνοι· καί τοι γε ἦν δεδωκὼς τὰ δίδραχμα· ἀλλ' οὐκ ᾔδεσαν ἐκεῖνοι· ἐρώτων δὲ μέσον ὄχλου, μείζονα ποιοῦντες τὴν μαρτυρίαν· οἴδαμεν ὅτι ἀληθὴς εἶ· πῶς οὖν ἔλεγετε ὅτι πλάνος ἐστίν; τοῦτο οὖν κολακεύοντες λέγουσιν, οὐ λέγουσι δ' ἔτι τὸ συμφέρον, ἀλλὰ τί σοι δοκεῖ; τὸ δὲ εἰπεῖν ὅτι οὐ βλέπεις εἰς πρόσωπον, περὶ Καίσαρος καὶ Ἡρώδου αἰνίττονται· ἐκ τῶν οἰκείων οὖν στομάτων αὐτοὺς κατακρίναι βουλόμενος λέγει· τίνος ἡ εἰκών; ἵνα ἐκείνων εἰπόντων, μὴ δόξῃ οὗτος εἰπεῖν τί· ἵνα οὖν μὴ εἴπωσιν ὅτι ἀνθρώποις ἡμᾶς ὑποτάττεις, εἶπεν καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ· διὸ καὶ ὁ Παῦλος ἀπόδοτε πᾶσιν τὰς ὀφειλὰς λέγει. XXII.

v. 23. Δύο αἱρέσεις εἰσὶν, ἡ τῶν Φαρισαίων καὶ ἡ τῶν Σαδδουκαίων· οἱ μὲν Σαδδουκαῖοι οὔτε ἀνάστασιν οὔτε ἀγγέλους πιστεύουσιν· οἱ δὲ Φαρισαῖοι ὁμολογοῦσιν ἀμφότερα.

v. 35. Διὰ τί ὁ μὲν Ματθαῖος φησὶν ὅτι πειράζων ἠρώτησεν οὗτος ὁ νομικὸς οὕτως· ὁ δὲ Μάρκος φησὶν ὅτι εἰδὼς ὅτι νουνεχῶς ἀπεκρίθη

XXII. αὐτῷ, εἶπεν αὐτῷ, οὐ μακρὰν εἶ ἀπὸ τῆς βασιλείας τοῦ θεοῦ, οὐκ ἐναντιούμενοι αὐτοῖς· ἠρώτησεν γὰρ ἐν ἀρχῇ πειράζων· ἀπὸ δὲ τῆς Χριστοῦ ἀποκρίσεως ἐπηνέθη.

CAP. XXIII.

XXIII. v. 3. Τὸ πάντα ὅσα ἂν λέγουσιν ὑμῖν οἱ ἱερεῖς ποιεῖν ποιεῖτε, λέγει· ἐπειδὴ τὰ τοῦ θεοῦ λέγουσιν οὐ τὰ ἑαυτῶν, ἐκείνων μὲν διὰ τούτου τὴν κατηγορίαν μείζονα ποιῶν, τούτων δὲ τὴν ἀφορμὴν ἐκκόπτων, ἵνα μὴ διὰ τὴν τῶν διδασκάλων φαυλότητα ἀνηρήσῃ τὴν διδαχήν.

v. 4. Τί σημαίνει τὸ δεσμεύουσι, καὶ τὰ ἑξῆς; τὸ πολλὴν μὲν καὶ ἄκραν ἀπαιτεῖν παρὰ τῶν ἀρχομένων βίου ἀκρίβειαν, πολλὴν δὲ αὐτοῖς ἐπιτρέπειν τὴν ἄδειαν· ὃ τοὐναντίον τὸν ἄρχοντα ἔχειν χρή· ἐν μὲν τοῖς καθ' ἑαυτὸν ἀσύγγνωστον εἶναι καὶ πικρὸν δικαστὴν, ἐν δὲ τοῖς τῶν ἀρχομένων συγγνωμονικὸν καὶ ἥμερον· οἱ λόγοις μόνοις φιλοσοφοῦντες, ἀσύγγνωστοι καὶ βαρεῖς, ὡς ἄπειροι τῆς δι' ἔργων δυσκολίας.

Διὰ τί οὐκ εἶπεν ὅτι οὐ δύνανται οὐδὲ θέλουσιν οὐδὲ πάλιν ὅτι βαστάσαι ἀλλὰ δακτύλῳ κινῆσαι; ὅπερ μεῖζον αὐτοῖς ἔγκλημα γίνεται· καὶ περὶ μὲν τῆς ὠμότητος αὐτῶν ταῦτα.

v. 5. Τί ἐστιν τὰ φυλακτήρια αὐτῶν πλατύ- XXIII.
νουσιν, καὶ μεγαλύνουσι τὰ κράσπεδα τῶν πτερυγίων αὐτῶν; τὰ μὲν οὖν φυλακτήρια μικρὰ βιβλία εἰσίν· ἐπειδὴ γὰρ συνεχῶς ἐπελανθάνοντο τῶν εὐεργεσιῶν τοῦ θεοῦ, ἐκέλευσεν ἐγγραφῆναι μικροῖς βιβλίοις τὰ θαυμάσια αὐτοῦ, καὶ ἐξηρτῆσθαι αὐτὰ τῶν χειρῶν αὐτῶν· διὸ καὶ ἔλεγεν· ἔσται ἀσάλευτα ἐν ὀφθαλμοῖς σου, ἃ τινα ἐκάλουν φυλακτήρια· τὰ δὲ κράσπεδα σημαίνει κλῶσμα ὑακίνθινον· τοῦτο γὰρ ὥσπερ παιδίοις ἐκέλευσε ποιεῖν, καὶ ἐπὶ τῷ ἱματίῳ περὶ τὴν ὤαν περὶ τοὺς πόδας ἀποῤῥάπτεσθαι, ἵνα προσέχοντες ἀναμιμνήσκωνται τῶν ἐντολῶν· δείκνυσιν οὖν αὐτοῖς, οὐκ ἐπὶ τοῖς μεγάλοις καὶ ἀναγκαίοις κενοδοξοῦντας, ἀλλ' ἐπὶ τούτοις τοῖς εὐτελέσιν.

v. 9. Εἰπὼν πατέρα μὴ καλέσητε, οὐ τοῦτο λέγει, ἀλλ' ἵνα γινώσκωσιν τὸν κυρίως πατέρα, λέγω δὲ τὸν θεόν· οὕτως χρὴ νοεῖν καὶ τὸ μὴ κληθῆτε ῥαββί.

v. 13. Τὸ κλείετε τὴν βασιλείαν τῶν οὐρανῶν ἔμπροσθεν τῶν ἀνθρώπων, τοῦτο λέγει, ὅτι ἄλλους κωλύετε, αὐτοὶ μὴ εἰσερχόμενοι· τί δέ ἐστι τοὺς εἰσερχομένους; τοὺς ἐπιτηδείως ἔχοντας εἰσελθεῖν· πῶς δὲ ἐκώλυον; διὰ τὸ μηδὲν

XXIII. αὐτοὺς ἐργάζεσθαι ἀγαθόν· ἐκείνους γὰρ βλέποντων ὁ λαὸς ὡμοιοῦντο αὐτοῖς.

v. 15. Τὸ περιάγετε τὴν θάλασσαν καὶ τὴν ξηρὰν ποιῆσαι ἕνα προσήλυτον· καὶ ὅτ' ἂν γένηται, ποιεῖτε αὐτὸν υἱὸν γεέννης διπλότερον ὑμῶν, τοῦτο λέγει, ὅτι οὐδὲ διὰ τὸ μόλις αὐτὸν σαγηνεῦσαι, καὶ μετὰ μυρίων πόνων τοῦτο αὐτὸ φείδεσθε αὐτοῦ, ἀλλὰ παρασκευάζετε αὐτὸν υἱὸν γεέννης διὰ τῆς ὑμῶν πράξεως γενέσθαι.

Τὸ υἱὸν γεέννης δηλοῖ αὐτογένναν, ὥσπερ τοὺς υἱοὺς ἀνθρώπων τοὺς ἀνθρώπους.

v. 23. Τί ἐστιν τὸ ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ ἄνηθον καὶ τὰ ἑξῆς; ὅτι τὰ μικρὰ ἀποδεκατοῦντες, τὰ δὲ μεγάλα οὐδαμῶς· ὥστε διὰ τὸ φανῆναι ὅτι τὸν νόμον φυλάττετε, οὐ διὰ τὸ ἀπὸ ψυχῆς δοῦναι ἐστιν τοῦτο.

v. 24. Ὁδηγοὺς τυφλῶν καλεῖ αὐτοὺς, ὅτι οὔτε αὐτοὶ τὸ καλὸν ἐγίνωσκον, καὶ ἄλλους ὁδηγοῦντες ἐνέπαιζον.

Κώνωπα ἐκάλεσεν τοὺς σωματικοὺς καθαρμούς· μικρὰ γὰρ ἦν καὶ οὐδέν· κάμηλον δὲ τὴν κάθαρσιν τῆς ψυχῆς, ὅπέρ ἐστιν ἀρετή· μεγάλη γάρ ἐστιν καὶ ὑψηλὴ, ἧς ἠμέλουν καὶ ἀφανῆ ἐποίουν, ὥσπερ καταπεπωκότες τὰ ψυχικά.

v. 26. Μέλλων δεῖξαι ὡς τῇ ἔνδον καθαρότητι ἀκολουθεῖ καὶ ἡ ἔξω, ἡ δὲ ἔξω οὐκέτι

τῇ ἔνδον, λέγει ἀπὸ πράγματος, ὅτι καθαρί- XXIII.
ζετε τὸ ἔξω τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἔσωθεν δὲ γέμει ἁρπαγῆς καὶ ἀδικίας· καθάρισον πρῶτον τὸ ἔνδον, καὶ τὰ ἑξῆς.

v. 27. Καὶ τάφους κεκονιαμένους λέγων, ὅμοιον τοῦ ποτηρίου νοηθήσεται, διὰ κενοδοξίαν λεγόμενον.

v. 29. Οἰκοδομεῖτε τοὺς τάφους τῶν προφητῶν· οὐχ ὡς οἰκοδομούντων μνήματα, ἀλλ' ὡς ἀντιποιουμένων αὐτῶν καὶ λεγόντων ὅτι εἰ ἦμεν ἐν ταῖς ἡμέραις αὐτῶν, οὐκ ἂν ἦμεν κοινωνοὶ τοῖς πατρᾶσιν ἡμῶν ἐν τοῖς αἵμασιν αὐτῶν· ἐποίουν δὲ τοῦτο κρείττονες καὶ ἀγαθοὶ μᾶλλον τῶν πατέρων αὐτῶν φαίνεσθαι βουλόμενοι.

v. 31. Τίνος ἕνεκεν καταγινώσκει αὐτῶν ὡς υἱῶν ὄντων τῶν φονευσάντων τοὺς προφήτας; οὐδὲ γὰρ ἔγκλημα τοῦτο ἐὰν μὴ κοινωνῇ τῇ γνώμῃ τοῦ πατρὸς ὁ υἱός· ἐκοινώνουν δὲ φονεύοντες· διὰ τοῦτο μέμφεται αὐτούς.

v. 32. Τί ἐστιν τὸ πληρώσατε καὶ ὑμεῖς τὸ μέτρον τῶν πατέρων ὑμῶν; οὐκ ἐπιτάττων τοῦτο φησὶν, ἀλλὰ προαναφωνῶν τὸ ἐσόμενον, τοῦτ' ἔστιν τὴν αὐτοῦ σφαγήν.

v. 33. Διὰ τί λέγει αὐτοὺς γεννήματα ἐχιδνῶν; τὴν κατὰ κακίαν συγγένειαν αἰνιττόμενος· ὡς ἂν ἔλεγεν, ὅτι ὥσπερ ἐκεῖνα ἔοικεν τοῖς γο-

XXIII. νεῦσιν κατὰ τὴν τοῦ ἰοῦ λύμην, οὕτω καὶ ὑμεῖς τοῖς ὑμῶν πατράσι κατὰ τὸ φονικὸν ἐοίκατε.

v. 34. Περὶ ποίων λέγει· ἰδοὺ ἐγὼ ἀποστέλλω προφήτας καὶ σοφοὺς καὶ γραμματεῖς; περὶ τῶν ἀποστόλων καὶ τῶν μαθητῶν αὐτῶν· καὶ γὰρ πολλοὶ ἐξ αὐτῶν προεφήτευσαν.

v. 35. Τίς δέ ἐστιν οὗτος ὁ Ζαχαρίας περὶ οὗ εἶπεν, ἕως τοῦ αἵματος Ζαχαρίου υἱοῦ Βαραχίου; οἱ μὲν τὸν Ἰωάννου πατέρα φασίν· οἱ δὲ τὸν προφήτην· οἱ δὲ ἕτερον τινὰ διώνυμον ἱερέα, ὃν καὶ Ἰωδαὲ φησὶν ἡ γραφή.

v. 39. Τὸ οὐ μὴ ἴδητε ἀπ' ἄρτι, περὶ τοῦ καιροῦ λέγει τοῦ μέχρι τοῦ σταυροῦ· τὸ δὲ ἕως ἂν εἴπητε εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, περὶ τῆς δευτέρας αὐτοῦ παρουσίας λέγει· τότε γὰρ πάντες αὐτὸν προσκυνήσουσιν.

CAP. XXIV.

XXIV. v. 14. Τί ἐστιν εἰς μαρτύριον πᾶσιν τοῖς ἔθνεσιν; ὅτι ἐκηρύχθη μὲν πανταχοῦ, οὐκ ἐπιστεύθη δὲ πανταχοῦ.

Τὸ τέλος· ἤτοι ἡ τῆς Ἱερουσαλὴμ ἅλωσις φησὶν, ἀλλ' οὐχ ἡ τοῦ κόσμου συντέλεια.

Τί ἐστιν τὸ βδέλυγμα τῆς ἐρημώσεως; τὸν ἀνδριάντα λέγει Τίτου τοῦ ἑλόντος τὴν πόλιν,

ὃς μετὰ τὸ λαβεῖν τὴν Ἱερουσαλὴμ ἔστησεν τὸ XXIV.
εἴδωλον αὐτοῦ.

Βδέλυγμα δὲ ἐρημώσεως, τὸν ἀνδριάντα τοῦ τότε ἑλόντος τὴν πόλιν λέγει· ἐρημώσεως δὲ αὐτὸ λέγει, ὡς ἐρημώσαντα τὴν πόλιν καὶ τὸν ναόν.

v. 20. Τί ἐστιν τὸ εὔξασθε μὴ γένηται ἡ φυγὴ ἐν χειμῶνι καὶ ἐν σαββάτῳ; ἐν χειμῶνι, διὰ τὸ δύσκολον τῆς φυγῆς· ἐν σαββάτῳ, δια τὸν κωλούντα νόμον ὁδεύειν τῇ ἡμέρᾳ ταύτῃ.

v. 22. Τί ἐστιν τὸ εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι; εἰ ἐπὶ πλέον φησὶν ἐκράτησεν ὁ πόλεμος τῶν ῥωμαίων ὁ κατὰ τῆς πόλεως, ἅπαντες ἂν ἀπώλοντο ἰουδαῖοι. Διὰ δὲ τοὺς ἐκλεκτοὺς ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι· ἐκλεκτοὺς λέγει τοὺς τῇ χάριτι ἤδη πιστεύσαντας.

Διὰ τί περὶ τῆς ἁλώσεως Ἱερουσαλὴμ οὐ λέγει Ἰωάννης; ἵνα μὴ δόξῃ τισὶν ἀπὸ τῆς ἱστορίας γεγραφέναι ταῦτα ἢ ὡς ἀκούσας· ἔζησε γὰρ μέχρι πολλοῦ· ἀλλὰ οἱ πρὸ τῆς ἁλώσεως τελευτήσαντες, αὐτοὶ ἃ ἤκουσαν ἐκ Χριστοῦ γεγράφασιν.

v. 23. Ἐπειδὴ δύο ἐρωτήσεις προσήνεγκαν οἱ μαθηταὶ τῷ Χριστῷ, μίαν περὶ τῆς συντελείας τῶν Ἱεροσολύμων, καὶ ἑτέραν περὶ τῆς συντελείας τοῦ κόσμου, εἰπὼν περὶ τῆς τῶν Ἱεροσολύμων τά τε προάγοντα σημεῖα, καὶ τὰ ἐν αὐ-

XXIV. τῷ τῷ πάθει, καὶ τὴν ὑπερβολὴν τοῦ πάθους, καὶ τὴν μετὰ τὸ πάθος ἐπὶ τῇ κολοβώσει τῶν ἡμερῶν ἐκείνων φιλανθρωπίαν τοῦ θεοῦ, νῦν μεταβαίνει καὶ ἐπὶ τὴν τοῦ κόσμου συντέλειαν· τὸ δὲ τότε οὐκ ἔστιν ἐμφαντικὸν τοῦ μετὰ τὸ εὐθέως, ἀλλὰ μόνον καιροῦ παραστατικόν ἐστιν ἐκείνου, καθ' ὃν τὰ ῥηθησόμενα μέλλει γίνεσθαι· καὶ τούτῳ κέχρηται πολλάκις τῷ ἰδιώματι ἡ τοῦ εὐγγελίου γραφή.

Πληρώσας περὶ τῶν Ἱεροσολύμων, εἰς τὴν ἑαυτοῦ διαβαίνει δευτέραν παρουσίαν, καὶ λέγει τοῖς μαθηταῖς τὰ σημεῖα· εἶτα τότε φησὶν ἐάν τις εἴπῃ ὧδε ὁ Χριστὸς, μὴ πιστεύσητε· τὸ δὲ τότε, οὐ τῆς ἀκολουθίας ἐστὶ τοῦ καιροῦ, ἀλλὰ τὰ τοῦ τότε καιροῦ μόνα· ὅπου γὰρ ἀκολουθίαν ἐβούλετο εἰπεῖν, τὸ εὐθέως λέγει· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ τὸ τότε· οὕτω καὶ ὅτ' ἂν λέγῃ, ἐν ἐκείναις ταῖς ἡμέραις παραγίνεται Ἰωάννης· καί τοι γε μεταξὺ γέγονεν ἔτη· ἀλλ' ἔθος τῇ γραφῇ τούτῳ κεχρῆσθαι τῆς ἱστορίας τῷ τρόπῳ· οὕτω δὴ καὶ ἐνταῦθα, τὸν μέσον ἅπαντα χρόνον παρελθὼν ἀπὸ τῆς ἁλώσεως τῶν Ἱεροσολύμων ἕως τῶν προοιμίων τῆς συντελείας τοῦ σύμπαντος κόσμου λέγει, τότε ἐάν τις ὑμῖν εἴπῃ ὅτι ὧδε ὁ Χριστός.

v. 28. Πῶς νοητέον τὸ ὅπου τὸ πτῶμα, ἐκεῖ

οἱ ἀετοὶ συναχθήσονται; τοῦτό ἐστιν τὸ πλῆ- XXIV.
θος τῶν ἀγγέλων καὶ τῶν μαρτύρων καὶ τῶν ἁγίων πάντων μετὰ Χριστοῦ εὑρεθήσονται.

v. 29. Εὐθέως δὲ μετὰ τὴν θλίψιν τῶν ἡμερῶν ἐκείνων ὁ ἥλιος μεταστραφήσεται εἰς αἷμα· πότε λέγει μετὰ τὴν τοῦ Ἀντιχρίστου ἔλευσιν.

Καὶ ὁ ἥλιος σκοτισθήσεται· οὐκ ἀφανιζόμενος ἀλλὰ νικώμενος τῷ φωτὶ τῆς παρουσίας αὐτοῦ· τὰ δὲ ἄστρα πεσεῖται ὅτι οὐκ ἔσται αὐτῶν χρεία νυκτὸς οὐκ οὔσης· ἢ μᾶλλον οὐ πεσεῖται ἀλλὰ τῷ φωτὶ ἀμαυρωθήσεται, ὡς νομίζειν πεσεῖν, καθὼς καὶ ὁ ἥλιος.

v. 30. Περὶ ποίου σημείου λέγει ὅτι φανήσεται ἐν τῷ οὐρανῷ; περὶ τοῦ σταυροῦ, ὥστε τοῦ ἡλίου φαιδρότερος ἔσται· φανήσεται δὲ τὴν τῶν Ἰουδαίων ἐπιστομίζων ἄνοιαν.

v. 31. Ἀναστάντων συλλέξουσιν ἄγγελοι· συλλέγοντας δὲ νεφέλαι ἁρπάξουσιν.

v. 34. Περὶ ποίας γενεᾶς εἶπεν ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, ἕως ἂν πάντα ταῦτα γένηται; οὐ περὶ τῆς τότε γενεᾶς ταῦτα λέγει, ἀλλὰ περὶ τῆς τῶν πιστῶν· οἶδεν γὰρ γενεὰν οὐκ ἀπὸ τῆς τῶν χρόνων ἀκολουθίας, ἀλλ' ἀπὸ τῆς τῶν τρόπων θρησκείας χαρακτηρίζειν.

Ποία γενεά; ἡ τῶν πιστῶν δηλονότι· ἵνα γὰρ μή τις εἴπῃ ὅτι σημείων καὶ τεράτων ἐπιδεικνυ-

XXIV. μένων, πάντες κατ' ἐκεινοκαιροῦ ἀπαιτηθήσονται, ἐπήγαγεν οὐ μὴ παρέλθῃ ἡ γενεά· οἷον πολλοί φησιν πιστοὶ καὶ ἀνεξαπάτητοι διαμενοῦσιν καὶ ἐπ' αὐτῆς τῆς συντελείας· ἢ γενεὰ τὸ ἀνθρώπινον γένος, τοῦτ' ἔστιν ὅτι πάντα ἃ εἶπον ἐκβήσεται, καὶ ὄψεται αὐτὰ τὸ ἀνθρώπινον.

v. 35. Πῶς νοεῖται τὸ ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μή; εὐκολώτερον γάρ φησιν ἀφανισθῆναι τὰ πεπηγότα καὶ ἀκίνητα, ἢ τῶν ἐμῶν τί διαπεσεῖν.

v. 36. Ἔστιν τὸ λέγειν ὅτι οἶδεν περὶ τῆς ἡμέρας ἐκείνης οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν, οὐδὲ ὁ υἱὸς εἰ μὴ μόνος ὁ πατήρ· διὰ μὲν τὸ λέγειν ἀγγέλους, ἐπιστομίζει τοῦ μὴ ζητεῖν· διὰ δὲ τοῦ εἰπεῖν οὐδὲ ὁ υἱὸς, κωλύει μὴ δὲ ἐννοεῖν· διὰ τοῦτο μετὰ τὴν ἀνάστασιν λέγει αὐτοῖς· οὐχ ὑμῶν ἐστιν γνῶναι χρόνους ἢ καιροὺς, οὓς ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ ἔθετο ὁ πατήρ· οὐκ ἀγνοεῖ οὖν· πῶς γὰρ δι' οὗ πάντα ἐγένετο, ὃς γινώσκει τὸν πατέρα, καὶ τὰ βάθη τοῦ θεοῦ, καὶ τὰ κρυπτὰ τῶν ἐξεταζομένων; ἀλλ' ἡγεῖται τοῦτο συμφέρον αὐτοῖς.

v. 40. Τότε φησὶν δύο ἔσονται ἐν τῷ ἀγρῷ· ὁ εἷς παραλαμβάνεται, καὶ ὁ εἷς ἀφίεται· ἀγρὸς, ὁ κόσμος· εἷς οὖν σώζεται, εἷς δ' εἰς κόλασιν ἀφίεται· περὶ τῆς ἁλώσεως τοῦτο καὶ τῆς αἰχμαλωσίας αὐτῶν.

v. 41. Δύο ἀλήθουσαι ἐν τῷ μύλῳ· μία παραλαμβάνεται, καὶ μία ἀφίεται· ἀληθούσας ἐκάλεσεν τοὺς ἐν πτωχείᾳ διάγοντας· μία παραλαμβάνεται καὶ μία ἀφίεται· ὁμοίως νοεῖται τοῦ ἀνθρώπου. Ὁ δὲ Λουκᾶς καὶ δύο ἐπὶ τῆς κλίνης λέγει, ὅπερ σημαίνει τοὺς ἐν πλούτῳ· δείκνυται δὲ διὰ τούτου ὅτι καὶ πτωχοὶ καὶ πλούσιοι καὶ δοῦλοι καὶ δεσπόται παραλαμβάνονται καὶ ἀφίενται, εἴτε νοητῶς εἴτε αἰσθητῶς διὰ τὴν ἅλωσιν νοηθείη. XXIV.

v. 42. Διὰ τί οὖν λέγει τὴν ἡμέραν καὶ ὥραν; βουλόμενος πάντως ἐναγωνίους εἶναι.

v. 43. Τί δηλοῖ τὸ, εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ φυλακῇ ὁ κλέπτης ἔρχεται; ἀντὶ τοῦ εἰ ᾔδεισαν φησὶν οἱ πολλοὶ πότε ἀποθανοῦνται, πάντως ἂν κατ' ἐκείνην μόνην τὴν ὥραν ἐσπούδασαν μετανοῆσαι.

v. 45. Εἰπὼν τίς ἄρα ὁ πιστὸς δοῦλος; οὐκ ἀγνοῶν τοῦτο εἶπε, ἀλλ' ἵνα δείξῃ τὸ σπάνιον καὶ πολύτιμον· οὕτως οὖν καὶ τῷ Ἀδὰμ εἰπὼν ποῦ εἶ, οὐκ ἀγνοῶν εἶπεν, ἀλλ' ἵνα αὐτὸν ἐμβάλῃ εἰς ἀπολογίαν. Φρόνιμον καὶ πιστὸν λέγει τὸν δοῦλον ἡ παραβολή· πιστὸν μὲν, ὡς σώζοντα τὸ κεφάλαιον· φρόνιμον δὲ, ὡς κατεργαζόμενον τὸ τάλαντον. Καὶ ἐπὶ τῶν Σοδόμων διὰ τοῦτο εἶπεν, καταβὰς ὄψομαι εἰ κατὰ τὴν κραυ-

XXIV. γὴν αὐτῶν συντελοῦνται· εἰ δὲ μὴ, ἵνα γνῶ· ὅπως ἡμᾶς παιδεύσῃ μή ποτε ἀπόφασιν ἐν πράγματι διδόναι, πρὶν τελείως ἀνακρινόμενον τὰ πράγματα. Ἐπὶ δὲ τοῦ προφήτου διὰ τοῦτο εἶπεν, ἐὰν ἄρα ἀκούσωσιν, καὶ ἐὰν ἄρα συνῶσιν· ἵνα μὴ δόξῃ ἡ πρόῤῥησις παρὰ τοῖς ἀνοήτοις ἀναγκαστική τις εἶναι πρὸς παρακοήν. Ἐν δὲ τῷ εὐαγγελίῳ διὰ τοῦτο εἶπεν, ἴσως ἐντραπήσονται τὸν υἱόν μου, ἵνα δείξῃ ὅτι ὤφειλον τοῦτο ποιῆσαι καὶ ἐντραπῆναι τὸν υἱόν.

v. 47. Τί δηλοῖ τὸ ἐπὶ πᾶσιν τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν; ἀντὶ τοῦ τὴν βασιλείαν τῶν οὐρανῶν παρέξει αὐτῷ.

CAP. XXV.

XXV. v. 1. Ἡ παραβολὴ τῶν παρθένων περὶ ἐλεημοσύνης λέγει· ἀλλ' ἐπὶ τοῦ πιστοῦ δούλου καὶ τοῦ ἀγνώμονος, καθολικώτερον περὶ πάσης ὠφελείας λέγει, ἣν εἰς τὸν πλησίον ἐπιδείκνυσθαι χρή· ἐπὶ δὲ αὐτῆς περὶ ἐλεημοσύνης.

Τί ἐστιν ὃ λέγει ὁ ἀπόστολος, περὶ δὲ τῶν παρθένων ἐπιταγὴν κυρίου οὐκ ἔχω; ἐπαινῶ μὲν γάρ φησιν τὸν κατορθοῦντα, οὐκ ἀναγκάζω δὲ τὸν μὴ βουλόμενον, οὐδὲ ἐπίταγμα τὸ πρᾶγμα ποιῶ.

v. 2. Διὰ τί λέγει μωρὰς τὰς παρθένους τὰς πέντε; διότι τὸν δριμύτερον καὶ πολεμικώτερον τῶν σωμάτων πόλεμον βαστάσαι δυνηθεῖσαι, τὸν κουφότερον τῆς μεταδόσεως τρόπον οὐκ ἐφυλάξαντο· ὅσῳ τὶς εἰς τὸ ἧττον ἥττηται, τοσοῦτο μᾶλλον ἀσύγγνωστος· διὰ τοῦτο οὖν μωραί· εἰ δὲ αὗται μωραὶ, οἱ μὴ δὲ παρθενίαν φυλάξαντες καὶ πλεονεξίᾳ κεκραμένοι, τί κληθήσονται καὶ πείσονται; XXV.

v. 3. Αἱ λαμπάδες οὖν σημαίνουσι τῆς παρθενίας τὸ λαμπρόν· τὸ ἔλεον, τὴν ἐλεημοσύνην· τὸ δὲ χρονίζειν τὸν νυμφίον, τὸν οὐκ ὀλίγον χρόνον εἰς τὸ φανῆναι· τὸ δὲ καθεύδειν, τὸν θάνατον· τὸ δὲ περὶ μέσας νύκτας, ἢ ὅτι ἐν νυκτὶ ἡ ἀνάστασις, ἢ ὅτι ἀπροοράτως καὶ ἀγνώστως· τὸ δὲ αἰτῆσαι παρὰ τῶν φρονίμων καὶ μὴ λαβεῖν ἔλεον, ὅτι οὐδεὶς τῶν δικαίων ἐκεῖ τότε προστῆναι τινὸς δύναται ἢ βοηθῆσαι.

v. 9. Τί ἐστιν τὸ πορεύεσθε καὶ ἀγοράσατε; τοῦτο εἶπεν τῇ παραβολῇ παραμένων, καὶ ὑφαίνων αὐτήν· ἢ εἰρωνικῶς νοητέον ὅτε φησὶν οὐκ ἔστιν.

v. 14. Καί ἔλλειψιν περιοδικὴν εἴρηται· λείπει γὰρ οὕτως· καὶ ὁ κύριος ἐπιτελέσει· ἢ ἡ παραβολὴ οὐ πρὸς ἀνταπόδοσιν, ἀλλ' ὡς αὐτοτελὴς καὶ τοῦ προηγουμένου ῥητοῦ αἰτία εἴρηται·

XXV. οἷον οὐκ οἴδατε τὴν ἡμέραν, οὐδὲ τὴν ὥραν ἐν ᾗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται· διὰ τί; ὥσπερ γὰρ ἄνθρωπος ἀποδημῶν, οὕτως ἔρχεται· ἀπὸ κοινοῦ γὰρ τὸ ἔρχεται· τὸ αἰφνίδιον δὲ διὰ τοῦτο παρίστησιν τῆς παρουσίας αὐτοῦ· εἶτα ἐξυφαίνει τὸ παράδειγμα, ὃς ἐκάλεσε φησὶν τοὺς ἰδίους δούλους, καὶ ἑξῆς· ἔστι δὲ καὶ χωρὶς τοῦ ἀπὸ κοινοῦ τὸ ῥητὸν ὡς ἔχει φράσεως ἐκλαβεῖν· οἷον γρηγορεῖτε οὖν ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν ἐν ᾗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται· διὰ τί; ὥσπερ γὰρ ἄνθρωπος ἀποδημῶν ἐκάλεσεν τοὺς ἰδίους δούλους καὶ παρέδωκεν αὐτοῖς τὰ ὑπάρχοντα αὐτοῦ· καὶ γὰρ ὑπὸ στιγμῆς μὲν κατὰ τὴν ἀνάγνωσιν παραλαμβανομένης ἐν τῷ ἀποδημῶν, τελείας δὲ ἐν τῷ αὐτοῦ, ἀβίαστος ὁ νοῦς καὶ ἡ τοῦ λόγου σύνταξις.

v. 15. Διὰ τί λέγει ὅτι παραδοὺς τὰ τάλαντα τοῖς δούλοις ἀπεδήμησε; ἢ τὴν μακροθυμίαν ἐνδεικνύμενος, ἢν τὸν παρατεταμένον καιρὸν, μέχρι τῆς ἀναστάσεως· τάλαντον οὖν ἡ ἑκάστου δύναμις ἣν ἔλαβε παρὰ θεοῦ· τὸ δὲ ἔδει σε καταβαλεῖν τὸ τάλαντόν μου, τοῦτο λέγει, τὸ εἰπεῖν καὶ παραινέσαι καὶ συμβουλεῦσαι ἢ συμβουλευθῆναι ἢ παραινεθῆναι· ἀργύριον δὲ καλεῖ τὰ λόγια· τραπεζίτας δὲ τοὺς ἀκούοντας· τόκον δὲ τὴν τῶν ἔργων ἐπίδειξιν καὶ ἐργασίαν.

ἐπὶ τὸ κρεῖττον· ἀρθῆναι δὲ κελεύει τὸ δοθὲν XXV.
τάλαντον, τοῦτ' ἔστιν τὸ χάρισμα ἀπ' αὐτοῦ,
καὶ προστεθῆναι τῷ ἔχοντι· λέγει δὲ περὶ διδασκάλων ὡς ἐπὶ τὸ πολύ.

v. 33. Διὰ τί ἐρίφους τοὺς ἁμαρτωλοὺς, πρόβατα δὲ τοὺς δικαίους λέγει; ὅτι ἐξ ἐρίφων πρόσοδος οὐδεμία, ἐκ δὲ προβάτων πολλὴ, ἐξ ἐρίου, ἐκ τοκετῶν, ἐκ γάλακτος, ἐκ τυροῦ· ἀλλὰ τὰ μὲν ἄλογα, ἀπὸ φύσεως· ἡμεῖς δὲ, ἐκ προαιρέσεως.

v. 34. Κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν· οὐκ εἶπεν λάβετε, ἀλλ' ὡς πατρῷα καὶ ὑμῶν ἤδη ὄντα κληρονομήσατε.

v. 41. Τὴν ἐλεημοσύνην λέγει, ὅτι οὐκ ἐδώκατέ μοι φαγεῖν· καὶ οὐ τοῦτο μόνον εἶχον, ἀλλ' οὐδὲ γυμνὸν περιέβαλον· καὶ ὃ κουφότερον ἦν, οὐδὲ ἄῤῥωστον ἐπεσκέψαντο.

CAP. XXVI.

v. 3. Τί ἔστιν τὸ συνήχθησαν οἱ ἀρχιερεῖς; XXVI.
ἔδειξεν ὅτι τὰ ἰουδαϊκὰ ἀρχὴν ἐλάμβανεν διαλύεσθαι· ὁ μὲν γὰρ Μωσῆς ἕνα εἶναι ἀρχιερέα ἐκέλευσεν· καὶ τελευτήσαντος, τότε ἕτερον γίνεσθαι· τότε δὲ πολλοὶ ἦσαν ἀρχιερεῖς· ἐνιαύσιοι γὰρ ἐγίνοντο· καὶ τοῦτο σαφέστερον δηλοῖ Λου-

XXVI. κᾶς, ἐξ ἐφημερίας αὐτὸν εἶναι Ἀβιᾶ λέγων, περὶ τοῦ Ζαχαρίου διαλεγόμενος.

v. 5: Τί λέγουσιν μὴ ἐν τῇ ἑορτῇ, ἵνα μὴ θόρυβος γένηται ἐν τῷ λαῷ; ἐδεδοίκησαν γὰρ τὸν λαὸν ὅτι πίστιν εἶχον εἰς Χριστόν· διὸ καὶ τὴν ἑορτὴν ἀνέμενον παρελθεῖν.

v. 6. Διὰ τί ἐν οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ τοῦτο μνημονεύει γενέσθαι; ἵνα δείξῃ πόθεν παροῦσα ἡ γυνὴ τῷ Χριστῷ προσῆλθεν, ἐκ τοῦ ἐκεῖνον ἰαθῆναι ποτὲ καὶ τὴν φήμην εἶναι.

v. 7. Ἡ γυνὴ αὕτη δοκεῖ μὲν εἶναι μία καὶ ἡ αὐτὴ παρὰ τοῖς εὐαγγελισταῖς ἅπασιν, οὐκ ἔστι δέ· ἀλλ' ἡ παρὰ μὲν τοῖς τρισὶ, μία τις εἶναι μοι δοκεῖ καὶ ἡ αὐτή· οὐκέτι δὲ καὶ παρὰ τῷ Ἰωάννῃ ἐστὶν ἡ αὐτὴ, ἀλλ' ἑτέρα τίς θαυμαστὴ ἡ τοῦ Λαζάρου ἀδελφή.

Διὰ τί οὐ δημοσίᾳ ἀλλ' ἐν οἰκίᾳ ἔρχεται ἡ πόρνη; ἐπειδὴ αἰσχροτάτη ἦν καὶ ᾐσχύνετο ἐπὶ ὄχλου· οὐ γὰρ ὡς ἡ αἱμόῤῥους, ἢ ὡς ἡ χήρα, ἢ ὡς ἡ Μάρθα ἀπαντᾷ.

Διὰ τί ταῖς θριξὶν ἀπέμασσεν; ἐπειδὴ πλέον ἢ κατὰ ἄνθρωπον αὐτὸν ἐτίμα· ὃ τιμιώτερον εἶχε προσφέρουσα τὴν ἑαυτῆς κεφαλὴν ἀντὶ σινδόνος.

v. 8. Διὰ τί ἀγανακτοῦσιν οἱ μαθηταὶ λέγοντες εἰς τί ἡ ἀπώλεια αὕτη; ἐπειδὴ περὶ ἐλεη-

μοσύνης ἤκουσε πολλά· συνεχώρησε δὲ καὶ κα- XXVI.
τὰ τῆς κεφαλῆς αὐτοῦ χεθῆναι τὸ μῦρον, ἀπὸ πολλῆς συγκαταβάσεως.

v. 10. Διὰ τί λέγουσιν αὐτοῖς τὸ ἐδύνατο, ἐπετίμησεν αὐτοῖς; ἵνα μὴ τῆς γυναικὸς τὴν σπουδὴν καὶ τὴν πίστιν εἰς τὸ ἐξαπορηθῆναι ἐμβάλωσιν.

v. 13. Διὰ τί οὐδένα ἆθλον πνευματικὸν τέθεικε, ἀλλὰ τὴν εἰς ἀεὶ μνήμην; ἐπειδὴ ἤρκει τοῦτο καὶ περὶ ἐκείνων πεῖσαι θαῤῥεῖν αὐτήν· ἔργον καλὸν εἰργάσατο ὡς εἶπεν Χριστός· εὔδηλον ὅτι καὶ μισθὸν ἄξιον λήψεται.

Τὸ δὲ εἰπεῖν εἰς τὸν ἐνταφιασμόν μου ἐποίησεν, τοῦτο εἶπεν προλέγων τὸ πάθος, ὡς πάντως εἰδὼς καὶ τοῦτο ἀναμιμνήσκων αὐτοῖς.

v. 14. Τίνος χάριν εἶπεν τότε πορευθεὶς Ἰούδας εἷς τῶν δώδεκα ὁ λεγόμενος ἰσκαριώτης; ἵνα δείξῃ ὅτι οὐδὲ ἡ πίστις τῆς γυναικὸς ἔκαμψεν αὐτόν· δώδεκα εἶπεν, ἵνα δείξῃ ὅτι ἐκ τῶν κορυφαίων ἦν· Ἰούδαν δὲ ἰσκαριώτην εἶπεν, ἐπεὶ καὶ ἄλλος ἦν Ἰούδας· διὰ οὖν τῆς ἐπωνυμίας χωρίζει αὐτὸν, ἵνα μὴ δόξῃ ἐκεῖνος εἶναι· χρὴ δὲ εἰδέναι, καὶ αὐτομάτῳ κινήσει τοῦτο ποιεῖ καὶ χρυσίου ὀλίγου.

v. 17. Πρώτην τῶν ἀζύμων τὴν πρὸ τῶν ἀζύμων φησίν· εἰώθασι γὰρ ἀπὸ τῆς ἑσπέρας ἀεὶ

XXVI. ἀριθμεῖν τὴν ἡμέραν, καὶ ταύτης μνημονεύειν, καθ' ἣν ἐν τῇ ἑσπέρᾳ τὸ πάσχα ἔμελλεν θύεσθαι· τῇ γὰρ πέμπτῃ τῶν σαββάτων προσῆλθον· καὶ ταύτην ὁ μὲν τὴν πρὸ τῶν ἀζύμων καλεῖ, τὸν καιρὸν λέγων καθ' ὃν προσῆλθον· ὁ δὲ οὕτω λέγει· ἦλθεν δὲ ἡ ἡμέρα τῶν ἀζύμων, ἐν ᾗ ἔδει ἔρχεσθαι τὸ πάσχα· ὁ δὲ ἄλλος εὐαγγελιστὴς τὴν ἑσπέραν λέγει· ἀπὸ γὰρ τῆς ἑσπέρας ἤρχετο τὸ πάσχα.

Διὰ τί ἐρωτῶσι ποῦ ποιήσουσιν τὸ πάσχα; διὰ τὸ μὴ ἔχειν αὐτὸν καταγώγιον μήτε οἰκίαν.

Διὰ τί ἐπιτελεῖ τὸ πάσχα; ἵνα δείξῃ ὅτι μὴ ὑπεναντίος τῷ νόμῳ ἐστίν.

v. 18. Διὰ τί πρὸς ἄγνωστον πέμπει ἄνθρωπον; δεικνὺς ὅτι πάντα ὑπακούει· καὶ εἰ ἤθελεν, οὐδὲ ἔπαθεν· ἄνω γὰρ τὴν διάνοιαν τοῦ μὴ γνωρίζοντος πείσας ὥσπερ καὶ τοῦ κυρίου τῆς ὄνου, πῶς οὐκ ἂν τοὺς σταυρωτὰς ἔπεισεν εἰ ἐβούλετο; ἐγὼ δὲ οὐ θαυμάζω μόνον ὅτι ἄγνωστος ὢν ὑπεδέξατο, ἀλλ' ὅτι καὶ κίνδυνον ὑφορώμενος κατεφρόνησε· σημεῖον δὲ αὐτοῖς δίδωσι τὸν τὸ κεράμιον βαστάζοντα, ἐπειδὴ τὸν τόπον ἠγνόουν.

Τὸ ῥίψον τὰ χήματα, οὐ κελεύοντός ἐστιν, ἀλλὰ συμβούλου ὄντος.

Ὁ πορνεύσας πρὸ νόμου καὶ ἐν νόμῳ καὶ με-

τὰ νόμον, πολλὴν ἔχει τὴν διαφορὰν καὶ τοῦ XXVI.
ἁμαρτήματος καὶ κατακρίματος· ἐπόρνευσέν τις
ἱερεὺς ὤν· ἐπόρνευσέν τινος ἱερέως θυγάτηρ· ἡ
μὲν ἀνῄρητο, ἡ δὲ κατεπρήθετο· οὐ μόνον ὡς
πλέον οἶμαι διδαχθεῖσα, ἀλλὰ καὶ τὸν ἱερέα
δεικνύσα ὅση ἡ κατάκρισις, μᾶλλον εἰ ἐκεῖνος
πορνεύσειεν· ἐπορνεύθη τίς βιαίως, ἐπορνεύθη τίς
πλουσία, πενομένη, πολὺ τὸ διάφορον· ἐπόρνευσέν τις ἀβάπτιστος, βεβαπτισμένος, πολὺ τὸ
μέσον τούτων.

v. 21. Διὰ τί εἶπεν εἷς ἐξ ὑμῶν παραδώσει με; βουλόμενος αὐτὸν μὴ αἰσχυνθέντα καὶ απογνόντα ὡς ἤδη νοηθέντα μετανοῆσαι καὶ διασῶσαι αὐτόν· καὶ διὰ τί αὐτὸν ἐξεκάλυψεν; ἐπειδὴ ἔλεγον μή τι ἐγώ εἰμι κύριε, καὶ ἀπετεθνήκεσαν τῷ δέει· ἵνα μὴ τῇ περισσοτέρᾳ λύπῃ καταποθῶσιν.

v. 23. Τίνος ἕνεκεν μετ' αὐτοῦ ἔβαπτεν ὁ προδότης; ἀπὸ πολλῆς ἰταμότητος· οὐδὲ γὰρ λοιπὸν ἐτίμα τὸν διδάσκαλον. Χριστὸς δὲ ἐκαρτέρει λανθάνειν βουλόμενος, ἵνα διὰ τούτου ἐπιστρέψῃ αὐτόν· ἢ καὶ ἡμᾶς παιδεύων μακροθυμεῖν πρὸς ἀναισχυντοῦντας.

v. 24. Διὰ τί λέγει, ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει καθὼς γέγραπται περὶ αὐτοῦ; προσέθηκεν τὸ γέγραπται, ἵνα μὴ νομίσωσιν ἀσθέ-

XXVI. νειαν εἶναι τὸ πρᾶγμα· ἔτι δὲ καὶ τὸν προδότην διορθούμενος· ἵνα νομίσας ἀποκείμενον αὐτῷ τὸ παθεῖν ὡς μὴ τὸ πᾶν πταίσας, αὐτὸς καμφθῇ πρὸς μετάνοιαν.

v. 25. Ποίῳ σκοπῷ λέγει Ἰούδας τὸ μήτι ἐγώ εἰμι; ἀναισχύντῳ καὶ ὑπόπτῳ συνειδήσει τυπτόμενος.

Διὰ τί οὕτως εἶπεν Χριστὸς, σὺ εἶπας, ἀλλ' οὐχὶ ὦ μιαρὲ καὶ ἀχάριστε; ἀνεξικακίας ὅρους ἡμῖν τιθείς.

Διὰ τί ἐγκαλεῖται Ἰούδας, τὰ γεγραμμένα παρὰ προφητῶν ποιήσας; ἐπειδὴ οὐ ταύτῃ τῇ γνώμῃ τοῦτο πεποίηκεν, ἀλλὰ πονηρᾷ προαιρέσει· χρὴ γὰρ τὸν σκοπὸν ἐξετάζειν πανταχοῦ.

Διὰ τί οὐκ ἐρωτᾷ ἐξ ἀρχῆς ὁ Ἰούδας μή τι ἐγώ εἰμι, ἀλλ' ὡς ἔσχατος; ἐδόκει τέως λανθάνειν· τὸ δὲ εἰπεῖν ὦ διδάσκαλε, διασύροντος τοῦτό ἐστι καὶ ἰταμοῦ.

Πῶς ὁ Ματθαῖος φησὶν καὶ οἱ ἄλλοι τῶν εὐαγγελιστῶν, ὅτι ὅτε συνετάξατο περὶ τῆς προδοσίας ὁ Ἰούδας, τότε αὐτὸν ὁ διάβολος εἷλεν; ὁ δὲ Ἰωάννης λέγει ὅτι μετὰ τὸ ψώμιον εἰσῆλθεν εἰς αὐτὸν ὁ σατανᾶς; ὅτι διακωδωνίσας αὐτὸν ἐν τῇ ἀρχῇ καὶ πεῖραν ποιησάμενος, οὕτω τελείως εἰσῆλθεν· ὥστε τὰ ἀμφότερα ἀληθῆ ἐστιν.

Τοσοῦτον ἦν ἀμεταμέλητος ὁ Ἰούδας, ὅτι καὶ

τῆς κοινωνίας μεταλαχὼν ἔμεινεν ἀσυνείδητος· XXVI.
ὅθεν τοῦτο δηλῶν ὁ Λουκᾶς ἔλεγεν, ὅτι μετὰ τὸ ψώμιον εἰσῆλθεν εἰς αὐτὸν ὁ σατανᾶς.

Διὰ τί εἰ τὸ πάσχα ἤσθιον, παρανόμως ἤσθιον; οὐ γὰρ ἀνακειμένους ἔδει φαγεῖν· ἀλλ' οὐκ ἐν τῷ ἐσθίειν τὸ πάσχα ἀνέκειντο, ἀλλὰ μετὰ τὸ φαγεῖν αὐτὸν λοιπὸν ἑστιώμενοι.

v. 26. Διὰ τί ἐν τῷ πάσχα κλᾷ τὸν ἄρτον; ἵνα μάθωμεν καὶ τῆς παλαιᾶς αὐτὸν ὄντα νομοθέτην, καὶ τὰ ἐν τῇ χάριτι διὰ νόμου σκιαγραφηθέντα.

v. 27. Μετὰ τὸ φαγεῖν τὸ νομικὸν πάσχα εἴτουν τὸν ἀμνὸν, οὕτω παραδίδωσι τὸ τῆς χάριτος πάσχα διὰ τοῦ ἄρτου.

v. 28. Αἷμα δὲ καινῆς διαθήκης λέγει, ὡς τῆς παλαιᾶς αἷμα μὲν ἐχούσης ἀλλ' ἐξ ἀλόγων· λέγει δὲ καὶ τὴν αἰτίαν τῆς κενώσεως τοῦ αἵματος· ὑπὲρ πολλῶν φησὶν ἁμαρτωλῶν ἐκχυνόμενον.

Διὰ τί λέγει, τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν; ὡς ἐκεῖνο φησὶν εἰς τὴν τῆς Αἰγύπτου μνήμην καὶ ἔξοδον, οὕτω νῦν εἰς τὸν ἐμὸν θάνατον, καὶ τὴν ὑμῶν δι' ἐμοῦ ἐκ πλάνης ἔξοδον.

v. 29. Πῶς νοεῖται τὸ ἀπάρτι οὐ μὴ πίω ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου ταύτης, ἕως αὐτὸ πίνω κενὸν ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου; δη-

XXVI. λοῖ δὲ τὴν βασιλείαν τοῦ πατρὸς τὴν ἑαυτοῦ ἀνάστασιν· γένημα δὲ τῆς ἀμπέλου, τὸ οἶνον· ἕως οὗ φησὶν ἐκ νεκρῶν ἀναστῶ, οὐ μὴ πίω· ἔπιεν δὲ μετὰ τὴν ἀνάστασιν, ἵνα μὴ φάντασμα αὐτὸν νομίσωσιν· ὅθεν καὶ ἐν πράξεσι γράφει, οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ.

Βασιλείαν πατρὸς ἐνταῦθα τὴν ἀνάστασιν αὐτοῦ ὁ δεσπότης καλεῖ· καινὸν δὲ ποιεῖν τὸ ποτήριον, τοῦτ' ἔστι καινῶς καὶ παραδόξως· οὐ γὰρ ὡς πρότερον τοῦ σώματος βρώσεως δεομένου κατὰ φύσιν καὶ πόσεως, ἀλλ' ὑπερφυῶς ἀφθαρτισθέντος ἤδη καὶ μηδενὸς δεομένου τὸ σύνολον.

v. 30. Διὰ τί τὸ, ὑμνήσαντες δὲ ἐξῆλθον κεῖται; ἀντὶ τοῦ μετ' εὐχαριστίας καὶ δοξολογίας ἔλαβον τὴν κοινωνίαν.

Διὰ τί εἰς τὸ ὄρος ἐξῆλθεν; ἵνα μὴ δόξῃ κρύπτεσθαι· ἔσπευδεν γὰρ ἐπὶ τὸν τόπον ἐλθεῖν τὸν καὶ Ἰούδᾳ γνώριμον.

v. 31. Διὰ τί λέγει τὸ πάντες σκανδαλισθήσεσθε ἐν ἐμοί; ὁμοῦ μὲν καὶ τὴν πρόγνωσιν δηλῶν, ὁμοῦ δὲ καὶ τοὺς σκανδαλισθησομένους ἐννοῶν.

v. 32. Διὰ τί λέγει ὅτι ὄψομαι ὑμᾶς εἰς τὴν Γαλιλαίαν; ἵνα τοῦ φόβου ἀπαλλάξῃ· μακρὰν γὰρ τῶν ἰουδαίων ἦν ἡ Γαλιλαία.

v. 34. Διὰ τί ἀφίησιν τὸν Πέτρον πεσεῖν; ἵνα μὴ αὐθάδης εἴη, μὴ δὲ αὐτῷ θαῤῥῶν, ἀλλὰ διὰ τὴν ἀνθρωπίνην ἀσθένειαν καὶ οἱ ἄλλοι ἰδόντες παύσονται θαῤῥεῖν ἑαυτοῖς· καὶ ἵνα συγχωρηθεὶς ὡς ἀπόστολος τοῖς πταίσασι συγχωρήσῃ· διὰ τοῦτο οὖν τῆς ἄνωθεν ῥοπῆς ἐγυμνώθη, τὴν φύσιν αὐτοῦ ἐλέγχοντος τοῦ θεοῦ. XXVI.

v. 36. Διὰ τί εὔχεται χωρὶς τῶν μαθητῶν; κατ' ἰδίαν εὔχεσθαι ἡμᾶς διδάσκων.

v. 37. Διὰ τί τοὺς τρεῖς μόνους παραλαμβάνει τότε; ὡς τῆς δόξης αὐτοῦ θεωρούς· καὶ ἵνα οἱ ἄλλοι ὡς ἀτελέστεροι μὴ καταπέσωσιν.

v. 39. Ἕνεκεν τίνος εὔχεται; ἵνα μὴ ὑπόκρισις εἶναι δοκῇ τὸ πρᾶγμα· ἐπιῤῥέουσι δ' ἱδρῶτες δι' αὐτὴν ταύτην τὴν αἰτίαν.

v. 41. Διὰ τί λέγει προσεύχεσθε ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν; παιδεύων μὴ ἀπαυθαδιάζεσθαι, ἀλλὰ συντετρίφθαι τὴν διάνοιαν.

v. 42. Τρίτη εὐχὴ τὸ γενηθήτω τὸ θέλημά σου· δεικνὺς ὅτι σφόδρα συνᾴδει τῷ θελήματι τοῦ θεοῦ, καὶ ὅτι πανταχοῦ τούτῳ ἕπεσθαι δεῖ καὶ ἐπιζητεῖν.

Προσηύξατο τρίτον, δεικνὺς ὅτι ἄνθρωπός ἐστιν· τὸ γὰρ δεύτερον καὶ τρίτον ἐν τῇ γραφῇ βεβαιώσεώς ἐστι δεικτικόν.

v. 43. Διὰ τί ἦλθεν ἐκ δευτέρου πρὸς αὐ-

XXVI. τούς; καὶ ἀγωνιῶν ὡς ἄνθρωπος περὶ τοῦ θανάτου, καὶ ἐλέγξαι αὐτοὺς βουλόμενος· ὅτι οὕτως κατεβαπτίσθησαν, ὡς μὴ δὲ τῆς παρουσίας αὐτοῦ αἴσθεσθαι. Διὰ τί δὲ οὐ διυπνίζει αὐτούς; ὡς μὴ πλῆξαι πεπληγότας.

v. 45. Διὰ τί λέγει ὅτι καθεύδετε λοιπὸν καὶ ἀναπαύεσθε; καὶ μὴν τότε γρηγορῆσαι ἔδει· ἀλλὰ δεικνὺς ὅτι οὐκ οἴσουσιν οὐδὲ τὴν ὄψιν· καὶ ὅτι δεῖ πάντως ἤδη αὐτὸν παραδοθῆναι, τοῦτο φησίν.

v. 46. Διὰ τί λέγει ἐγείρεσθε ἄγωμεν ἐντεῦθεν, ἰδοὺ ἤγγικεν ὁ παραδιδούς με; ἵνα δείξῃ ὡς οὐκ ἔφευγεν, ἀλλὰ μᾶλλον προσέτρεχεν αὐτῷ· ἵνα μάθωσιν ὡς οὐκ ἀσθένεια, ἀλλ' οἰκονομίας ἦν τὸ ὅλον· ἢ ἀπὸ γῆς εἰς οὐρανὸν λέγων καὶ τοὺς τότε καὶ τοὺς νῦν ἐγείρεσθαι.

v. 47. Τὸ μετὰ μαχαιρῶν καὶ ξύλων εἶπεν ἐλθεῖν ἀπὸ τῶν ἱερέων, διδάσκων ὡς τοιαῦτα ἦν τὰ ἱερατικὰ αὐτῶν σκεύη καὶ κωμῳδῶν αὐτούς.

v. 48. Διὰ τί σημεῖον δέδωκεν ὁ προδότης; διότι πολλάκις κατασχεθεὶς, διῆλθεν διὰ μέσου αὐτῶν.

v. 50. Διὰ τί εἶπεν ἑταῖρε ἐφ' ᾧ πάρει; τὸ μὲν ἑταῖρε εἶπεν, ὥστε ἐντρέψαι αὐτόν· τὸ δὲ ἐφ' ᾧ πάρει, ὅτι οὐχὶ ἀγάπης σκοπῷ τοῦτο δρᾷς ἀλλὰ πονηρᾷ γνώμῃ.

v. 51. Πόθεν εἶχεν μάχαιραν Πέτρος; ἀπὸ τοῦ δείπνου τοῦ νομικοῦ· ἀρνίον γὰρ ἔφαγε. XXVI.

v. 52. Τίνος χάριν εἶπεν ὅτι πάντες οἱ λαβόντες μάχαιραν, ἐν μαχαίρᾳ ἀποθανοῦνται; τοὺς μαθητὰς παραμυθούμενος τῇ τιμωρίᾳ τῶν ἐπιβουλευόντων· ἐγὼ δὲ λέγω ὅτι καὶ πολλοὶ τοῦτο πάσχουσιν οἱ δρῶντες· εἰ δὲ τὸ πάντες πρόσκειται, ἀντὶ τοῦ οἱ πολλοὶ χρὴ νοεῖν· καὶ οἱ ἔξω γὰρ, οἰωνοῖσί τε πᾶσι λέγοντες, ἀντὶ Homerus.
τοῦ πολλοῖς νοοῦσιν αὐτό.

v. 57. Πρὸς Καϊάφαν αὐτὸν ἀπήγαγον, ἐπειδὴ ἐκεῖνος ἦν ἱερεύς· οὕτω δὲ ἐνυκτέρευον καὶ ἠγρύπνουν ἐπὶ τούτῳ, ὡς μὴ φαγεῖν τότε τὸ πάσχα ἀλλ' ἐν ἑτέρᾳ ἡμέρᾳ· διὸ καὶ ἐν τούτῳ τὸν νόμον ἔλυσαν δι' ἐπιθυμίαν σφαγῆς· εἶπεν γὰρ ὁ Ἰωάννης ὅτι πρωΐα ἦν, καὶ ἐπήγαγεν οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον ἵνα μὴ μιανθῶσιν ἀλλ' ἵνα φάγωσιν τὸ πάσχα· οὐ γὰρ ἂν ὁ Χριστὸς παρέβη τὸν νόμον φαγὼν αὐτὸ τῇ ἑσπέρᾳ πρὸ τοῦ δέοντος.

v. 60. Πῶς εἰσὶ ψευδομάρτυρες οἱ κατὰ Χριστοῦ, ἀπὸ τοῦ λέγειν αὐτοὺς δύναμαι καταλῦσαι τὸν ναὸν τοῦ θεοῦ; οὐ γὰρ εἶπεν οὕτως, ἀλλὰ λύσατε τὸν ναὸν τοῦτον· οὔτε δὲ πάλιν περὶ τοῦ ναοῦ εἶπεν, ἀλλὰ περὶ τοῦ σώματος αὐτοῦ· ὁ δὲ μαρτυρῶν τὸν νοῦν τοῦ λεγομένου ῥητοῦ εἰδέναι θέλει.

XXVI. v. 63. Διὰ τί ἐσιώπα ὑπὸ τοῦ ἀρχιέρεως ἐρωτώμενος; ὅτι ἀνόητα ἦν τὰ τῆς κρίσεως, οὐδενὸς ἀκούοντος ἄλλου κριτοῦ ἢ συγκριτοῦ· καὶ γὰρ τὸ μὲν σχῆμα δικαστηρίου ἦν μόνον, ὁ δὲ τρόπος λῃστῶν.

v. 65. Διέῤῥηξεν τὰ ἱμάτια αὐτοῦ, σφοδροτέραν τὴν κατηγορίαν ποιῶν, καὶ μέγα κακὸν δεῖξαι βουλόμενος τὸ εἰρημένον· γίνονται οὖν αὐτοὶ καταδικάζοντες, αὐτοὶ κρίνοντες, αὐτοὶ ψηφιζόμενοι, πάντα αὐτοὶ γινόμενοι.

v. 66. Διὰ τί λάθρα οὐκ ἀνεῖλον αὐτόν; ἐπειδὴ ἐβούλοντο καὶ τὴν δόξαν αὐτοῦ διαβαλεῖν· ὅτι δὲ ἐξουσίαν εἶχον καὶ αὐτοὶ μόνοι αὐτὸν ἀνελεῖν, ἄκουσον τί Πιλάτος λέγει, λάβετε αὐτὸν καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε αὐτόν.

v. 67. Διὰ τί ἀναιρεῖν μέλλοντες αὐτὸν, ἐνέπτυον εἰς τὸ πρόσωπον αὐτοῦ; διὰ τὸν ἀκόλαστον τρόπον αὐτῶν καὶ τὸν πολὺν φθόνον.

v. 68. Παίοντες ἔλεγον προφήτευσον ἡμῖν τίς ἐστιν ὁ παίσας σε· τοῦτο δὲ ἐποίουν διὰ τὸ λέγεσθαι αὐτὸν προφήτην· ἕτερος δὲ τῶν εὐαγγελιστῶν φησὶν ὅτι περιβάλλοντες τὸ πρόσωπον αὐτοῦ τῷ ἱματίῳ, ταῦτα ἐποίουν.

v. 74. Πῶς ὁ μὲν Ματθαῖος φησὶν ὅτι εἶπεν ὁ Χριστὸς τῷ Πέτρῳ, πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με; ὁ δὲ Μάρκος λέγει ὅτι ὅτε

ἅπαξ ἠρνήσατο, τότε πρῶτον ἐφώνησε ὁ ἀλεκ- XXVI.
τρύων· ὅτε δὲ τρίτον, τὸ δεύτερον· πῶς οὖν εὑρεθήσονται ἀληθῆ ἀμφότερα; ἐπειδὴ καθ' ἑκάστην ἀγωγὴν καὶ τρίτον καὶ τέταρτον φωνεῖν εἴωθεν ὁ ἀλεκτρύων, δηλῶν ὁ Μάρκος ὅτι οὐδὲ ἡ φωνὴ αὐτὸν ἀπέσχεν, καὶ εἰς μνήμην ἤγαγε τοῦτο φησίν· τοσοῦτον δὲ ἦν ἀποτεθνηκὼς τῷ δέει, ὅτι οὐδὲ ἐμνήσθη τοῦ λεχθέντος· καὶ τοῦτο ὁ Λουκᾶς δηλῶν, ὅτι ἐνέβλεψεν εἰς αὐτὸν ὁ Χριστὸς, εἶπεν.

v. 75. Διὰ τί λέγει, ὅτι ἐξελθὼν ἔξω ἔκλαυσεν πικρῶς; ἐπειδὴ φανερῶς οὐκ ἐτόλμα κλαῦσαι, ἵνα μὴ κατηγορηθῇ ὡς μαθητής.

C A P. XXVII.

v. 3. Διὰ τί ἀπέστρεψεν τὰ ἀργύρια; ἐπει- XXVII.
δὴ οὐκ ἔφερεν τὸ συνειδὸς μαστίζον αὐτόν.

v. 4. Τὸ εἰπεῖν τοὺς ἀρχιερεῖς καὶ τοὺς πρεσβυτέρους σὺ ὄψει, μέγιστον αὐτοῖς ἔγκλημα καὶ τοῦτο· φαίνονται γὰρ μαρτυροῦντες τῇ τόλμῃ· καὶ κατακρίνουσι μὲν τὸν Ἰούδαν, ὑπὸ δὲ τοῦ πάθους οὐκ ἀναχαιτίζονται· κατακρίνονται δὲ καὶ ἐκ τοῦ μὴ βαλεῖν αὐτὰ εἰς τὸν κορβωνᾶν, ἀλλ' ἀγοράσαι τόπον εἰς ταφὴν τῶν ξένων, ἀπὸ φόνου εὐποιΐαν ποιοῦντες· ὃς ἀγρὸς κηρύττει ἀεὶ τὸ πρᾶγμα ἐλέγχων αὐτούς.

XXVII. v. 5. Διὰ τί οὖν ἀῤῥάμενος ὡς μὴ μετανοήσας νομίζεται; ὅτι προεξήγαγεν αὐτὸν τῆς μετανοίας, ἵνα μηδὲν ἐντεῦθεν καρπώσηται.

v. 11. Διὰ τί οὐ λέγουσιν τῷ Πιλάτῳ ὅσα οἱ μάρτυρες εἶπον, ἀλλ᾿ εἰς δημόσια ἐγκλήματα τὴν κατηγορίαν ποιοῦσιν; ἐπειδὴ ἐγίνωσκον ὡς ὁ Πιλάτος οὐδὲν ἔχει τὰ νόμιμα αὐτῶν.

Ὁ Χριστὸς ἐρωτηθεὶς εἰ σὺ ὁ βασιλεὺς τῶν ἰουδαίων, εἶπεν σὺ εἶπας; διὰ τοῦ εἰπεῖν σὺ εἶπας, ὡμολόγησεν εἶναι βασιλεὺς, ἀλλ᾿ ἐπουράνιος· ὃ καὶ ἀλλαχοῦ σαφέστερον ἔλεγεν πρὸς αὐτοὺς, ὅτι ἡ ἐμὴ βασιλεία οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου.

v. 12. Βραχέα ἀποκρίνεται, καὶ πάλιν σιγᾷ· ἀπὸ γὰρ τῆς παντελοῦς σιγῆς δόξαν αὐθαδείας δέξασθαι εἶχεν· ἐκ δὲ τοῦ πολλὰ λέγειν, οὐ πεῖσαι αὐτοὺς ἔμελλεν· ἐτύφλωττον γὰρ ἑκόντες.

v. 13. Διὰ τί οὐκ εἶπεν ὅτι φόρους δέδωκα, καὶ ἑτέρους καταβαλέσθαι ἐκέλευσα, καὶ ἡνίκα ἤθελόν με ποιῆσαι βασιλέα, ἔφυγον; ὅτι διεφθαρμένον ἦν αὐτῶν τὸ δικαστήριον.

v. 14. Ὁ Πιλάτος ἐθαύμασεν τὴν ἐπιείκειαν ἐκ τῆς σιγῆς· ἐπειδὴ δὲ ἐβούλετο αὐτὸν ἀπολογούμενον ἀπαλλαγῆναι, διὰ τοῦτο εἶπεν, οὐκ ἀκούεις πόσα σου καταμαρτυροῦσιν; ἐπειδὴ δὲ πάλιν οὐδὲν ἀπεκρίθη, ἕτερον μηχανᾶται, ἵνα

ὡς κατάδικον χαρίσωνται αὐτὸν τῇ ἑορτῇ κατὰ XXVII.
τὸ ἔθος αὐτῶν· οὕτως τὸν κριτὴν μᾶλλον παρακαλοῦντα οὐχ ὑπήκουον οἱ ὑπὸ χεῖρα, ἀπὸ πολλῆς παρανομίας καὶ φθόνου.

v. 16. Διὰ τί λῃστὴν εἰπὼν, προσέθηκεν εἰπεῖν καὶ ἐπίσημον; ὥστε μὴ δὲ σκιᾶς ἀπολογίαν καταλιπεῖν, ὅτι τοιοῦτον ὑπὲρ τοιούτου ἀντηλλάξαντο.

v. 19. Διὰ τί οὐχ ὁ Πιλάτος ὁρᾷ τὸ ὄναρ ἀλλ' ἡ γυνή; ἢ ὅτι ἀξία ἦν μᾶλλον· ἢ ὅτι αὐτὸς εἰ εἶδεν, οὐκ ἂν ἐπιστεύθη· ὡς βουλόμενος ἀπολύσαι αὐτόν· ἢ οὐδ' ἂν ἐξεῖπεν· κριτὴς γὰρ ἦν· καὶ ἵνα ὁ ἀνὴρ πάθῃ τὴν ψυχὴν διὰ τὴν γυναῖκα· καὶ ἵνα ὡς γυνὴ κατάδηλον ποιήσῃ πᾶσι καὶ γνωσθῇ.

v. 20. Οὐ σταυρῶσαι μόνον θέλοντες, ἀλλὰ καὶ πονηρὰν αὐτῷ βουλόμενοι περιθεῖναι δόξαν· ἐνόμιζον γὰρ κατασκευάζειν ἐκ τούτου ὅτι τοῦ λῃστοῦ χείρων ἦν καὶ οὕτω παράνομος, ὡς μήτε ἑορτῆς ἀξιώματι σώζεσθαι· πάντα γὰρ τούτου ἕνεκεν ἐποίουν ὥστε αὐτοῦ τὴν ὑπόληψιν διαβάλλειν· διὰ τοῦτο καὶ τοὺς δύο λῃστὰς αὐτῶν συνεσταύρωσαν· ἀλλ' ἡ ἀλήθεια οὐ μόνον συνεσκιάζετο, ἀλλὰ καὶ μειζόνως διέλαμπεν.

v. 22. Καὶ διὰ τοῦ, τί οὖν ποιήσω αὐτὸν, ἐντρέπει αὐτοὺς, καὶ κυρίους ἐκείνους ἢ αὐτὸν ποιεῖται τῆς ψήφου.

XXVII. v. 24. Εἰ καὶ τὰς χεῖρας ἔνιψεν ὁ Πιλάτος ἀθῶον ἑαυτὸν ἀποκαλῶν, ἀλλ' ὅμως ὑπὸ μαλακίας καὶ ἀνανδρείας τοῦτο διεπράττετο· ἔδει γὰρ μὴ παραδοῦναι αὐτὸν, ἀλλ' ἐξαρπάσαι, καθὰ καὶ ὁ ἑκατοντάρχης τὸν Παῦλον ὕστερον· διὰ τοῦτο καὶ ἔγκλημα προσάπτει αὐτῷ ὁ Χριστὸς λέγων, ὅτι μείζονα ἁμαρτίαν ἔχει ὁ παραδιδούς με σοί· ὥστε οὐδὲ ἐκεῖνος ἔξω ἦν ἁμαρτίας.

v. 26. Τίνος ἕνεκεν ἐφραγέλλωσεν παραδιδοὺς ἵνα σταυρωθῇ; σχῆμα περιτιθέναι καταδίκου τῇ κρίσει βουλόμενος.

v. 38. Διὰ τί μέσον αὐτὸν τῶν λῃστῶν σταυροῦσιν; ἵνα τῇ δόξῃ τῇ ἐκείνων κοινωνήσῃ, καὶ τῷ δοκεῖν ὕβρις αὐτῷ γένηται.

v. 44. Πῶς ὁ μὲν Λουκᾶς φησὶν ὅτι ὁ εἷς λῃστὴς ἐπετίμα τῷ ἄλλῳ βλασφημοῦντι, ὁ δὲ Ματθαῖος ὅτι ἀμφότεροι ὕβριζον αὐτὸν καὶ ὠνείδιζον; ἀμφότερα γέγονεν· πρότερον γὰρ ὠνείδιζον ἀμφότεροι, ὕστερον δὲ οὐκέτι.

v. 45. Οὐκ ἦν ἐκλείψεως τρόπος ὃ περὶ τὸν ἥλιον τότε γέγονεν· οὐ γὰρ τοσαύτας ὥρας ἔκλειψις κρατεῖ.

v. 46. Διὰ τί λέγει τὸ ἠλί ἠλί, τοῦτ' ἔστιν θεέ μου θεέ μου, ἵνα τί με ἐγκατέλιπες; ἵνα δείξῃ ὅτι μέχρι τέλους ἐτίμα τὸν πατέρα, καὶ οὐκ ἦν ἀντίθεος.

v. 51. Τοῦ καταπετάσματος ἡ σχίσις ἐρημίαν XXVII.
τοῦ ναοῦ σημαίνει. Καὶ ἄλλως. Τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο ἀπὸ ἄνωθεν ἕως κάτω· μονονουχὶ περιῤῥηξαμένων καὶ αὐτῶν τῶν πάλαι τὸ ἱερὸν ἐνοικούντων ἀγγέλων· περιῤῥηξάντων τε τὸ σεμνὸν ὕφασμα· ὡς ἂν γυμνὸς καὶ ἔρημος ἀπολειφθεὶς τῆς αὐτῶν φρουρᾶς ὁ τῶν ἀβάτων καὶ ἀδύτων τόπος, ἕτοιμος ἐχθροῖς καὶ πολεμίοις κατασταίη.

v. 54. Ὁ κεντυρίων διὰ τοῦτο ἐπίστευσεν, ὅτι μετ' ἐξουσίας ἀπέθανεν· φασὶν δὲ ὅτι καὶ μαρτύριόν ἐστιν τοῦ κεντυρίωνος, τούτου ἀνδρισαμένου ἐν τῇ πίστει καὶ μαρτυρήσαντος.

v. 56. Ἡ τοῦ κυρίου μήτηρ· ταύτην γὰρ Ἰακώβου Μαρίαν καλεῖ.

v. 65. Ὡς βούλεσθε σφραγίσασθε λέγει, ἀπαλλάττων πάντας ὑποψίας· ἐδύναντο γὰρ εἰπεῖν, εἰ οὐκ ἐσφράγισαν, ὅτι οἱ στρατιῶται παραδεδώκασιν τὸ σῶμα τοῖς μαθηταῖς.

C A P. XXVIII.

v. 2. Ὁ σεισμὸς γίνεται διὰ τοὺς στρατιώτας. XXVIII.
Ὁ ἄγγελος ἦλθεν τοῦ λίθου ἕνεκεν καὶ διὰ τὰς γυναῖκας.

v. 5. Μὴ φοβεῖσθε ὑμεῖς, λέγει, πολλὴν

XXVIII. τὴν τιμὴν ἐνδεικνύμενος εἰς αὐτάς· φοβεῖσθαι γάρ φησιν μόνους δεῖ τοὺς Ἰουδαίους.

v. 6. Διὰ τί οὔτε βραδέως ἀνέστη οὔτε ταχέως; ὅτι τὸ μὲν θᾶττον ἀναστῆναι αὐτὸν, οὐκ εἶχεν ἔγκλημα· τὸ δὲ βραδέως, εἶχον ἀντιλέγειν.

v. 7. Ἐσχάτην ὄψιν εἶναι νομίζω τὴν ἐν τῇ Γαλιλαίᾳ, ὅτε αὐτοὺς ἐξέπεμπε βαπτίσοντας· εἶτα τῆς ἀναλήψεως.

v. 19. Τὸ πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, τὴν τῶν δογμάτων καὶ τὴν τῶν ἀρετῶν διδαχὴν λέγει.

v. 20. Τῶν ἀποστόλων μέχρι συντελείας τοῦ κόσμου μὴ ὄντων ἐν ζωῇ, πῶς λέγει Χριστὸς ἔσομαι μεθ' ὑμῶν μέχρι τούτου; ὡς ἑνὶ σώματι διαλέγεται πᾶσι τοῖς πιστοῖς.

ΕΙΣ ΜΑΡΚΟΝ.

EX IISDEM MEMBRANIS

BIBLIOTHECAE VATICANAE.

CAP. IX.

v. 21. Ἐρωτᾷ πόσον χρόνον ἔχει τοῦτο παθὼν, οὐχ ὡς ἀγνοῶν, ἀλλ' εἰς χρηστὰς ἐλπίδας αὐτὸν ἄγων. IX.

v. 23. Τὸ εἰ δύνασαι πιστεῦσαι, πάντα δυνατὰ τῷ πιστεύοντι, τοιοῦτόν ἐστιν, εἰς αὐτὸν περιτρέπει τὸ ἔγκλημα, δεικνὺς αὐτῷ ὅτι ἐὰν πιστεύσῃς, δύνασαι καὶ αὐτὸς θεραπεύειν.

v. 26. Ἀφίησιν αὐτὸν σπαράττεσθαι οὐ πρὸς ἐπίδειξιν ἀλλὰ διὰ τὸν πατέρα, ἵνα πλέον θαυμάσας ἐπαναχθῇ εἰς πίστιν· ἰδὼν δὲ τοὺς ὄχλους συναγομένους ἐπετίμησεν φεύγων τὸ φιλότιμον.

Σεληνιαζόμενον αὐτὸν καλεῖ ὁ εὐαγγελιστὴς ἀπὸ τῆς τῶν πολλῶν ψευδοῦς ὑπονοίας.

v. 28. Ἐρωτῶσιν διὰ τί οὐκ ἠδυνήθησαν τὸν δαίμονα ἐκβαλεῖν, ἀγωνιῶντες μήποτε τὴν χάριν ἀπώλεσαν.

CAP. X.

X. v. 18. Ἐκεῖνος ἄνθρωπον αὐτὸν ἐνόμιζεν εἶναι καὶ οὐ θεόν· καὶ τοῦτον ἔχει τὸν νοῦν ἡ ἀπόκρισις· εἰ μὲν γάρ φησιν ἄνθρωπόν με νομίζεις καὶ οὐ θεὸν εἶναι, μή με λέγῃς ἀγαθόν· οὐ γὰρ διαφέρει ἀνθρωπίνῃ φύσει τὸ ἀγαθὸν ἀλλὰ θεῷ μόνῳ. Καὶ ἐπιφέρει, τὰς ἐντολὰς οἶδας· εἰρηκότος δὲ ἐκείνου ποίας; ἔφη τὸ οὐ μοιχεύσεις, οὐ φονεύσεις, καὶ τὰ ἑξῆς· ἀπεκρίνατο λέγων, ταῦτα πάντα ἐφύλαξα ἐκ νεότητός μου· τί ἔτι ὑστερῶ; ἔφη αὐτῷ, εἰ θέλεις τέλειος εἶναι, ὕπαγε πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ· καὶ λαβὼν τὸν σταυρόν σου ἀκολούθει μοι· διὰ τούτου οὖν ἔδειξεν ὅτι καὶ αὐτῷ διαφέρει τὸ ἀγαθόν· οὐ γὰρ τῷ μὴ ἀγαθῷ δύναταί τις ἀκολουθῶν, ζωὴν αἰώνιον κληρονομῆσαι.

v. 33. Πρᾶγμα προμελετηθὲν οὐκ ἔχει τὴν ἀπὸ τοῦ αἰφνιδίου ταραχήν· ὅπερ καὶ ὁ Δαβὶδ ἔλεγεν, ἡτοιμάσθην καὶ οὐκ ἐταράχθην· τοῦτο καὶ ἐν ταῖς βρονταῖς γίνεται· προλαβοῦσα γὰρ ἡ ἀστραπὴ διδάσκει τὸν νοῦν, ὅτι δεῖ δέξασθαι τὴν βροντὴν, ἵνα τῇ προσδοκίᾳ λύσῃ τὸν μείζονα φόβον· οὕτω καὶ ὁ σωτὴρ ἵνα μὴ ἀθρόον ὑπὸ

τοῦ πάθους ταραχθῶσιν οἱ μαθηταὶ, πολλάκις X.
εἶπεν, ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα· καὶ
οὐδὲν ἧττον ἐθορύβησαν ὑπὸ τοῦ πάθους· ὡς
τὸν σωτῆρα ὀνειδίσαι τοὺς ἀποστόλους, καὶ εἰ-
πεῖν μετὰ τὴν ἀνάστασιν, οὗτοι εἰσὶν οἱ λόγοι
μου οὓς ἔλεγον ὑμῖν, ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀν-
θρώπου πολλὰ παθεῖν, ὠνείδιζεν αὐτοὺς ὅτι τὸν
σκοπὸν οὐκ ἐπλήρωσαν, δι' ὃν ὁ σωτὴρ προεῖ-
πεν· προεῖπόν φησιν ἵνα μὴ ταραχθῆτε, καὶ ὁ
θόρυβος ὑμῶν ἐκράτησεν.

v. 20. Πληγὴν ἀνθρώποις οὐκ ἐπήνεγκεν πώ- Cap. XI.
ποτε, ἀλλ' ἐν εὐεργεσίαις μόναις τὴν δύναμιν
ἐπεδείξατο· δεῖξαι οὖν βουλόμενος ὅτι καὶ κο-
λάζειν ἐστὶν δυνατὸς, οὐκ ἀνθρώπους ἀνεῖλεν,
ἀλλὰ συκῆν κατεξήρανεν.

v. 6. Οὐδὲ τῇ λέξει λυπεῖ· οὐ γὰρ εἶπεν Cap. XII.
φοβηθήσονται τὸν υἱὸν, ἀλλ' ἐντραπήσονται· ὡς
περὶ ῥᾳθύμων οὐ πονηρῶν διαλεχθείς· καὶ μὴν
οὐκ ἐνετράπησαν, ἀλλ' ἀπέκτειναν μᾶλλον· ἆρ'
οὖν τοὺς μέλλοντας ἠγνόησεν ὁ πατὴρ; καὶ οὐκ
ἀγνοεῖ μόνον ἀλλὰ καὶ προλέγει· οἱ δὲ οὐκ ἐνε-
τράπησαν· ἄπαγε τῆς μανίας· οὐ γὰρ ψεύδεται
πατὴρ, ἀλλὰ πρὸς τὸ χρήσιμον τὴν ἄγνοιαν
πλάττει· διὰ τοῦτο καὶ ὁ υἱὸς μιμούμενος τὸν
πατέρα, καὶ κατὰ τοῦτο τὴν πρὸς αὐτὸν δεικ-
νὺς ὁμοιότητα.

Cap XIII. v. 32. Περὶ δὲ τῆς ἡμέρας ἐκείνης φησὶν οὐδεὶς οἶδεν, οὐδὲ ὁ υἱός· οὐκ ἀγνοῶν τὴν ἡμέραν ἧς ἐστιν ποιητὴς, ἀλλὰ πρὸς τὸ χρήσιμον τῶν ἀνθρώπων πλαττόμενος ἄγνοιαν· οὐ γὰρ συνέφερεν τοῖς ἀνθρώποις τὴν ἡμέραν τῆς κρίσεως, ὥσπερ οὐδὲ ἑκάστῳ συμφέρειν μαθεῖν τῆς τελευτῆς τὴν ἡμέραν· ἔμελλεν γάρ τις τῇ προγνώσει θαῤῥῶν πάντα μὲν τὸν χρόνον κακίᾳ καὶ πονηρίᾳ συζῆν, κατ' αὐτὴν δὲ τὴν ἡμέραν εὐλάβειαν πλάττεσθαι· νῦν δὲ τὸ ἄδηλον τῆς ἡμέρας σπουδαίους τοὺς βουλομένους ποιεῖ, ἑκάστην ἡμέραν ἐσχάτην νομίζοντας· πῶς οὖν φησὶν ἐντραπήσονται τὸν υἱόν μου; τὸ πρέπον γενέσθαι καὶ ὀφεῖλον εἰπὼν, οὐ τὸ ἐκβησόμενον πάντως· ἅμα καὶ κλέπτων αὐτῶν τὴν πρὸς τὸ χεῖρον ῥοπὴν, καὶ συλῶν κολακείαν πρὸς τὸ συμφέρον· εἰ μὲν γὰρ εἶπεν πέμψωμεν τὸν υἱὸν, οἶδα δὲ ὅτι σταυρώσουσι τοῦτον· εὐθὺς κατὰ τῶν εὐαγγελίων ἥρπαζεν τὴν φωνὴν ὁ ἰουδαῖος· αὐτὸς εἶπεν ὅτι σταυρώσω μὲν αὐτόν· καὶ πῶς ἔμελλεν μὴ σταυροῦν; πῶς ἀπόφασιν ἀνελεῖν ἐδυνάμεθα θείαν; διὰ τοῦτο φησὶν ἐντραπήσονται τὸν υἱόν μου· τί γὰρ οὐκ ἔπραξεν ὁ υἱὸς ἐντρέψαι τούτους δυνάμενον; καὶ πρῶτον ὅτι δεσπότης ὢν, μορφὴν δουλικὴν ἐπορίσατο, καὶ θνητὸν ἐνδὺς ἀθανασίαν διένειμεν, αὐτὴν τὴν παρουσίαν ποιη-

σάμενος ἥμερον, ὡς εἷς τῶν προλαβόντων δού- XIII.
λων, μᾶλλον δὲ καὶ μετριωτέραν· οἱ μὲν γὰρ καὶ κτημάτων εὐπόρουν, αὐτὸς δὲ οὐδὲ ποῦ τὴν κεφαλὴν κλίναι· καὶ οἱ μὲν δοῦλοι πολλάκις καὶ πληγὰς ἐπήνεγκαν τούτοις, αὐτὸς δὲ πληγὴν ἀνθρώποις οὐκ ἐπήνεγκεν πώποτε, ἀλλ' ἐν εὐεργεσίαις μόναις τὴν δύναμιν ἐπεδείξατο, δεῦτε πρός με βοῶν, οὐκ ἀναμένων ἐκείνους αὐτῷ προσελθεῖν.

Ἀντὶ τοῦ οὐδὲ ὁ υἱὸς ἂν ᾔδει, εἰ μὴ ὁ πατήρ· ἐπειδ' ὁ πατὴρ οἶδε καὶ ὁ υἱός.

v. 15. Τὰ δύο τηρεῖ· καὶ τοὺς ἀποστόλους Cap.XIV.
ἐφοδιάζει ἐρωτῆσαι τὸν οἰκοδεσπότην· καὶ ἵνα μὴ νομίσωσιν ἀγνοεῖν, τὸν τόπον λέγει· αὐτὸς ὑμῖν δείξει ἀνάγαιον μέγα ἐστρωμένον· εἰ προλέγεις τὸν τόπον, διὰ τί λέγεις τοῖς μαθηταῖς ἐρωτῆσαι περὶ τοῦ τόπου; πρὶν ἐρωτήσομεν· τί οὖν ἐρωτῶμεν; ναί φησιν· κἀμοὶ πρέπει προλέγειν ὡς Θεῷ, καὶ ὑμᾶς ἐρωτᾷν ὡς ἀνθρώπους· οὐδαμοῦ δὲ Χριστὸς παραδίδωσι τὸ μυστήριον ἐν ταπεινοῖς τόποις ἀλλ' ἐν τῇ ὀρινῇ ἢ ἐν ὑπερώῳ· οὐδὲν γὰρ κατάγαιον ἐπὶ Χριστοῦ· διὰ τοῦτο καὶ ὅτε τὴν ἐπιφοίτησιν ἐδέχοντο τοῦ ἁγίου πνεύματος οἱ ἀπόστολοι, ἐν ὑπερώῳ ἦσαν συνηγμένοι· τότε φησὶν ἀπέστειλεν δύο ἐκ τῶν μαθητῶν αὐτοῦ ἑτοιμάσαι τὸ πάσχα, Πέτρον

XIV. καὶ Ἰωάννην· Πέτρος ἦν ὁ ὁμολογήσας ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος· Ἰωάννης δὲ ἔμελλε κηρύττειν τὸ ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν, καὶ θεὸς ἦν ὁ λόγος· ἀποστέλλει τὸν θεμέλιον τῆς ἐκκλησίας, καὶ τὸν υἱὸν τῆς βροντῆς, ἵνα ἐν μὲν τῷ θεμελίῳ πήξῃ τὸ τῆς εὐσεβείας μυστήριον, ἐν δὲ τῷ υἱῷ τῆς βροντῆς, ἀστράψῃ τὰ τῆς εὐσεβείας ἐντάλματα· πάλιν διὰ τί Πέτρον καὶ Ἰωάννην ἀποστέλλει; Ἰωάννης παρθένος ἦν, Πέτρος ἀπὸ σεμνογαμίας, ἵνα δειχθῇ ὅτι καὶ τῇ σεμνογαμίᾳ καὶ τῇ παρθενίᾳ ἥπλωται τὸ δῶρον· καὶ γίνονται κοινωνοὶ τοῦ πάσχα καὶ οἱ ἐν σεμνογαμίᾳ καὶ οἱ ἐν παρθενίᾳ καλῶς ζῶντες· ἀποστέλλει παρθενίαν καὶ σεμνογαμίαν ἑτοιμάσαι αὐτῷ τὸ πάσχα· ὥσπερ ἐν τῷ ὄρει Μωϋσῆν καὶ Ἠλίαν παρέστησεν· τὸν μὲν ἀπὸ σεμνογαμίας, τὸν δὲ ἀπὸ παρθενίας λάμποντα, ἵνα φανῇ σεμνογαμία καὶ παρθενία παρεστῶσαι Χριστῷ.

Cap. XV. v. 37. Ἀντὶ τοῦ λαμπρὰν καὶ μηδὲν θανάτου φέρουσαν σημεῖον· διὸ καὶ τὸν κεντυρίωνα πλέον τοῦτο ἢ τὸ καταπέτασμα σχιζόμενον εἰς τὴν περὶ τοῦ υἱοῦ θεογνωσίαν ἐπηγάγετο· τί δ' ἦν ὃ ἔκραξεν, ἢ τὸ πάτερ εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου;

GLOSSARIUM VETUS

EX MEMBRANIS

BIBLIOTHECAE VATICANAE.

A

Abacta, immolata.
Abamita, soror abavi.
Abantes, mortui quos graeci alibantes appellant.
Abarcet, prohibet.
Abaso, infirma domus.
Abavunculus, frater aviae.
Abceptabat, reincipiebat.
Abdecet, non decet.
Abdixit, abnegavit.
Abellum, agnum recens natum.
Abencat, eradicat.
Abescit (1), de memoria excidit.
Abessit, vellit, carpit.
Abesus, cupidus.
Ab extere, longe.
Abgrego, segrego.
Abigeus, qui seducit servum vel pecus alienum.
Abigiata, involata.
Abilitus (2), oblitus.
Ab imo, deiugum.
Abiugasse, abegisse.
Abiugassere, disiungere.
Abiurae (3), furatae.
Abiurasse, intercepisse periurio.
Abiurat, dissolvit, reprobat, negat, vel plorat.
Abiure (4), furare.
Ablegatus, condemnatus.
Abluvione, inundatione sordium.
Abmatertera, soror aviae.
Abneptus, extra nepotes.
Abnepus, extraneus.
Abnexus, adligatus.
Abodos, dementes id est dementia usos.
Abolere, oblivisci, neglegere.
Abolescit, de memoria excedit.
Abolita, subita.
Abolit, non olit.
Abominat, negat quod suum est.
Aborigenae, sine origine.
Aborigines, convenae originis.
Abpatruus, frater abavi.

(1) Infra *abolescit*. (2) *Abolitus*? (3) *Abiuratae*? (4) *Abiurare*?

Abregium, splendor auri.
Abremissioris, neglegentioris.
Abrogans, humilis.
Abscisura, intervalla.
Abscito, absentio.
Absente nobis, nescientibus nobis.
Absono, absurdo vel prospero.
Absquillis, aliquovis.
Abstat, distat.
Abstinet, observat.
Abstirpat, averruncat.
Abstrepitus, signum quod cum pavore solemus audire.
Abstrusurus, absconsurus.
Absurdum, dispar.
Abtra, folia vitis.
Abusat, subtractat.
Abusitatus, minus instructus scientia.
Abusivae, desputae.
Abutimur, recusamus.
Abutit, recusat, contemnit.
Abutitur, recusat, contemnit, aspernit.
Acatus, navicula vel arca.
Ac, autem.
Acediosus, taediosus.
Acceptator, auctor.
Acceptator, conscriptor.
Acerra, alcoratoria, vel turibolum.
Acceries, securis quam flamines aut pontifices habent.
Accersa (1), far quud sacrificiis adhibetur.
Accersitio, vocatio.
Accersum, gratum, acceptum.
Achantus, cardellus.
Aciare et aciarium, ferrum durum.
Acidiatur, stomachatur.
Accidunt, in malum accipitur.
Accuratim, attentius.
Acidus, ab agrore.
Acinari, tricari, in parvo morari.
Accio, accerso.
Accipio, adquiesco.
Accipitrem, acceptorem.
Acirologa, impropria.
Accisa, ex omni parte praecisa.
Accisis, circumcisis.
Accitio, evocatio.
Acclivatum, obliquum.
Accola, alienus cultor aut novicius.
Accolae (2), introitus.
Acoenonitus, qui nulli communicat.
Acoluthus, subdiaconus.
Acorum, herbae genus.
Acrai, aedes.
Acrae mentis, validae mentis.
Acrimoniosus, saevitiosus.
Acroamata, scenicorum carmina.
Acrocheria, ligamenta hasticularum.
Acrocheria, ligatura articulorum.
Actae, litora, loca amoena.

(1) *Acerra?* (2) *Aditiculae?* ut apud Iul. Valerium.

Acta, ripa nemorosa.
Acta, secessus amoenus.
Activae, factivae.
Activalis, quae agi potest.
Actuali, actu vel ordine.
Actuarius, acta qui facit.
Acula, exilium.
Aculeo, ab acu deminutive.
Aculeum, peccatum.
Acumina, ignea.
Acuto murice, saxis asperis.
Ada, cuneus.
Adaesum, exile vel tenue.
Adauctus, adcommodatus.
Adcersio, evocatio.
Adclides, genus gladii rotundi.
Adclinis, resupinus.
Adcommodantius, utilius.
Adcatum, accessum.
Adclivatum, oblicum, curvum.
Adeo, ingredio.
Adepiscit, adquirit.
Adepisco, impetrare, invenire.
Adest, post.
Adfabrim, artificiose.
Adfatim, optime loquens.
Adficior, taedio consumor.
Adficis, affligis vel obiurgas.
Adfligit, necat vel occidit.
Adgenuinant, adleviant.
Adgredio, arripio vel incipio.
Adgredior, aspiro vel incipio.
Adhibe, iunge.
Adhorta, adsumpta.
Adhortis (1), sacrificiis.
Adiatu, adapertione.
Adicialis, qui domus alienas adeptat.
Adigit ferrum, se ipsum interficit.
Adigor, adgredior.
Adio, ingredior.
Aditalis, qui adit.
Aditialis, qui audit.
Adit, inpellit.
Aditus, interiora aedis templi.
Adingat, coniungit.
Adlapsa, caute veniens.
Adlicimus, adfectamus.
Adlositum, adlisum.
Adlubies, locus coenosus vel obscurus.
Adludit, appetit.
Adluvium, ruinae riparum.
Admisso, peccato vel recepto.
Admonet, rogat.
Adnavimus, adnavigavimus.
Adnisus, conabundus.
Adnititur, adiuvat.
Adolenter, indigne.
Adolit, valde olit.
Adorium, farris genus.
Adoritur, gignitur, nascitur.
Adoptat, adfiliat.
Adoptio, adfiliatio.
Adorrit, intendit.
Adorea, genus frumenti.
Adoptarius, puer ex adoptato natus.
Adparatorium, ubi aliquid paratur.
Adpendices, iniunctitiae.

(1) *Adoreis*?

Adpendit, aestimat vel pensat.
Adpendix, socia, comes.
Adplos, adlis.
Ad praestolandum, ad obsecrandum vel sustinendum.
Adpraesens, praesens.
Adproximata, tortellum pueris.
Adquin, certum est.
Adqui, quin etiam, quin potius.
Adrastros, fossores.
Adrectores, imitatores.
Adridet, deridet.
Adrumavit, rumorem adtulit.
Adruminavit, rumorem adtollit.
Adruncat, evertit aut dilaniat.
Adruptis, apertis.
Adsciscunt, consummant.
Adscitum, iniunctum.
Adsecla, domesticus.
Adseclae, pedissequi vel lenones.
Adseclas, sequipedas.
Adsectatores, imitatores.
Adsecula, cliens vel susceptus.
Adseculae, pedissequi vel lenones.
Adsenti vitiorum, subditi vitiorum.
Adsertio, disputatio.
Adsertor, confirmator.
Adsiduae, multitudo.
Adsignat, restituit vel probat.
Adsolite, consuete.
Adsolitum, adlitum.
Adspirat, pavet.
Adsportat, adicit vel adfert.
Adstans, inantestans.
Adstipulatur, adipiscitur, consequitur.
Adsuetudine, consuetudine.
Adsumpta, consumpta vel finita.
Adsuscitare, requirere, consociare.
Adtaminat, usurpat vel inquinat.
Adtenuat, subtiliat.
Adtenuatus, subtiliatus.
Adtollens, cum invidia adtendens.
Adtollentem, elato capite minantem.
Adtonitus, intentus.
Adtrectat, cum pollutione tangit.
Adtrectavit, adtaminavit.
Adulantibus, nutrientibus.
Adulator, blandus vel adsentator.
Adulatores, suasores, edoctores.
Advelat, coronat.
Adversor, contradictor.
Advertere, intellegere.
Adveruncat, multum verum facit.
Adyta, viscera inferiora.
Aedicula, hospitiola.
Aegeator, hornator.
Aegiator, hortator (1).

(1) In alterutro mendum latet.

Aegidia, pluvia.
Aegrimonia, anxietas.
Aegrotaticius, qui frequenter aegrotat.
Aegrum, nigrum.
Aeneatores, tubicines.
Aeque quicquam, nihil.
Aequilatium, aequatio.
Aequiloquus, iusta loquens.
Aequiparant, aequitant, conpensant, similant, concordant.
Aequitas, rectitas.
Aequor, aequum mare.
Aequorandum, navigandum.
Aera, rota caeli.
Aereatores, cornicines, liticines.
Aestimium, aestimatio.
Aestivolum, aestiva tempora.
Aestuat, anxiat.
Aestus, procellae.
Aethiops, aegyptius, indus vel ferus.
Aevalis, longissimus.
Aevi maturus, silicernius.
Aeviternum, aeternum.
Aevum, iter longinquum.
Affuit, advenit.
Affornas, occasiones.
Afuit, defuit.
Afuturum, non futurum.
Agagula, lenocinator, vanus, fornicator.
Agaso, domesticus.
Agason, minister officialis, vel qui negotia aliena anteambulat.
Agasone, equitione.
Agger, gemno.
Agger, strata, via publica.
Agimenta, augmenta hastarum.
Aginantes, explicantes.
Aginator, qui agit aliquid, negotiator, tricator, morator.
Agnati, filii per viros.
Agnati, liberi qui per adoptionem veniunt: interdum cognati.
Agonia, alacritas, vigor.
Agonia, hostia.
Agoniae, victimae.
Agoniae, victoriae.
Agonista, certator.
Aimus, dicimus.
Aisti, dixisti.
Alant, spernant.
Alacer, velox, hilaris.
Alacrimonia, laetitia.
Alapiciosus, calvus.
Alaris, caballaris.
Album praetoris, ubi conscripti sunt, qui recitandi sunt. Tabula est, et habet albis litteris indices et senatores.
Album, quigneum.
Alburnum, albescentem aut exalbidum.
Alea, ludus tabulae, a quodam mago (1) Alea nomine, qui hunc ludum invenit.

(1) Isidor. *milite*.

Alebre, bene educatum.
Alectat, spectat.
Alget, infrigidat.
Alibre, alimenta habens.
Alidit, abscondit.
Alienum aes, pecunia faeneraticia.
Aliorsum, alio more.
Allecti, electi.
Allegurit, degustat.
Allevitans, allevians.
Allienla, genus vestis.
Alluvia, consumptio riparum ex aquis.
Alluvione, delavatione.
Allux, pollex in pedibus.
Alnus, nunc populus.
Alogia, conbivia.
Alopus, qui propter mercedem alapam patitur.
Alsit, frigduit.
Alsosus, frigdosus.
Alsum, spolium.
Altarium, sanctuarium.
Altellum, hoc est terranum.
Altellus, terrae nutritus.
Alteratur, variatur.
Alternanti, cogitanti.
Alternatus, variatus, rugidus.
Alternum, unum.
Altilitas, ab alendo, ipsa res quae alitur.
Altiplicem, dolosum.
Altor, nutritor.
Altrinsecus, dextra laevaque.
Altruncat, inertit vel alienat.
Alucinatio, lucis alienatio.
Alumni, filii vel servi aut amatores.
Alumnus, cognitus servus, filius, amator.
Alvetoria, vasa apium.
Alveum, quoties fluvius alium sibi meatum facit.
Ama, avis nocturna.
Amanat, extra manat.
Amansit, expectavit.
Amaricaverunt, irritaverunt.
Ambacti, servi, coloni, lixae.
Ambages, circuitus verborum.
Ambagines, loca flexuosa, anfracta.
Ambagiosus, circulosus.
Ambagit, repellit.
Ambest, circum est.
Ambibalus, birrus, billosus (1).
Ambifarius, ambabus partibus loquens.
Ambifarius, bilinguis.
Ambigarie, ex ambabus partibus.
Ambignae, oves ex utraque parte agnos habentes.
Ambiguae, oves quas Iunoni offerebant, quia geminos parerent.
Amblacum (2), spatium ad ambulandum.
Amblígonium, obtusum angulum.

(1) *Villosus*. (2) *Ambulacrum*?

Ambro, consumptor patrimonii, decoctor aut profusus.
Ambrones, devoratores.
Ambrosius, quidam caelestis odor vel sapor.
Ambruimur, comburimur.
Ambusa, comesta.
Ambus, malleus.
Amendat, extra commendat vel seponit.
Amentes, fustus aucupalis.
Amenticus, dementicus.
Amfariam, ambabus partibus.
Amfiscii, biumbres.
Amiciter, amicabiliter.
Amicit, vestit.
Amictorium, operimentum.
Amites, fustes aucupales.
Amoenavit, densavit.
Amplectitur, amplexat.
Amus, unus.
Anagogia, regula artium ad loquendum.
Anagoge, superior sensus.
Analogia, similitudo.
Anascere, instruere.
Anathema, perditio.
Anathematus, habominatus.
Anatum, miserum.
Anavolagium, palleum.
Ancil, virga aurea.
Anclare, haurire, implere.
Ancle, scutum quadratum.
Ancti, excruciati.
Ancurata, genus furiae.
Ancxiferis, maestificis.
Anedia, fatuitas, amentia.
Anediosus, taediosus.
Anfracto, perplexum, adeunti difficile.
Angiportum, refugium navis.
Angent, paenitent.
Anger spartarius (1), qui angit seu stringit spartam.
Anget, sollicitat aut stimulat, vel taedio afficitur.
Angina, glandulae.
Angiportum, androna, ut formium vel callem.
Angiportus, aedium materia vel aediculae.
Angit, consignat vel praevocat.
Anguia, ferrum.
Anhelabundus, multum fatigatus.
Animadversio, sententia in malum data.
Animadvertit, occidi iussit.
Animalia, pecora vel iumenta.
Animal, omnes, id est universae creaturae.
Animantia, homines.
Animum pascit, advocat.
Aniques, patientes.
Anitas, senectus.
Anitio, senectute.
Annatantem, repugnantem.
Annales, annorum capitulares.
Annet, fulget, splendet
Annilitas, senectus.
Annit, incumbit.

(1) Isidor. *spatharius* et *spatham*.

Annua, anni dies expleta.
Annualia, opera singulorum annorum.
Annuet oculos, oculos tendet.
Anopsii, nigro colore.
Anquaerit, valde quaerit.
Anser glandit, idest clamat.
Antagonista, decertator, inceptator, provocator.
Anta, tabula, tegimen parietum.
Antela, antilena; sicut postela, postilena.
Anteritas, antiquitas.
Antes, extremi ordines vinearum.
Antestatus, testatus.
Antiae, capilli admissi.
Antiae, capilli quos mulieres promissos in capite componunt.
Antiatum, miserum, non bene natum.
Antibiblium, pignus codicis.
Antigeni, prius geniti.
Antiquavit, vacuavit.
Antistites, principes.
Antlat, haurit, exunciat.
Antro, saevus, crudelis aut spelunca.
Antruare, non dare.
Antistomachus, pars dorsi stomacho contraria.
Anuus, multitudo senum.
Anxati, vocati.
Anxiati, nominatim vocati.
Anxiferis, maestificis.
Anxilites, aves.
Apagete, aperite.
Apellit, refutat.
Apex, interdum distinctionis nota.
Apex, summa pars litterarum, vel summa pars capitis.
Apiciolus, calvaster.
Apiciosus, calvus.
Apicire, ligare.
Apicitus, ligatus.
Apicones, sub vinea virgae.
Apissimo, ostio largissimo.
Aplustria, armamenta navis.
Apocrisis, depulsio.
Apodyterium, ubi reponuntur vasa libantium.
Apolitus, limatus.
Apopla, scriptura.
Apostrofat, transitum facit.
Apparitores, obedientes.
Apparuit, paruit vel oboedivit.
Appodix, socia, comes.
Appollit, vetat, prohibet, detulit.
Apricis, mansuetis.
Apricitas, calor.
Apricus, locus temperatus sine vento.
Aprilas, calox.
Aprugnos, altilia ex farina involuta.
Aptant, distant.
Aqualia, summa pars capitis.
Aqualicum, ventriculum.
Arbitrerium, collectio vel collegium arbitrorum, vel ipsa confessio ipsorum.
Arbitrum, iudicem vel medicum.

Arbor, nonnisi fructifera.
Arbusta, arboreta.
Arbutus, comarus cui vulgo nomen est unedo.
Arcarius, dispensator.
Arcessit, incusat.
Archioritas, conflictus.
Architriclinus, maior domus.
Arcitio, vocatio.
Arciti, vocati.
Arciva, armaria.
Arcolonus, circulus quem in capite habent qui exgerunt vasa.
Ardelio, acutus.
Ardulio, actus cum malignitate.
Arepta, genus vasis.
Argenteus, stater.
Argumentum argutum, inventum quod dubie fidem facit.
Aricinas, testcas vel argilleas.
Arida, ieiunia sicca.
Arillator, mercator.
Aripenna habet sextarios XXX.
Arithmetius, numerius.
Aritum, spolium.
Armamentum, locus ubi arma ponuntur, et armatura navium.
Armicis, armatis.
Armillum, vasa sacrorum.
Arnnites, armipotens.
Arseria, vas vinarium quo vinum ad aras ferebant.
Artemon, velum navis.
Artepelliones, qunnarii.
Artepellones, gunnarii (1).
Articuleius, articulus brevis.
Artuatim, membratim.
Arviam, plenam.
Arvina, caro fe[illegible]ina.
Arvinulis, adipibus.
Assecul, buccellarius.
Assentaneus, consentiens.
Asida, milvus.
Asillum, tabanum.
Asinum tantum, tam grandem iuvenem.
Asotus, luxuriosus.
Aspargere, voce multum narrare.
Aspargine, asparsione.
Aspectare, voluptuose intueri.
Asper, districtus.
Aspita, ruina.
Astetit, inantestetit.
Astipulatus, idoneus testis adprobatus.
Astrosus, lunaticus.
Astui, potavi.
Atanulum, genus vasis.
Atavi, antiqui.
Atavus, propappus.
Atcei, Saraceni.
Attegena, gallina rustica.
Auceps, avicapter.
Auceps, auceptor.
Auctoramentum, ipsa res venditionis.
Auctoramentum, probatio veritatis.

(1) In alterutro mendum est.

Auctoramentum, quod est in fiducia.
Auctoratio, venditio. Nam sub auctione sunt gladiatores qui se vendunt.
Auctoratum, consuetudine vel plurimorum auctoritate firmatum.
Aucupator, captator vel venator avium.
Audaces, in malum accipitur.
Audag, circa.
Aularius, aulicus.
Aurago, morbus regius.
Aureax, equus solitarius.
Aurietas, auri fulgor.
Auriginosus, arcuatus.
Aurorans, illuminans.
Auruit, circumvenit.
Auspiciare, somnia inquirere.
Austra, putata.
Austrare, humidum facere.
Autolaps, animal acerrimum longis cornibus serrae figuram habentibus.
Aveax (1), equus solitarius.
Averricat, avertit, alienat.
Avia, loca intransibilia.
Avidius, desiderantius.
Avidus, glutton.
Avillus, agnus recens natus.
Avitium, antiquitas.
Avus, pappus.
Axidones, sessores.

B

Babigera, stulta.
Babiger, stultus.
Babricaus, lacus Mantuae.
Baburus, stultus.
Bacabulus, in quo mortui efferuntur.
Baccat, sacrificat.
Baccatum, margaritatum.
Bacchana (2), sacrarium quod Libero patri dicabant.
Baccharium, vas aquarium.
Bacchia, discursio, furor.
Bacchi, antiqui.
Bacchus, vinum vetus.
Baccula, iuvenca vel vitella.
Bacthra, ursa rabida.
Bacillates, vinum.
Bacterius, baculum.
Bacunis, rusticus.
Bafer, grossus.
Bagarium (3), vas aquarium.
Baium, porrum.
Balantes, oves bobentes.
Balastrum, balneum.
Balteat, cingit.
Baltha, audax gothice.
Bambis, arena (4).
Barbarica, aurea ornamenta.
Barbarostomus, homo qui barbarismis plena profert verba.
Barbo, barunculus.
Barginae, alienigenae, peregrinae.

(1) Supra *aureax*. (2) Isidor. *bacchanal*. (3) Isidor. *bagario*. (4) Isidor. *aranea*.

Barridus, pinguis.
Baschaudas, conchas aereas.
Baselum et faselum, unum est, navigii genus.
Bassas, pingues oves.
Bassum, non altum.
Batta, purpura.
Bathridae, baccae.
Bathus, amphora.
Batioca, patera.
Batis, nomen serpentis.
Batus, amphora.
Battuit, condidit, decidit.
Baubat, latrat.
Baubant, latrant.
Baucalem, gellonem.
Baxa, genus mulierum.
Baxem, quas bucellas dicunt.
Baxeus, calciamenti genus.
Bellicrepa, saltatio quam dicimus pyrrhicha.
Belua, bestia marina.
Bellum cimbricum, gallicum quia Galli Cimbri dicuntur.
Benalia, benigna.
Bene linguatus, bene loquens.
Beres (1), ventus ex Thracia.
Biabundus, metuens.
Biaras, genus Africanorum.
Biblum, funis de navi ex buda factus
Bicellium, id est duae cellulae.
Bicerva, vestis.
Biclinium, quasi bimensura.
Bidento, fedio.
Biduvium, quae post duos maritos vidua est.
Bifera (2), secunda coniux.
Bilices, duplices.
Bilustrium, decem anni.
Bimaritus, iterum maritus.
Bimatur, duplicatur.
Birrida, alba, glauca.
Birrus, rufus.
Bisaccia, mantica.
Bistemio, trogano.
Bistimiae, trogiae.
Bisulis, porcus fissas ungulas habens.
Bitire, ire.
Bitit, ambulat.
Bivira, secundo uxor.
Blandiosus, affabilis.
Blasto, cubicularius.
Blattet, perstupide loquitur.
Blax, stultus.
Blenones, foetidi impudici hircones.
Bleta, purpura.
Blettera, qui stulte loquitur.
Blicea, stultitia.
Blicet, stulta.
Bobinatores, inconstantes.
Bolus, iactus.
Bona caduca, facultates quibus non succedat heres, vel res damnatorum.
Bonus (3), sonus vel vox.
Bortama, tecta manualia.
Botryones, latices.
Brabeuta, bravifer.

(1) *Boreas?* (2) *Bivira?* (3) *Bombus?*

Brabeuta, qui palmas dat.
Brevi animo, pusillo animo.
Brocca, labrosa.
Bruda, solida.
Brumos, inmunda.
Brutescunt, stulte vivunt vel agunt.
Buccones, stulti, brittanici flores qui in silva nascuntur.
Buceda, pascua.
Bucenae, armenta.
Buceriae (1), armenta.
Buceria, armenta pecuaria.
Bucerum, vox inepta.
Bucerum, pecus bubulum.
Buceta, pascua.
Bucida, qui boves caedit.
Bucinus, sonus tubae.
Bucolia, bualia id est stabula boum.
Bucinaria, voces.
Bucita, pascua.
Buda, storea.
Bulimus, famis magna.
Bullae, ornamenta regalium puerorum vel equorum vel camelorum.
Bullantes aquae, cum exundant.
Bulones, cetarii.
Bumasta, genus vitis.
Bumbosum, sonosum, furibundum.
Bumbum, sorbillum.
Bumbux, sonus columbarum.
Bundae, sonus tympani.
Burbalia, intestina maiora.
Burca, cloaca.
Burgones, caulas.
Burgos, castra.
Burrus, rufus et niger.
Bussa (2), cloaca.
Bustantes, funestantes, sepelientes.
Busticeta, sepulchra in agro.
Buter, agrestis.
Butum, imbutum.
Butus, incipiens.
Buxeas, calceos.
Buxus, tibiolae.

C

Cabo, caballus.
Cabrones, girgales, vespas maiores.
Cabro, vespa longa.
Cadaver, ab eo dicitur quod per mortem ceciderit.
Caducarii, qui in alterius bona succedunt.
Caducarius, quicumque fit heres in bona alicuius qui heredes non habet.
Caducus, daemoniacus.
Caei, iudicatores.
Caelius, excelsus.
Caerulae, lineae in arbore navis.
Caeruli, nigri.
Caerulus, viridis vel glaucus.

(1) In alterutro est mendum. (2) Isidor. *bursa*.

Caesit, cecidit.
Calabrum, genus versuum malorum, quasi colobon vel iocularium.
Calamaula, canna de qua canitur.
Calatium, canistrum, id est cartallum.
Calcus, lapillus: calex enim lapis est; unde et calculari dicuntur, id est numerus (1).
Caleon, quasi humilis leo.
Calles, viae in silvis.
Callidus, dirus, malitiosus.
Caliendrum, quo capillus mulieris convenit in ornamentum ad occipitium.
Calixeta, exinanita.
Calones, galearii militum.
Calpes, galeae (2) militum.
Calueris, frustratus fueris.
Calvitur, moratur.
Camba, cavis (3).
Campestria, vestimenta vel succintoria genitalium expressius dicta.
Campiter, fundus qui in campo est.
Canamaula (4), lanuginem habentes, id est cidouiae.
Cancer, forceps aut ulcus.
Cancri, cancelli.
Cancum, interuigrum.
Canico, recremeo.
Cauier, leuo.
Caniles, ex farina et aqua coquitur.
Canit, respondet.
Canon, consuetudo.
Canora, cantu grata.
Canoris, chordis.
Canorum, prophetatum.
Cantarinus, vel cantarus equus, eo quod tinniens tinnula, ex dispositione gressuum eius cantum aut sonum conponit
Cantarinum vel cantarum, equus castratus. Alii saumarium (5) vocant.
Cantila, antiqua contentione (6).
Cantu, prece.
Cantus, sonus.
Canuam, canistrum translatum.
Cauum, summa pars galeae.
Capedo, spatium.
Capessat, incipiat, ut cicesco.
Capessere, iucipere vel adinplere.
Capessit, libenter accepit.
Capillascit, capillis porrectis.
Capillascit, hoc quod et capillescit, quasi incipit capillos habere.
Capite census, taxatio possessionum.

